Κομάνους εἰς προνομὴν διασκεδασθέντας, ἀπελθὼν τὸν

1. ὑπεκρίνατο F, ὑπεκρίνετο PA. 4. ἐδεδώκει A. 5. ποιήσαντας G. 7. περιχαρῆς A. 9. προκαλουμένου F, προσκαλουμένου A. προκαλούμενον P. τούτῳ A. 10. ἀλεκασσέως A. 12. παρέθεντο FA, παρέθετο P. 14. αὐτὸ G. 15. ἀλεκασεὺς A. 16. που om. CG. 17. δὲ G.

lat signo dato Diogeni, ut, simulatque id conspexisset, confestim castrum intraret. itaque cum praefecto sermone ficticio diu producto datoque tandem pseudonymo signo quod modo indicaverat Diogenes, id ubi vidit, cum paucis militibus audacter ingressus ab iis qui intus erant blande excipitur et a gubernatore Putzae invitatur ad balneum; ad quod ab Alacaseo quoque impulsus statim morem gerit. copiosae dein epulae et ipsi et Comanis apponuntur; qui mox omnes sat epulati impletique vino, quod e plenis utribus hauserant, stertentes iacebant. superveniunt autem statim et ipse Alacaseus et praefectus cum nonnullis aliis omniumque armis et equis subductis ipsum stertentem ibi relinquunt; at ceteros, quorum dux erat, necant atque in voragines quasdam velut in sepulcra natura parata statim coniciunt. interim Catacalo ex imperatoris mandato Comanorum exercitum subsequens, cum in arcem illum ingressum videret Comanosque pabulatum circumsparsos, prope urbem quam modo di-

χάρακα ἐπήξατο ἀγχοῦ που τῆς πόλεως, ἣν φθάσαντες ὠνομάσαμεν. ὁ δὲ Ἀλακασεὺς τῶν Κομάνων ἁπανταχοῦ διασπαρέντων οὐκ ἐθάρρησε δηλῶσαι περὶ τούτου τῷ αὐτοκράτορι, ἀλλὰ ἀναλαβόμενος τοῦτον τὴν κατευθὺ Τζουρουλοῦ
5 ἤλαυνεν ὡς πρὸς τὴν βασιλεύουσαν ἀπερχόμενος. μεμαθηκυῖα δὲ τοῦτο ἡ τοῦ βασιλέως μήτηρ καὶ δέσποινα περὶ τὰ βασίλεια ἐνδιατρίβουσα· εὐθὺς τὸν δρουγγάριον τοῦ στόλου Κυμινιανὸν τὸν ἐκτομίαν Εὐστάθιον διὰ τάχους ἀπέστειλεν, ἐφ' ᾧ τὸν τοιοῦτον παραλαβεῖν καὶ εἰσαγαγεῖν εἰς
10 τὴν μεγαλόπολιν. ὁ δὲ ἔχων μεθ' ἑαυτοῦ Τοῦρκόν τινα Καμύρην ὀνομαζόμενον εἰς τὴν τούτου ἐκτύφλωσιν τῷ τοιούτῳ ἐχρήσατο. ὁ δὲ αὐτοκράτωρ ἔτι εἰς Ἀγχίαλον ἐγκαρτερῶν, μεμαθηκὼς τὸν ἐπὶ τῇ προνομῇ τῶν παρακειμένων χωρῶν σκεδασμὸν τῶν Κομάνων, ἀπάρας ἐκεῖθεν καταλαμβάνει τὴν
15 μικρὰν Νικαίαν. ὡς δὲ μεμαθήκοι, ὅτι ὁ Κιτζῆς, ἡγεμὼν δὲ οὗτος εἷς τῶν τοῦ Κομανικοῦ στρατεύματος, ἀναλαβόμενος Κομάνους ποσουμένους εἰς δώδεκα χιλιάδας καὶ εἰς προνομὴν τούτους διασπείρας λείαν τε πολλὴν συναγαγὼν τὸν αὐχένα τοῦ Ταυροκώμου κατείληφε, τὰς ὑπ' αὐτὸν ἀναλα-
20 βόμενος δυνάμεις, κατελθὼν παρὰ τῷ χείλει εἱστήκει τοῦ ποταμοῦ τοῦ κατὰ τὴν πεδιάδα τὴν κάτωθεν τοῦ τοιούτου αὐχένος διακειμένην ῥέοντος. τόπος δὲ οὗτος πλήρης χαμαι-

D

2. ὠνομάσαμεν C, ὀνομάσαμεν P. 4. τὴν om. A, τηνικαῦτα CG. Τζουρουλῷ G. 6. καὶ δέσποινα F, om. P. 8. Κυμινιανὸν CG(A), Κυμινειανὸν P. 10. Καρμύρην CG. 11. καλούμενον CG. 12. ἐγκαρτερὸν G. 16. τῶν F, om. P. 17. ποσουμένοις G. δέκα CG. 19. Ταυροκόμου CG. 20. τὸ χεῖλος CG. εἱστείκει P, correxi. 22. διακειμένην scripsi: διακειμένου P.

ximus castra posuit. sed Alacaseus effusis ubique Comanis rem ad imperatorem referre non audebat, sed cum captivo illo Tzurulum recta petiit Constantinopolin reversurus. quo audito mater imperatoris et domina, quae in palatio regio degebat, sine mora drungarium classis Cyminianum Eustathium spadonem celeriter misit, qui istum acciperet atque in urbem duceret. is secum habebat Turcam quendam Camyren, cuius opera ad eum excaecandum usus est. at imperator commorans etiamtum Anchiali, cum Comanos ad depraedandas adiacentes regiones dispersos audivisset, castris motis parvam inde Nicaeam petiit; ibique cognito Citzen, qui erat unus e Comanici exercitus ducibus, cum duodecim fere millibus barbarorum, quibus ad pabulandum sparsis ingentem praedam collegerat, ad fauces Taurocomi consedisse, copias suas contraxit et ad ripas amnis, qui per planitiem fluit istis faucibus subditam, descendit. erat ea regio plena trixaginum arborumque novellarum. ibi subsidere copias iussit

P. 280 δρύων καὶ ἀρτιφυῶν δένδρων. ἐκεῖσε γοῦν τὰς δυνάμεις κα-
ταστησάμενος, ἀπόμοιραν Τούρκων ἱκανὴν ἀποτεμόμενος,
τῆς τοξείας ἐκκρίτους εἰδήμονας, κατὰ τῶν Κομάνων ἐπαφ-
ίησιν, ὥστε τὸν μετ' αὐτῶν συναραμένους πόλεμον καὶ
ἱππασίας τινὰς ποιησαμένους ἐπισπάσασθαι τούτους πρὸς 5
τὸ πρανές. οἱ δὲ Κόμανοι προσβαλόντες τούτοις ἐδίωκον
ἀκρατῶς μέχρι τῆς Ῥωμαϊκῆς φάλαγγος· εἶτα μικρὸν τοὺς
ἵππους ἀνασειράσαντες καὶ κατὰ τῆς Ῥωμαϊκῆς ἐξορμῆσαι
φάλαγγος ἡτοιμάζοντο καθιστῶντες τὰς παρατάξεις. ἐπεὶ
δὲ Κομανόν τινα ἀγέρωχον ἱππότην τῆς φάλαγγος προπη- 10
δήσαντα ὁ αὐτοκράτωρ ἐθεάσατο καὶ τὰς παρατάξεις παρα-
B θέοντα καὶ μονονοὺ τὸν μετ' αὐτοῦ μαχεσόμενον ἀναζητεῖν
ἐοικότα, οὐκ ἔφερεν οὔτε τὸ δεξιὸν καρτερεῖν οὔτε τὸ
εὐώνυμον κέρας, ἀλλ' αὐτὸς πέρα πάντων ὅλας τὰς ἡνίας
χαλάσας τὸν ἀναζητοῦντα τὸν πόλεμον βάρβαρον πρώτως 15
παίει διὰ τοῦ δόρατος καὶ ἀμφὶ στήθεσι διαμπερὲς ἐλάσας
τὸ ξίφος τοῦ ἵππου κατέβαλε κατὰ ταύτην τὴν ἡμέραν
στρατιώτην μᾶλλον ἢ στρατηγὸν ἑαυτὸν ἀποδείξας. μέγα
τοίνυν ταῖς Ῥωμαϊκαῖς παραυτίκα θάρσος ἐμβαλὼν παρα-
τάξεσιν, οὐχ ἥσσονα δὲ τοῖς Σκύθαις φόβον, ὡς πύργος 20
τούτοις προσβαλὼν διεῖλε τὸ στράτευμα. οὕτω γοῦν τῆς
V. 222 ὁμαιχμίας τῶν βαρβάρων διασπασθείσης διασπαρέντες ἀπαν-

1. καὶ τῶν CG. 3. τοξείας FC, τοξίας P. 4. μεν' G. 5. ποιησάμενος G. τούτους F, τούτοις P, τούτῳ G. 6. ἐδίωκον FC, ἐδίωκεν P. 14. πέρα scripsi: παρὰ P. 15. πρῶτος F. 16. στήθεσι F, στήθεσιν P. 17. κατέβαλε F, κατέβαλλεν P. 18. μᾶλλον om. G. ὑποδείξας CG. 21. προσβαλὼν] προσ in ras. m. 2 F.

et sufficientem Turcarum turmam, iaculandi peritissimam, in Comanos immisit, ut manus cum ipsis consererent et equitationibus aliquot factis in loca declivia elicerent. at Comani eos adorti effuse usque ad Romanam phalangem persecuti sunt, ubi frenis equorum paululum adductis instructisque ordinibus ad invadendam Romanorum aciem sese pararunt. imperator vero, cum audaciorem quendam Comanum equitem ultra aciem prosilientem ordinesque praetercurrentem videret ac tantum non provocantem ad certamen singulare, nullum e dextro sinistrove cornu contra eum egredi minime tulit; ipse vero ultra omnes habenis remissis evectus barbarum pugnandi avidum hasta primum vulneravit, tum ense transfixum de equo deiecit, eo quidem die militem potius quam imperatorem se gerens; ac magnum statim et Romanis legionibus animum et metum Scythis iniecit, quorum aciem turris instar se admovens discidit. ita phalangis contextu perrupto dispersi barbari ubique

ταχῇ ἔφευγον ἀκρατῶς. Κόμανοι μὲν οὖν τηνικαῦτα πίπ- C
τουσιν ὡσεὶ χιλιάδες ἑπτά, ἄγονται δὲ καὶ ζωγρία τρισχί-
λιοι. τὴν μέντοι λείαν ἅπασαν ἀφελόμενοι οἱ τοῦ Ῥωμαϊκοῦ
στρατεύματος οὐ συνεχωρήθησαν παρὰ τοῦ αὐτοκράτορος
5 κατὰ τὸ εἰωθὸς ταύτην ἐπιμοιράσασθαι, καθὸ ἐξ ὑπογύου
τῶν παρακειμένων χωρῶν ἐσκυλεύθη, ἀλλὰ δοθῆναι τοῖς
ἐποίκοις. τοῦ γοῦν βασιλικοῦ προστάγματος πτηνοῦ δίκην
εἰς ἅπασαν τὴν περίχωρον διαδεδραμηκότος ἕκαστος τῶν
σκυλευθέντων παραγενόμενος ἐπιγινώσκων τὸ ἴδιον ἀνελαμ-
10 βάνετο. στερνοτυποῦντες οὖν καὶ χεῖρας ἱκετίδας εἰς οὐρα-
νὸν αἴροντες τῷ αὐτοκράτορι τὰ λῷονα ἐπηύχοντο. καὶ ἦν
ἀκούειν φωνὴν σύμμικτον ἀνδρῶν τε καὶ γυναικῶν μέχρις D
αὐτῆς τῆς σεληνιακῆς σφαίρας φθάνουσαν. ἀλλὰ ταῦτα μὲν
οὕτω. ὁ δέ γε αὐτοκράτωρ χαίρων τὰς δυνάμεις ἀνακτησά-
15 μενος εἰς τὴν εἰρημένην μικρὰν Νικαίαν αὖθις ἐπαναζεύγ-
νυσιν. ἐκεῖσε γοῦν ἐπὶ δυσὶν ἡμέραις ἐγκαρτερήσας, τριταῖος
ἐκεῖθεν ἐξελθὼν καταλαμβάνει τὴν Ἀδριανούπολιν περὶ τὴν
οἰκίαν τοῦ Σιλβέστρου ἱκανὰς ἐνδιατρίψας ἡμέρας. τῶν
γοῦν Κομάνων οἱ λογάδες ἅπαντες ἀποκριθέντες τοῦ λοιποῦ
20 στρατεύματος, βουληθέντες τοῦτον ἀπατῆσαι προσέρχονται
τούτῳ ὡς αὐτόμολοι, σπείσασθαι τάχα μετ' αὐτοῦ προσ- P. 281
ποιούμενοι, ἵνα τριβομένου τοῦ μετ' εἰρήνης καιροῦ προ-

2. ζωγρείαν G. 4. συνεχωρήθεσαν G. παρὰ τοῦ αὐτοκρά-
τορος om. CG. 5. ὑπογύου F, ὑπογυίου P. 8. ἅπα-
σαν F, πᾶσαν P. 12. φωνῆς συμμίκτου G. 13. φθα-
νούσης CG. 18. διατρίψας G. 19. διακριθέντες CG.
22. τριβόμενοι G.

effuse fugerunt; ac septem tunc millia Comanorum ceciderunt captaque tria millia sunt. cum vero omnem praedam cepissent Romani, imperator, quia rapta erat ex agris finitimis, eam solito more dividi haud permisit, sed reddendam incolis decrevit. et avis instar regis edictum per circumiacentem regionem volat congregatique ad castra qui rapinas tulerant sua quisque recipiunt pectora tundentes supplicibusque manibus ad caelum sublatis fausta omnia imperatori precantes: audiebatur mixta virorum mulierumque vociferatio usque ad lunarem circulum assurgens. imperator vero laetus copias convocavit parvamque Nicaeam reduxit; ubi cum biduo substitisset, tertio die Adrianopolin pergit et complures dies in Silvestri aedibus habitavit. iam praecipui quique Comanorum, qui e reliquo exercitu lecti erant, imperatorem decepturi tamquam suapte sponte ad eum veniunt pacemque statim se inituros esse simulant, eo quidem consilio, ut tempore

5. Καὶ μικρὸν ἑαυτὸν ἀνακτησάμενος τῶν πολλῶν μόχθων, ἐπεὶ τοὺς Τούρκους τὰ ἐντὸς Βιθυνίας κατατρέχοντας εὗρε καὶ ληϊζομένους ἅπαντα, τῶν δυτικῶν πραγμάτων ἐκ θατέρου μέρους πρὸς ἑαυτὰ ἐπισπωμένων τὸν αὐτοκράτορα, πλέον ἐν τούτοις ἢ ἐν ἐκείνοις κάμνων (πρὸς 5 γὰρ τὸ κατεπεῖγον μᾶλλον ὁ πόνος ἦν) ἐπίνοιαν ἐπινοεῖται μάλα μεγαλουργὸν καὶ ἀξίαν τῆς ἐκείνου ψυχῆς καὶ πρὸς ἀσφάλειαν Βιθυνίας ἀποταφρεύει τὰς ἐκείνων καταδρομὰς διὰ τοιαύτης κατασκευῆς. ἄξιον δὲ καὶ τὴν κατασκευὴν B ἐκείνην διηγήσασθαι. ὁ γὰρ Σάγγαρις ποταμὸς καὶ ἡ παρα- 10 λία ἡ μέχρι τοῦ χωρίου Χηλῆς ἰθυτενῶς καταφερομένη καὶ ἡ πρὸς βορρᾶν ἀνακάμπτουσα πολλὴν ἔνδον περικλείουσι χώραν. ταύτην τοίνυν τὴν χώραν πονηροὶ γείτονες γεγονότες ἡμῖν ἀνέκαθεν οἱ τοῦ Ἰσμαὴλ κατὰ πολλὴν ἐρημίαν τῶν κωλυόντων διά τε Μαριανδηνῶν καὶ τῶν πέρα Σαγγάρεως 15 ῥᾳδίως κατεληΐζοντο καὶ μᾶλλον τὴν Νικομήδους ἐπέθλιβον τὸν ποταμὸν διαπεραιούμενοι. τὴν τοιαύτην τοίνυν ὁρμὴν ἀνακόπτων τῶν βαρβάρων ὁ βασιλεὺς καὶ τὴν τῆς χώρας καταδρομὴν καὶ μάλιστα τὴν Νικομήδους ἀσφαλιζόμενος κατωτέρω τῆς Βαάνης λίμνης μακρότατον ὄρυγμα κατιδὼν καὶ 20

2. μόθων F. 4. ἑαυτὰ FC, ἑαυτὸν P. ἐπισπωμένων scripsi: ἐπισπώμενον P. 5. κάμνον G. 8. καταδρομὰς] δρομ in ras. m. 2. F. 9. δὴ? 11. καταφερομένη F, καταφερόμενος P. 12. ἀνακάμπτουσα C, ἀνακάμπουσα P. περικλείεται CG. 14. ἀνέκαθεν F, om. P. 15. Μαριανδηνῶν CG, Μαρυανδηνῶν P. 16. τοὺς τῆς Νικομηδείας CG. ἐπέθλοβον G. 18. ἀνακόπτων τῶν βαρβάρων F, τῶν βαρβάρων ἀνακόπτων P. 19. Νικομήδειαν G.

5. At vix paululum e multis his laboribus refectus, cum Turcas comperisset infestare Bithyniam ac praedari omnia, ex altera parte rebus occidentalibus imperatorem ad se trahentibus, plus laboris his quam illis impendens (maioris enim contentio adversus pericula urgentia erat) longe maximum consilium concepit suoque ingenio dignissimum atque ad Bithyniam tutandam illorum incursiones hac ratione arcebat: paucis enim libet eam exponere. ac Sangaris quidem fluvius et ora maritima quae recta usque ad Chelen oppidum tendit eaque quae ad septentrionem flectitur magnam amplectuntur regionem; quam in praesidiariorum paucitate, qui mali nostri vicini iam ex diutino tempore facti erant, Ismaëlitae Mariandenorum et eorum, qui ultra Sangarin habitant, fines facile depraedabantur inprimisque Nicomediam amne traiecto premebant. repulsurus igitur istum barbarorum impetum huiusque regionis incursionem et praecipue Nicomediae securitati consulens imperator, longissima infra Baanen lacum fossa animadversa atque ad extremum explorata,

παρακολουθήσας αὐτῷ μέχρι πέρατος κατενόει ἀπό τε τῆς C
θέσεως καὶ τοῦ σχήματος, ὡς ἄρα ὁ τόπος οὐκ ἐκ ταὐτο-
μάτου διαβεβόθρωται οὐδὲ συσεσηράγγωται φυσικῶς, ἀλλὰ
χειρός τινος ὑπῆρχε μηχάνημα. πολυπραγμονήσας οὖν τὸ
5 τοῦ τόπου μανθάνει παρά τινων, ὡς ἄρα τῆς τοιαύτης διώρυ-
χος Ἀναστάσιος ὁ Δίκουρος ἐπεστάτησε. τί μὲν βουλόμενος,
οὐκ εἶχον λέγειν· ἐφαίνετο δ' οὖν τῷ βασιλεῖ Ἀλεξίῳ, ὡς
δὴ ὁ αὐτοκράτωρ ἐκεῖνος ἐβούλετο ἀπὸ τῆς λίμνης ὕδωρ
μετοχετεύειν ἐς ταυτηνὶ τὴν χειροποίητον χαράδραν. πρὸς
10 τοιαύτην τοίνυν ἐνθύμησιν ἀναχθεὶς ὁ αὐτοκράτωρ Ἀλέξιος
τήν τε τάφρον εἰς βάθος ἱκανώτατον διορύσσειν ἐκέλευε·
δεδοικὼς δέ, μή ποτε καὶ πορεύσιμα γένοιτο τὰ τῶν ποτα- D
μῶν κατὰ τὰς συναφὰς τῶν ῥευμάτων, ἀνιστᾷ φρούριον
ἐρυμνότατον, πανταχόθεν τὸ ἀσφαλὲς καὶ τὸ ἀνεπιχείρητον
15 ἔχον ἀπό τε τοῦ ποταμοῦ καὶ τῆς εἰς ὕψος καὶ πάχος τει-
χοποιίας· ὅθεν καὶ τὴν σιδηρᾶν ἀπηνέγκατο κλῆσιν. καὶ
ἔστι νῦν τὸ σιδηροῦν τουτὶ πυργίον πόλις πρὸ πόλεως καὶ
τείχους προτείχισμα. αὐτὸς δὲ ὁ αὐτοκράτωρ ἐφίστατο τῇ
τοῦ πολιχνίου οἰκοδομῇ ἀπὸ πρωΐας μέχρις ἑσπέρας, καί-
20 τοι πολλῆς τῆς ἀλέας οὔσης τὸν θερινὸν τροπικὸν τοῦ
ἡλίου διαπορευομένου, καὶ καύσωνος ἠνείχετο καὶ κονίας καὶ P. 283
πολλὴν τὴν δαπάνην κατεβάλλετο, ὡς ἐντεῦθεν ἐρυμνότατον V. 224

1. αὐτῷ F, αὐτὸ P. 2. καὶ addidi. 3. συ*σεσηράγγωται F, σεσήραγγωται P, σηράγγωται G. 6. Δίκορος CG. βουλευόμενος G. 12. δὲ om. G. 21. καὶ om. G. 22. πολλὰ G. ἐρυμνότατον] schol. in mg. m. 2.: χαλεπώτατον. ἐρυμνὸς τόπος σκοτεινὸς καὶ ἰσχυρός F.

ex positione et specie coniecit, locum nec sine causa effossum neque natura excavatum, sed manuum opus esse. eiusque originem perquirens comperit a quibusdam, fossam istam Anastasii Dicuri iussu excavatam esse; cur vero id factum esset, dicere non potuerunt. putabat autem imperator Alexius, imperatorem illum e proximo lacu aquam in hanc manu factam fossam emissurum fuisse; atque hac cogitatione ductus imperator Alexius altissime alveum effodi iussit; sed tamen veritus, ne flumina propter aquarum confluentiam navigabilia fierent, arcem firmissimam struxit, quae undique munita cum ob amnem tum ob altum latumque murum capi non poterat; unde etiam ferreae nomen accepit. atque nunc ferrea haec turris urbis suburbium est et propugnaculum muri. huic arci extruendae ipse imperator a primo mane usque ad vesperum praefuit nec solis aestivum tropicum obeuntis calore et ardore nec pulvere deterritus. ac multos omnino sumptus impendebat, quo firmissima arx et inexpu-

γεγονέναι τὸ τεῖχος καὶ ἀπρόσμαχον, τοὺς σύροντας ἕκαστον τῶν λίθων, εἰ ἔτυχεν εἶναι πεντήκοντα ἢ ἑκατὸν ἄνδρας, δαψιλῶς ἐπιφιλοτιμούμενος. ἐντεῦθεν δὲ οὐ τῶν τυχόντων, ἀλλὰ καὶ στρατιώτης ἅπας καὶ ὑπηρέτης αὐτόχθων τε καὶ ἐξ ἀλλοδαπῆς ὁρμώμενος πρὸς τὴν τῶν τοιούτων λίθων ὁλκὴν 5 ἐκεκίνητο δαψιλεῖς ὁρῶντες τοὺς μισθοὺς καὶ αὐτὸν τὸν αὐτοκράτορα καθάπερ ἀθλοθέτην τινὰ ἐφιστάμενον. τέχνη γὰρ ἦν καὶ τοῦτο, ἵνα πολλῶν συρρεόντων ῥᾷον ἡ ὁλκὴ τῶν B παμμεγέθων ἐκείνων λίθων γίνοιτο. οὕτως ἦν ἐκεῖνος καὶ ἐπινοῆσαι βαθύτατος καὶ καταπρᾶξαι μεγαλουργότατος. τὰ 10 μὲν οὖν κατὰ τὸν αὐτοκράτορα μέχρι τῆς * ἐπινεμήσεως τοῦ * * ἔτους κατὰ τὸν εἰρημένον τρόπον προβέβηκεν. οὔπω δὲ μικρὸν ἑαυτὸν ἀναπαύσας λογοποιουμένην ἠκηκόει ἀπείρων Φραγγικῶν στρατευμάτων ἐπέλευσιν. ἐδεδίει μὲν οὖν τὴν τούτων ἔφοδον γνωρίσας αὐτῶν τὸ ἀκατάσχετον τῆς 15 ὁρμῆς, τὸ τῆς γνώμης ἄστατον καὶ εὐάγωγον καὶ τἄλλα ὁπόσα ἡ τῶν Κελτῶν φύσις ὡς ἴδια ἢ παρακολουθήματά C τινα ἔχει διὰ παντὸς καὶ ὅπως ἐπὶ χρήμασι κεχηνότες ἀεὶ διὰ τὴν τυχοῦσαν αἰτίαν τὰς σφῶν συνθήκας εὐκόλως ἀνατρέποντες φαίνονται. εἶχε γὰρ ἀεὶ τοῦτο ᾀδόμενον καὶ 20

1. γενέσθαι CG. 2. εἰ FC, om. P. 3. φιλοτιμούμενον G. 7. ἐφιστάμενον FC, ἐπιστάμενον P. 9. λίθων ἐκείνων G. γίνοιτο FC, γένοιτο P. ἦν F, οὖν P. 10. βαθύτατα CG. μεγαλουργότατα CG. 11. τῆς .... F. τοῦ .... F. τοῦ .... C.: etiam G. hoc loco lacunam agnoscit. cf. Ducang. ad h. l. 12. τόπον G. 13. λογοποιούμενον G. 18. ἐπὶ χρήμασι F, ἐπιχειρήμασι P.

gnabilis fieret, amplaque mercede ad quemque lapidum trahendum, sive quinquaginta sive centum viri erant, provocabat. quare non vulgares mercennarii, sed milites omnes et apparitores cum indigenae tum aliunde allecti ad tantos lapides trahendos incitabantur, cum et amplam mercedem et ipsum imperatorem velut praemiorum arbitrum viderent; idque sane artificium fuit, quo facilius multis accurrentibus ingens lapidum moles traheretur. sic igitur ille ad deliberandum sollertissimus, ad agendum efficacissimus erat. atque hunc in modum usque ad indictionem * anni ** res ab Alexio gestae sunt. necdum inde recreatus innumeros Francorum exercitus appropinquare fama audivit; quorum incursionem timebat, cum nosset et vehementissimos eorum impetus et facilitatem in mutanda sententia et mobilitatem et cetera, quae Gallorum naturae tamquam propria aut consectanea quaedam ubique inhaerent, eosque divitiis inhiantes semper quavis causa oblata foedera facile rumpere. semper enim in mente

πάνυ ἐπαληθεῦον. καὶ οὐκ ἀναπεπτώκει, ἀλλὰ παντοίως παρεσκευάζετο, ὥστε καιροῦ καλοῦντος ἕτοιμον πρὸς τὰς μάχας εἶναι. καὶ γὰρ καὶ πλέω καὶ φοβερώτερα τῶν φημιζομένων λόγων ἦσαν τὰ πράγματα. πᾶσα γὰρ ἡ ἑσπέρα καὶ
5 ὁπόσον γένος βαρβάρων τὴν πέραθεν Ἀδρίου μέχρις Ἡρακλείων στηλῶν κατῴκει γῆν, ἅπαν ἀθρόον μεταναστεῦσαν ἐπὶ τὴν Ἀσίαν διὰ τῆς ἑξῆς Εὐρώπης ἐβάδιζε πανοικὶ τὴν πορείαν ποιούμενον. ἔσχε δὲ τὰ κατὰ τὴν τοιαύτην συγ- D κίνησιν τὴν αἰτίαν ἐνθένδε ποθέν. Κελτός τις Πέτρος
10 τοὔνομα, τὴν ἐπωνυμίαν Κουκούπετρος, εἰς προσκύνησιν τοῦ ἁγίου τάφου ἀπελθὼν καὶ πολλὰ δεινὰ πεπονθὼς παρὰ τῶν τὴν Ἀσίαν πᾶσαν ληϊζομένων Τούρκων τε καὶ Σαρακηνῶν μόγις ἐπανῆλθεν εἰς τὰ ἴδια. καὶ διαμαρτὼν τοῦ P. 284 σκοποῦ οὐκ ἔφερεν, ἀλλ' αὖθις ἠβούλετο τῆς αὐτῆς ἅψασ-
15 θαι ὁδοῦ. συνιδὼν δέ, ὡς οὐ χρὴ μόνον αὖθις τῆς πρὸς τὸν ἅγιον τάφον ὁδοιπορίας ἅψασθαι, ἵνα μὴ χεῖρόν τι γένηταί οἱ, βουλὴν βουλεύεται συνετήν. ἡ δὲ ἦν διακηρυκεῦσαι εἰς ἁπάσας τὰς τῶν Λατίνων χώρας ὡς "ὀμφὴ θεία παρακελεύεταί με πᾶσι τοῖς ἐν Φραγγίᾳ κόμησι κηρῦξαι, ἅπαντας
20 τῶν ἰδίων ἀπᾶραι καὶ εἰς προσκύνησιν τοῦ ἁγίου τάφου ἀπελθεῖν καὶ σπεῦσαι ὅλῃ χειρὶ καὶ γνώμῃ τῆς τῶν Ἀγαρηνῶν τὰ Ἱεροσόλυμα λυτρώσασθαι χειρός." καὶ μέντοι καὶ B

1. ἐπ' ἀληθεῦον P, correxi: ἐπ' om. CG. 3. φοβερώτατον G. 5. μέχρι G. 7. ἐβάδιζε F, ἐβίαζε P. πανικὶ G. 14. ἠβούλετο F, ἐβούλετο P. 15. τὴν G. πρὸς F, παρὰ P. 17. ἦδε P, correxi.

habebat haec ut decantata ita sane verissima. quocirca minime socors fuit, sed cuncta paravit, ut postulante tempore ad pugnam expeditus esset. atque omnia profecto tunc fama maiora terribilioraque erant. universus enim Occidens et quotquot barbarae gentes ultra Adriaticum mare usque ad Herculis columnas incolunt, mutatis sedibus deinceps per Europam in Asiam cum omnibus suis iter faciebant. tantae vero commotionis haec fere fuit causa. Gallus quidam Petrus cognomento Cucupetrus ad sanctum sepulcrum adorandum peregrinatione suscepta gravissimis Turcarum et Saracenorum totam Asiam depraedantium iniuriis vexatus vix in patriam redierat. sed rem irritam fuisse minime tulit, verum denuo idem iter suscipere decrevit; cumque intellexisset, ne quid peius accideret, non soli sibi iterum viam ad sanctum sepulcrum ingrediendam esse, prudens sane consilium iniit. nimirum per universas Latinorum regiones haec promulgabat: "Divino oraculo iussus sum nuntiare omnibus Franciae comitibus, ut patria relicta cuncti pergant ad sancti sepulcri adorationem omnique vi totoque animo Hierosolyma ex Aga-

κατώρθωκεν. ὥσπερ γάρ τινα θείαν ὀμφὴν ἐνθέμενος εἰς τὰς
ἁπάντων ψυχὰς τοὺς ὁπουδήποτε Κελτοὺς ἄλλον ἀλλαχόθεν
V. 225 σὺν ὅπλοις καὶ ἵπποις καὶ τῇ λοιπῇ τοῦ πολέμου παρα-
σκευῇ συναθροίζεσθαι παρεσκεύαζε. κἀκεῖνοι μὲν οὕτως
εἶχον προθυμίας τε καὶ ὁρμῆς καὶ πᾶσα λεωφόρος τούτους 5
εἶχε· συνεπήει δὲ τοῖς στρατιώταις ἐκείνοις Κελτοῖς καὶ
ψιλὸν ὑπὲρ τὴν ἄμμον καὶ τὰ ἄστρα πλῆθος φοίνικας φέρον
καὶ σταυροὺς ἐπ' ὤμων, γύναιά τε καὶ τέκνα τῶν σφῶν ἐξ-
εληλυθότα χωρῶν. καὶ ἦν ὁρᾶν αὐτοὺς καθάπερ τινὰς πο-
C ταμοὺς ἁπανταχόθεν συρρέοντας καὶ διὰ τῶν Δακῶν· ὡς 10
ἐπίπαν [πρὸς τὰς] πρὸς ἡμᾶς ἐπερχομένους πανστρατιᾷ.
προηγήσατο δὲ τῆς τῶν τοσούτων λαῶν ἐλεύσεως ἀκρὶς τῶν
μὲν πυρῶν ἀπεχομένη, τοὺς δὲ ἀμπελῶνας δεινῶς κατεσ-
θίουσα. ἦν δ' ἄρα τοῦτο σύμβολον, ὡς οἱ τότε συμβολο-
μάντεις ἀπεμαντεύοντο, ὡς ἡ ἔφοδος τοῦ τοσούτου Κελτικοῦ 15
στρατεύματος τῶν μὲν Χριστιανικῶν πραγμάτων ἀπόσχηται,
δεινῶς δ' ἐπιβρίσειε κατὰ τῶν βαρβάρων Ἰσμαηλιτῶν μέθῃ
καὶ οἴνῳ καὶ τῷ Διονύσῳ δεδουλευκότων. τοῦτο γὰρ τὸ
γένος Διονύσῳ τε ὑπείκει καὶ Ἔρωτι καὶ πρὸς παντοίας
D μίξεις καταφορώτατον καὶ μὴ συμπεριτεμνόμενον τῇ σαρκὶ 20
καὶ τὰ πάθη. καὶ ἔστιν οὐδὲν ἄλλο ἢ δοῦλον καὶ τρίδουλον
τῶν τῆς Ἀφροδίτης κακῶν. ἔνθεν τοι καὶ τὴν Ἀστάρτην

1. κατώρθωκεν FC, κατόρθωκεν P. 8. ἐπ' om. G.
11. πρὸς τὰς seclusi. ἐπερχομένοις G. πανστρατιὰ F.
12. ἐλεύσεως F, ἐπελεύσεως P. 14. τοῦτο τὸ P, τὸ om. C.
15. τοῦ τοσούτου] τουτὶ τοῦ G. 20. καταφορώτατα G.

renorum manibus eripere studeant." nec infeliciter rem gessit. etenim omnium animis quasi divinam vocem immittens effecit, ut undique Galli alius aliunde cum armis equis reliquo belli apparatu affluerent: tanta fuit illorum alacritas atque impetus. omnes adeo viae publicae ab iis terebantur; ac proficiscebantur una cum Gallorum militibus inermes quoque, mulieres puerique patria sede relicta, qui multitudine harenam astraque anteibant rubras in humeris gestantes cruces. atque instar amnium undique confluentium per Daciam imprimis ad nos omnes veniebant. tot populorum adventum locustae praecedebant, quae segetibus parcentes solas in vineas saeviebant. quae res significabat, ut vates praesagivere, hos Gallicos exercitus temperaturos a Christianis, barbaris autem Ismaëlitis ebrietati ac vino Bacchoque deditis graviter nocituros esse. ea enim gens Baccho Venerique obnoxia maximeque ad cuiusvis generis concubitus prona est nec libidinem cum carne circumcidit, verum perditissima est Veneris vitiorum serva. hinc Astarten quoque et Astaroth adorant coluntque; tum astri

αὐτοὶ καὶ τὴν Ἀσταρὼθ προσκυνοῦσι καὶ σέβονται καὶ τοῦ ἄστρου τὸν τύπον περὶ πλείονος τίθενται καὶ τὴν χρυσῆν παρ' ἐκείνοις Χοβάρ. ὁ μέντοι σῖτος εἰς τὸν Χριστιανισμὸν τοῖς συμβολικοῖς τούτοις ἐξελαμβάνετο διὰ τὸ νηφάλιόν τε
5 καὶ τροφιμώτατον. οὕτω μὲν οὖν οἱ μάντεις τὰς ἀμπέλους P. 285
καὶ τὸν πυρὸν ἐξεδέξαντο. ἀλλὰ τὰ μὲν περὶ τῶν μάντεων οὕτως ἐχέτω· τὰ δὲ κατὰ τὴν ἔφοδον τῶν βαρβάρων οὕτω παρηκολουθήκει καὶ καινόν τι κατανοεῖν τοῖς γε νοῦν ἔχουσιν ἐνῆν. τῆς γὰρ τῶν τοσούτων ἐλεύσεως οὐχ ὁμοῦ οὐδὲ κατὰ
10 ταὐτὸν γινομένης (καὶ πῶς γὰρ τοσαῦτα πλήθη ἐκ διαφόρων τόπων ἐξορμήσαντα ὁμαδὸν τὸν τῆς Λογγιβαρδίας πορθμὸν διανήξασθαι ἐνῆν;) οἱ μὲν πρῶτοι, οἱ δὲ δεύτεροι, οἱ δὲ τούτων ὄπισθεν καὶ καθεξῆς οἱ ἅπαντες τὸν ἀπόπλουν οὕτω ποιούμενοι διὰ τῆς ἠπείρου διήρχοντο. προηγεῖτο δὲ
15 ἑκάστου στρατεύματος τούτων ἀκρὶς ἀμύθητος, ὡς ἔφαμεν. B
ἅπαντες γοῦν ἅπαξ καὶ δὶς τοῦτο θεασάμενοι προδρόμους ταύτας τῶν Φραγγικῶν ταγμάτων ἐγνώρισαν. ὡς δὲ σποράδην τινὲς τὸν τῆς Λογγιβαρδίας διεπέρων ἤδη πορθμόν, ὁ αὐτοκράτωρ μετακαλεσάμενός τινας τῶν Ῥωμαϊκῶν δυνάμεων
20 ἀρχηγοὺς ἐκπέμπει τούτους πρὸς τὰ μέρη Δυρραχίου καὶ Αὐλῶνος ἐντειλάμενος δέχεσθαι μὲν προσηνῶς τοὺς διαπερῶντας πανηγύρεις τε δαψιλεῖς ἐξ ἁπασῶν τῶν χωρῶν κατὰ

2. τόπον G. πείθονται G. 4. τὸν C. 8. καὶ om. G. γε F, τε P. 10. γινομένης FC, γενομένης P. 11. Λογγοβαρδίας P, correxi. ἐξορμήσαντες G. ὁμαδὸν] in mg. m. 2 κραυγὴ θόρυβος F. 18. διεπείρων G.

effigiem maximi faciunt auream que suam Chobarem. at frumentum de Christianis symbolorum periti interpretabantur ob temperantiam et nutriendi vim. ita igitur vineas frumentumque vates acceperunt. atque haec de vatibus ita se habeant: barbarorum autem de adventu haec adnotanda sunt. sane novi aliquid prudentiores intellegere sibi videbantur. nam cum tot homines non una nec eadem via pergerent (qui enim istae copiae ex diversis locis profectae Longibardiae fretum una transicere poterant?) certis intervallis deinceps transgressi omnes continentem peragrarunt, praecedente, ut dixi, quodvis agmen infinita multitudine locustarum, quae re saepius observata praecursores Francicorum exercituum vulgo vocabantur. cum vero iam quidam passim Longibardiae fretum traicerent, mittit imperator duces quosdam Romani exercitus Dyrrachium et Aulonem versus, qui traicientes ibi benigne exciperent iisque largos commeatus ex omnibus regionibus, qua forte iter esset,

τὴν ὁδὸν ἐξάγειν, εἶτα ἐνεδρεύειν παρακολουθοῦντας διόλου καὶ ἐπὰν ἐκδρομάς τινας τούτους θεάσοιντο ποιουμένους εἰς C προνομὴν τῶν παρακειμένων χωρῶν ἐκτρέχοντας, ἀναστέλλειν διὰ μετρίων ἀκροβολισμῶν. συμπαρῆσαν δὲ τούτοις καί τινες τῆς Λατινικῆς διαλέκτου εἰδήμονες, ἵνα τὰς ἀναφυομένας 5 μεταξὺ μάχας καταστέλλωσιν. ἀλλ' ὅπως σαφέστερον ἀφη-V. 226 γησαίμην τὸ πρᾶγμα καὶ κατὰ μέρος, ταύτης τῆς φήμης διαδραμούσης ἁπανταχοῦ πρῶτος ὁ Γοντοφρὲ τὴν ἰδίαν ἀπεμπολήσας χώραν τῆς προκειμένης ὁδοῦ εἴχετο· ἀνὴρ δὲ οὗτος πολυχρήματος καὶ ἐπὶ γενναιότητι καὶ ἀνδρείᾳ καὶ γένους 10 περιφανείᾳ μεγάλως αὐχῶν· ἕκαστος γὰρ τῶν Κελτῶν ἔσπευδε προτρέχειν τῶν ἄλλων. καὶ γέγονε συγκίνησις οἵαν οὐδέπω τις μέμνηται ἀνδρῶν τε καὶ γυναικῶν, τῶν μὲν ἁπλουστέρων D ὡς τὸν τοῦ κυρίου προσκυνῆσαι τάφον καὶ τὰ κατὰ τοὺς ἱεροὺς ἱστορῆσαι τόπους ἐπειγομένων ἐπ' ἀληθείᾳ, τῶν δέ 15 γε πονηροτέρων καὶ μᾶλλον ὁποῖος ὁ Βαϊμοῦντος καὶ οἱ τούτου ὁμόφρονες ἄλλον ἐνδομυχοῦντα λογισμὸν ἐχόντων, εἴπου ἐν τῷ διέρχεσθαι δυνηθεῖεν καὶ αὐτὴν τὴν βασιλεύουσαν κατασχεῖν καθάπερ πόρισμά τι ταύτην εὑρηκότες. ἐτάρασσε δὲ τὰς τῶν πλειόνων καὶ γενναιοτέρων ψυχὰς ὁ Βαϊμοῦντος 20 ὡς παλαιὰν μῆνιν κατὰ τοῦ αὐτοκράτορος τρέφων. ὁ μὲν οὖν Πέτρος μετὰ τὸ ταῦτα διακηρυκεῦσαι πάντων προηγησάμενος τὸν τῆς Λογγιβαρδίας διεπέρασε πορθμὸν μετὰ

12. οἵαν F, οἷα P. 13. τε F, om. P. 14. προσκυνῆσαι τάφον F, τάφον προσκυνῆσαι P. 18. τῷ F, αὐτῷ P. 19. κάπερ G.

congererent: ipsi vero clam subsequerentur et cum eos in obiacentes pagos praedatum via devertere cernerent, modicis iaculationibus summoverent. erant cum iis periti quidam linguae latinae, ut, si quid rixae oriretur, omnia componerent. sed ut rem accuratius exponam et de singulis distinctius dicam, divulgata ubique illa fama primus Gotofredus propria terra vendita iter propositum erat ingressus, qui erat vir ditissimus maximeque generositate fortitudine nobilitate elatus: Gallorum enim alii alios praevenire studebant. nec a quoquam tanta virorum mulierumque commotio commemorata est; e quibus simpliciores quidem domini sepulcrum venerari sanctaque loca religiose visere cupiebant, callidiores vero ac similiores Boëmundi eorumque qui eadem atque ille sentiebant spem Constantinopolis, tamquam si hoc corollarium esset, obiter occupandae clam conceperant. Boëmundus vero vetere in imperatorem odio flagrans animos plurimorum procerum conturbabat. interim Petrus, postquam praeconis instar illa promulgavit, primus omnium profectus cum octoginta peditum

πεζῶν μὲν χιλιάδων ὀγδοήκοντα, ἱππέων δὲ χιλιάδων ἀνδρῶν P. 286
ἑκατὸν καὶ διὰ τῶν μερῶν τῆς Οὐγγρίας τὴν βασιλεύουσαν
κατέλαβεν. ἔστι μὲν γὰρ τὸ τῶν Κελτῶν γένος, ὡς εἰκάσαι
τινά, καὶ ἄλλως λίαν θερμότατον καὶ ὀξύ, ἐπὰν δὲ καὶ
5 ἀφορμῆς δράξοιτο, ἀκάθεκτον.

6. Τοῦ δὲ βασιλέως ἅπερ ὁ Πέτρος προεπεπόνθει
παρὰ τῶν Τούρκων γινώσκοντος καὶ συμβουλεύοντος αὐτῷ
καὶ τὴν τῶν λοιπῶν κομήτων καρτερῆσαι ἔλευσιν, οὐκ ἐπεί-
θετο θαρρῶν εἰς τὸ πλῆθος τῶν συνεπομένων αὐτῷ καὶ
10 διαπεράσας ἐπήξατο τὸν χάρακα εἴς τι πολίχνιον Ἑλενού-
πολιν ὀνομαζόμενον. ἐπεὶ δὲ καὶ Νορμάνοι τούτῳ συνεί-
ποντο εἰς δέκα χιλιάδας ποσούμενοι, ἀποκριθέντες τοῦ
λοιποῦ στρατεύματος τὰ κατὰ τὴν Νίκαιαν ἐληΐζοντο πᾶσιν B
ὠμοτάτως χρησάμενοι. τῶν τε γὰρ βρεφῶν τὰ μὲν ἐμέλιζον,
15 τὰ δὲ ξύλοις περιπείροντες ὤπτιζον ἐν πυρί, πρὸς δὲ τοὺς
τῷ χρόνῳ προήκοντας πᾶν εἶδος ποινῆς ἐπεδείκνυντο. οἱ
δὲ ἐντὸς τῶν γινομένων ἐν αἰσθήσει γεγονότες, ἀναπετάσαν-
τες τὰς πύλας κατ' αὐτῶν ἐξῄεσαν. καρτεροῦ δὲ τηνικαῦτα
συρραγέντος πολέμου παλίνορσοι εἴσω τοῦ κάστρου γεγόνασιν
20 ἐκθύμως τῶν Νορμάνων ἀγωνισαμένων. καὶ ὡς τὴν λείαν
ἅπασαν ἀναλαβόμενοι κατέλαβον αὖθις τὴν Ἑλενούπολιν.
λόγου δὲ ἀναμεταξὺ αὐτῶν τε καὶ τῶν μὴ σὺν αὐτοῖς ἀπελ-

1. μὲν FC, om. P. 3. γένος om. G. ὡσεὶ κατά τινα C, ὡς εἰκαστατινὰ G. 4. καὶ τὸ ἀφορμῆς G. 6. τοῦ FCG, τῶν P. 7. Τούργων F. 8. καρτερεῖν CG. 10. ἑλενόπολιν A. 17. αἰσθήσει FCG, αἰσθήστει P.

millibus et centum millibus equitum Longibardiae fretum traiecit et per Ungriae fines caput imperii petiit. nam Celtarum gens, ut facile hinc concluditur, cum semper perfervida acerrimaque est, tum maxime in facienda expeditione effrenata.

6. Imperatori autem, cum quae a Turcis Petrus perpessus erat cognosset eique suasisset, ut ceterorum comitum adventum expectaret, ille fretus insequentium multitudine non oboedivit traiectoque freto ad Helenopolin oppidum castra posuit. iam ad decem millia Normannorum, qui hunc sequebantur, a reliquo exercitu segregati circumiacentem Nicaeae regionem tanta crudelitate vastabant, ut puerulos partim discerperent membratim, partim lignis transfixos igne assarent, adultos vero omnis generis suppliciis afficerent. quo cognito incolae urbis apertis portis in eos erumpunt, sed atroci proelio conserto a Normannis fortiter repugnantibus urbem repetere coguntur. illi cum omni praeda Helenopolin redierunt. ibi cum invidia, ut fit, reliquorum qui remanserant animos accendisset,

θόντων κινηθέντος, ὁποῖα φιλεῖ ἐν τοῖς τοιούτοις γίνεσθαι,
C τοῦ φθόνου τὸν θυμὸν ἀναφλέγοντος τῶν ἀπολειφθέντων
κἀντεῦθεν ἀψιμαχίας ἀμφοῖν γενομένης οἱ τολμητίαι Νορ-
μάνοι ἀποκριθέντες αὖθις τὴν Ξερίγορδον καταλαβόντες ἐξ
ἐφόδου κατέσχον. μαθὼν δὲ τὸ γεγονὸς ὁ σουλτὰν κατ' 5
αὐτῶν μετὰ ἀποχρώσης δυνάμεως ἐκπέμπει τὸν Ἐλχάνην.
ὁ δὲ καταλαβὼν αἱρεῖ μὲν τὴν Ξερίγορδον, τῶν δὲ Νορμά-
νων τοὺς μὲν ξιφῶν παρανάλωμα ἐποιήσατο, τοὺς δὲ καὶ
ζωγρίαν ἦγε μελετήσας ἅμα καὶ κατὰ τῶν συναπολειφθέν-
των τῷ Κουκουπέτρῳ. καὶ λόχους μὲν ἐν ἐπικαίροις κατα- 10
στήσας τόποις, ὡς ἂν ἐν τῷ κατὰ τῆς Νικαίας ἀπιέναι τού-
τοις ἀπροόπτως ἐμπίπτοντες ἀναιρῶνται, γινώσκων δὲ καὶ
D τὸ τῶν Κελτῶν ἐρασιχρήματον δύο τινὰς δραστηρίους τὴν
γνώμην μεταπεμψάμενος ἐνετείλατο ἀπελθεῖν πρὸς τὸ
στράτευμα τοῦ Κουκουπέτρου διακηρυκεύοντας, ὡς οἱ Νορ- 15
μάνοι κατασχόντες τὴν Νίκαιαν δασμὸν τῶν ἐν αὐτῇ
ποιοῦνται. αὕτη ἡ φήμη τοὺς τῷ Πέτρῳ συνόντας καταλα-
V. 227 βοῦσα δεινῶς συνετάραξε. δασμὸν γὰρ καὶ χρήματα ἀκη-
κοότες παραχρῆμα τῆς παρὰ τὴν Νίκαιαν φερούσης ὁδοῦ
ἀσυντάκτως ἥψαντο ἐπιλαθόμενοι μονονοὺ καὶ στρατιωτι- 20
κῆς ἐμπειρίας καὶ τῆς τοῖς πρὸς μάχην ἀπιοῦσιν * εὐταξίας.
ἔστι μὲν γὰρ καὶ ἄλλως τὸ τῶν Λατίνων γένος φιλοχρημα-
P. 287 τώτατον, ὥσπερ ἄνωθεν εἴρηται, ἐπὰν δὲ καὶ πρὸς κατα-
δρομὴν χώρας ἀπονεύσειε, καὶ λόγῳ μὴ χρώμενον ἀχαλινα-

9. ζωγρίαν F, ζωγρεῖαν P. 11. ἐν addidi. 12. ἀναιροῦνται F. 16. ἐνόντων ἐν F. 17. μετὰ τοῦ Πέτρου F. 20. στρατιῶται G. 21. lacunam signavi. 22. γένος om. CG.

exorta disceptatione et rixa feroces Normanni rursus secedunt Xerigordumque facile capiunt. quo sultanus audito mittit in eos cum idoneis copiis Elchanem, qui recepta Xerigordo Normannorum alios gladio cecidit, alios in captivitatem abduxit, simul in eos qui cum Cucupetro remanserant consilia moliens. nam et idoneis locis posuit insidias, in quas qui Nicaeam peterent improviso incidentes interficerentur, et Celtarum avaritia perspecta duos homines strenuos in Petri castra submisit, qui Nicaeam Normannos cepisse omniaque quae inessent inter se dividere nuntiarent. movit ea fama incredibiliter Petri milites; nam praedae opumque mentione facta statim sine ullo ordine Nicaeam versus ruunt omnis peritiae militaris et in proelia euntium disciplinae paene inmemores. Latinorum enim natio cum omnis lucri, ut supra dictum est, avidissima sit, tum etiam, ubi ad invadendas regiones se convertit, nulla ratione refrenari potest. ita-

γώγητον. μὴ κατὰ στοίχους δὲ μήτε ἰλαδὸν πορευόμενοι τοῖς περὶ τὸν Δράκοντα λοχῶσι Τούρκοις περιπίπτοντες οἰκτρῶς ἀνῃροῦντο. καὶ τοσοῦτον πλῆθος Κελτῶν τε καὶ Νορμάνων ἔργον μαχαίρας Ἰσμαηλιτικῆς ἐγεγόνει, ὥστε τὰ
5 ἑκασταχοῦ κείμενα λείψανα τῶν ἀποσφαγέντων ἀνδρῶν συγκομίσαντες μεγίστον οὐ λόφον φημὶ οὐδὲ βουνὸν οὐδὲ σκοπιὰν ἐποιήσαντο, ἀλλ' οἷον ὄρος ὑψηλὸν καὶ βάθος καὶ πλάτος ἀξιολογώτατον ἀπολαμβάνον· τοσοῦτος ἔκειτο ὁ τῶν ὀστῶν κολωνός. καί τινες ὕστερον τῶν ἐκ τοῦ αὐτοῦ γένους
10 τῶν ἀποσφαγέντων. βαρβάρων ἐν σχήματι πόλεως οἰκοδομήσαντες τεῖχος μεσέμβολά τινα καθάπερ κάχληκας τὰ ὀστᾶ τῶν ἀπολωλότων ἐνέθεντο τρόπον τινὰ τάφον αὐτοῖς τὴν πόλιν ποιούμενοι. ἥτις καὶ εἰς τὴν τήμερον ἵσταται τετειχισμένη ὁμοῦ τε λίθοις καὶ ὀστοῖς ἀναμὶξ ἔχουσα τὸν περί-
15 βολον. πάντων οὖν ξιφῶν παρανάλωμα γεγονότων μόνος ὁ Πέτρος μετ' ὀλίγων τινῶν εἰς Ἑλενούπολιν αὖθις ὑποστρέψας εἰσῄει. οἱ δὲ Τοῦρκοι αὖθις τοῦτον ἐνήδρευον ἑλεῖν ἐθέλοντες. ὁ δὲ αὐτοκράτωρ ἅπαντα ἀκηκοὼς καὶ τὴν τοσαύτην ἀνδροκτασίαν βεβαιωθεὶς ἐν δεινῷ ἐποιεῖτο, εἰ καὶ ὁ
20 Πέτρος ἁλῴη. παραχρῆμα τοίνυν μεταπεμψάμενος τὸν Κατακαλὼν Κωνσταντῖνον τὸν Εὐφορβηνόν, οὗ ὁ λόγος ἐν πολλοῖς ἤδη ἐμνήσθη, ἀποχρώσας δυνάμεις ἐν ναυσὶ πολεμικαῖς

B

C

1. ἰλαδὸν] schol. in mg. m. 2.: κατὰ σύστημα F. 2. λοχῶσι F, λαχῶσι P. 9. καί scripsi: κἂν P. 11. μεσέμβολόν G. 12. ἀπολωλότων F, ἀπολωτότων P. 13. τὴν F, om. P. τειχισμένη G.

que nec ordine nec manipulatim procedentes, ad fluvium, qui Draco dicitur, in Turcarum insidias incidunt ac misere trucidantur, tantaque Gallorum Normannorumque multitudo Ismaëlitico gladio periit, ut collatis undique occisorum cadaveribus non tumulus vel collis speculave, sed instar montis et altitudine et latitudine et crassitie eximii acervus existeret: tantus erat ossium agger. postea quidam ex eodem illo barbarorum genere, cum murum in civitatis formam aedificarent, multa pro caemento caesorum ossa lapidibus miscuerunt, quodammodo, ut illis sepulcrum pararent, condentes urbem. manet ea adhuc cincta moenibus saxorum ossiumque mixtura confectis. omnibus vero ad internecionem deletis solus se Petrus cum paucis Helenopolin recipit, iterum Turcis ad intercipiendum eum machinas tendentibus. sed imperator tantae caedis certo nuntio allato non committendum ratus, ut Petrus quoque caperetur, statim Catacalonem Constantinum Euphorbenum, cuius saepe supra meminimus, cum idoneis copiis, quas in naves bellicas impo-

ἐμβαλὼν διαπόντιον εἰς ἀρωγὴν αὐτοῦ πέπομφε. θεασάμενοι δὲ τοῦτον οἱ Τοῦρκοι καταλαβόντα φυγαδείᾳ ἐχρήσαντο. ὁ δὲ μηδὲ μικρὸν ἀναμείνας ἀναλαβόμενος τὸν Πέτρον μετὰ τῶν σὺν αὐτῷ, ῥητοὶ γὰρ ἦσαν, διασώζει πρὸς τὸν βασιλέα. τοῦ δὲ βασιλέως ἀναμιμνήσκοντος αὐτὸν τῆς ἀρχῆθεν ἀβουλίας αὐτοῦ καὶ ὅπως ταῖς αὐτοῦ ὑποθημοσύναις μὴ πειθόμενος τοσούτοις ἐνεπεπτώκει δεινοῖς, ὁποῖα Λατῖνος D ὑψαύχην οὐχὶ ἑαυτὸν αἴτιον τοῦ τοσούτου κακοῦ ἔλεγεν, ἀλλ' ἐκείνους τοὺς μὴ αὐτῷ πειθομένους, ἀλλὰ τοῖς ἰδίοις θελήμασι χρωμένους, λῃστὰς ἀποκαλῶν τούτους καὶ ἅρπαγας καὶ μηδὲ παρὰ τοῖ σωτῆρος εἰς προσκύνησιν τοῦ ἁγίου τάφου διὰ ταῦτα δεκτούς. οἱ μὲν οὖν τῶν Λατίνων, ὁποῖος ὁ Βαϊμοῦντος καὶ οἱ τούτου ὁμόφρονες, ἔρωτα τῆς τῶν Ῥωμαίων ἀρχῆς ἐκ μακροῦ ἔχοντες καὶ ταύτην ἑαυτοῖς περιποιήσασθαι βουλόμενοι, πρόφασιν τὴν τοῦ Πέτρου δια- P. 288 κηρύκευσιν εὑρηκότες, ὡς εἴρηται, τὴν τοιαύτην συγκίνησιν ἐποιήσαντο ἀπατήσαντες τοὺς ἀκεραιοτέρους καὶ σχηματιζόμενοι κατὰ τῶν Τούρκων ἀπέρχεσθαι εἰς ἐκδίκησιν τοῦ ἁγίου τάφου τὰς ἰδίας ἐπίπρασκον χώρας.

7. Οὖβος δέ τις ὁ τοῦ ῥηγὸς Φραγγίας ἀδελφὸς φυσῶν τὰ Ναυάτου ἐπ' εὐγενείᾳ καὶ πλούτῳ καὶ δυνάμει, τῆς

1. διαπόντιοι G. ἀρωγὴν G, ἀγωγὴν P. 2. κατελλαβόντα G. 3. μηδὲ FC, om. P. 4. γὰρ] δὲ? 7. ἐμπεπτώκει G. 8. τοσούτου F, om. P. 10. θελήμασιν P, correxi. 11. εἰς τὴν G. 14. ταῦτα C. 18. ἐκδίκησιν] προσκύνησιν CG. 20. Οὖρος G. φυσσῶν P.

suit, per mare suppetias ei misit; quem appulsum cernentes Turcae se fugae dederunt. is non diu ibi moratus Petrum cum sociis non multis periculo ereptum ad imperatorem ducit; a quo et prioris imprudentiae et quod contra suum consilium in tantas calamitates incidisset, admonitus ille ut Latinus superbus tantam cladem respondit haudquaquam sibi, sed illis imputandam, qui sibi non oboedientes suum ipsorum consilium secuti essent; ac praedones eos raptoresque vocitabat nec dignos, qui a salvatore ad adorationem sancti sepulcri admitterentur. nonnulli igitur Latinorum, Boëmundus scilicet quique eadem sentiebant, iam pridem Romani imperii desiderio flagrantes idque sibi vindicare cupientes Petri, ut dixi, promulgatione praetexta tantum motum fecerant simpliciores decipiendo simulantesque se ad sanctum sepulcrum ulciscendum in Turcas proficisci terras suas vendiderant.

7. Ubus (Hugo) autem quidam, frater regis Franciae, nobilitate divitiis opibus Novati instar praetumidus, cum patria relicta vellet ad

ἐνεγκαμένης μέλλων ἐξελθεῖν τάχα ὡς πρὸς τὸν ἅγιον τάφον, ἀποστείλας ἀπονοίας ῥήματα ἐμήνυσε πρὸς τὸν αὐτοκράτορα V. 228 λαμπρὰν προμηθευόμενος τὴν ὑπαντὴν αὐτῷ γενέσθαι "ἴσθι" λέγων "ὦ βασιλεῦ, ὡς ἐγὼ ὁ βασιλεὺς τῶν βασιλέων B
5 καὶ ὁ μείζων τῶν ὑπ' οὐρανόν· καὶ καταλαμβάνοντά με ἤδη ἐνδέχεται ὑπαντῆσαί τε καὶ δέξασθαι μεγαλοπρεπῶς καὶ ἀξίως τῆς ἐμῆς εὐγενείας". ταῦτα ὁ βασιλεὺς ἀκούσας, ἐπεὶ δοὺξ μὲν ἔτυχε Δυρραχίου Ἰωάννης ὁ υἱὸς Ἰσαακίου τοῦ σεβαστοκράτορος, περὶ οὗ ἄνωθεν εἴρηται, τοῦ δὲ στόλου
10 Νικόλαος ὁ Μαυροκατακαλὼν περὶ τὸν λιμένα τοῦ Δυρραχίου ἐκ διαστημάτων ἐνορμίσας τὰς ναῦς κἀκεῖθεν αὖθις τὰς ἐκδρομὰς ποιούμενος καὶ τὰ πελάγη περισκοπῶν, ὡς μὴ λάθοιεν αὐτὸν ληστρικαὶ νῆες παραπλεύσασαι, ὁ αὐτοκράτωρ εὐθὺς γράμματα πρὸς ἀμφοτέρους ἐκπέμπει ἐντει- C
15 λάμενος τὸν μὲν δοῦκα Δυρραχίου διὰ τῆς ἠπείρου καὶ τῆς παραλίας ἐφεδρεύειν τὴν τούτου ἔλευσιν καὶ παραυτίκα τῷ αὐτοκράτορι ταχεῖαν τῆς τούτου ἐλεύσεως δοῦναι γνῶσιν, αὐτὸν δὲ τὸν Οὖβον ὑποδέξασθαι μεγαλοπρεπῶς, τὸν δὲ δοῦκα τοῦ στόλου παρακελεύσασθαι μηδαμῶς ἀναπεπτωκέναι
20 μηδὲ καταρρᾳθυμεῖν, ἀλλ' ἐγρηγορέναι διὰ παντός. κατὰ τὴν παραλίαν δὲ τῆς Λογγιβαρδίας ὁ Οὖβος διασωθεὶς

3. λαμπρὰν προμηθευόμενος τὴν ὑπαντὴν αὐτῷ γενέσθαι F, προμηθευόμενος τὴν ὑπαντὴν αὐτῷ γενέσθαι λαμπρὰν P. 4. βασιλευόντων G. 5. πάντων τῶν CG. 7. ἀκούσας] ἐνθεσσαλονίκῃ add. F; sed expunctum est. 8. ὁ FC, om. P. 12. πελάγου G. 13. αὐτὸν om. CG. 16. παραυτίκα F, παραχρῆμα P. 19. παρακελευσάμενος? 20. καταρραθυμεῖν F, καταραθυμεῖν P.

sanctum sepulcrum pervenire, ut splendida sibi occursatio fieret, ad imperatorem hunc amentiae nuntium misit: "Scias, imperator, esse me regem regum et maiorem cunctis, qui sub caelo sunt. itaque adventanti mihi istuc decet obviam iri meque excipi magnifice et ut nobilitati meae consentaneum sit." quo audito, cum Dyrrachii dux esset Ioannes Isaaci sebastocratoris filius, de quo supra diximus, classi vero circa Dyrrachii portum certis intervallis collocatae praeesset Nicolaus Maurocatacalo, qui crebris inde excursionibus mare observabat, ne praeternavigantes piraticae naves sibi laterent, imperator ad utrumque epistulis datis mandavit Dyrrachii duci, ut a continente littoreque Galli adventum opperiretur eiusque nuntium quam celerrime ad imperatorem mitteret, Ubum ipsum exciperet magnifice; ducem vero classis nec cessare aut languescere, sed perpetuo vigilare iussit. interim Ubus, postquam ad Longibar-

πρέσβεις τηνικαῦτα ἐκπέμπει πρὸς τὸν δοῦκα Δυρραχίου
εἴκοσι πρὸς τοῖς τέσσαρσι τὸν ἀριθμόν, θώραξι χρυσέοις
D σὺν αὐταῖς κνημῖσι περιπεφραγμένους, μετὰ τοῦ κόμητος
Τζερπεντηρίου καὶ Ἠλία τοῦ ἐκ Θεσσαλονίκης ἀποδράσαν-
τος ἀπὸ τοῦ αὐτοκράτορος. οἱ δὲ πρὸς τὸν δοῦκα τοιαῦτα 5
ἔλεγον "γνωστὸν ἔστω σοι, δούξ, ὅτι ὁ κύριος ἡμῶν Οὖβος
ὅσον ἤδη καταλαμβάνει ἀναλαβόμενος ἀπὸ Ῥώμης τὴν χρυ-
σῆν τοῦ ἁγίου Πέτρου σημαίαν. ἀρχηγὸν δὲ τοῦτον ἐπί-
στασο τοῦ Φραγγικοῦ στρατεύματος ἅπαντος. ἑτοιμάσθητι
γοῦν πρὸς τὴν τούτου καὶ τῶν ὑπ' αὐτὸν δυνάμεων δοχὴν 10
ἀξίαν τῆς αὐτοῦ ἐξουσίας καὶ τὴν πρὸς αὐτὸν ὑπαντὴν
ποιησόμενος". τούτων τοιαῦτα πρὸς τὸν δοῦκα λεγόντων
ὁ Οὖβος διὰ τῆς Ῥώμης εἰς Λογγιβαρδίαν, ὡς εἴρηται, κατ-
ελθὼν καὶ διὰ τῆς Βάρεως ὡς πρὸς τὸ Ἰλλυρικὸν τὸν
ἀπόπλουν ποιούμενος κλύδωνι μεγίστῳ περιπεσὼν ἀπώλεσε 15
τὰ πλείω τῶν αὐτοῦ πλοίων σὺν αὐτοῖς ἐρέταις καὶ ἐπι-
P. 289 βάταις, ἑνὸς μόνου σκάφους, ἐν ᾧ αὐτὸς ἔτυχε, κατὰ τὴν
μεσαίχμιον παραλίαν τοῦ τε Δυρραχίου καὶ τόπου τινὸς
καλουμένου Πάλους ἀποπτυσθέντος οἷον παρὰ τῶν κυμάτων
καὶ αὐτοῦ ἡμιθραύστου. παραδόξως δὲ τούτῳ σωθέντι περι- 20
τυχόντες δύο τινὲς τῶν περισκοπούντων τὴν τούτου ἔλευσιν
μετεκαλοῦντο αὐτὸν λέγοντες ὡς "ὁ δοὺξ ἀπεκδέχεταί σου τὴν

2. τοῖς om. G. 4. Ζερπεντηρίου C. 5. τοῦ FCG, οὐ P.
9. ἑτοιμάσαι τοιγαροῦν CG. 14. τὸν F. 16. **τὰ F.
17. μόνως G. 21. τῶν περισκοπούντων F, περισκοποῦν-
τες P. 22. ἀπεκδέχεται C, ἐπεκδέχεται P.

diae litus feliciter pervenit, legatos ad ducem Dyrrachii mittit quatuor et viginti aureas loricas ocreasque indutos una cum comite Tzerpenterio et Elia, qui Thessalonica ab imperatore profugerat. qui ad ducem in hunc modum verba fecerunt: "Notum sit tibi, o dux, dominum nostrum Ubum quam primum adventare sumpto Romae aureo sancti Petri vexillo. hunc vero scias summum esse ducem universi Francorum exercitus. ergo te para ad ipsum exercitumque eius pro dignitate excipiendum occursumque debitum ei reddendum." talia istis duci dicentibus Ubus Roma in Longibardiam, ut commemoravi, profectus et per Barium Illyricum versus navigans ingenti tempestate plerasque naves suas cum nautis militibusque amisit; una dumtaxat scapha, qua forte ipse vehebatur, fluctibus et ipsa semilacera ad litus inter Dyrrachium et locum, qui Palus vocatur, eiecta est. ita mirabiliter servato ipsi obviam fiunt duo quidam eorum, qui eius adventum observabant, eumque compellantes "Dux" aiunt "expectat tuum

ἄφιξιν ἐπιποθῶν σε θεάσασθαι". ὁ δ' εὐθὺς ἵππον ἐζήτει. ἅτερος οὖν τούτων ἀποβὰς τοῦ ἵππου τοῦτον αὐτῷ μάλα προθύμως δίδωσιν. οὕτω γοῦν τοῦτον ὁ δοὺξ σωθέντα θεασάμενος καὶ προσηγορίας ἀξιώσας, ὅπῃ τε καὶ ὅθεν B
5 ἐπερωτήσας καὶ ὅπως αὐτῷ διαπλωϊζομένῳ τὰ δεινὰ ξυμβέβηκε μαθὼν καὶ ἐπανακτησάμενος χρησταῖς ὑποσχέσεσι τράπεζαν αὐτῷ δαψιλῆ τοῦ λοιποῦ παρατίθησιν. μετὰ δὲ τὴν εὐωχίαν ἀνέτως μὲν οὐκ, ἐλευθέρως δὲ παντελῶς εἶχε. ταχὺ δὲ τῷ αὐτοκράτορι τὰ κατ' αὐτὸν δηλώσας ἐκαρτέρει
10 τὸ ποιητέον ἐκεῖθεν δέξασθαι. ἅπαντα δὲ μεμαθηκὼς ὁ αὐτοκράτωρ ὀξέως τὸν Βουτουμίτην πέμπει πρὸς τὴν Ἐπίδαμνον, ἣν πολλάκις Δυρράχιον κατωνομάσαμεν, ἐφ' ᾧ τὸν V. 229 Οὖβον ἀναλαβέσθαι καὶ μὴ τὴν εὐθεῖαν βαδίσαι, ἀλλὰ παρεκ- C κλῖναι καὶ διὰ τῆς Φιλιππουπόλεως αὐτὸν ἀγαγεῖν εἰς τὴν
15 μεγαλόπολιν. ἐδεδίει γὰρ τὰ ὄπισθεν ἐρχόμενα Κελτικὰ πλήθη καὶ στρατεύματα. δεξάμενος δὲ τοῦτον ὁ βασιλεὺς ἐντίμως καὶ παντοίας φιλοφροσύνης ἀξιώσας χρήματά τε ἱκανὰ ἐπιδοὺς πείθει παραχρῆμα ἄνθρωπον αὐτοῦ γενέσθαι τὸν τοῖς Λατίνοις συνήθη ὅρκον ἐπομοσάμενον.
20 8. Ἀλλὰ ταῦτα μὲν τὰ κατὰ τὸν Οὖβον ἐκ προοιμίου· ὁ δέ γε Βαϊμοῦντος, οὗ ἄνωθεν ὁ λόγος πολλάκις ἐμνήσθη, πεντεκαίδεκα ἡμερῶν οὔπω διελθουσῶν διεπέρασεν εἰς τὴν

1. ἔλευσιν CG. σε om. G. 2. οὖν] δὲ F. 3. τοῦτον FCG, om. P. 4. θεασάμενος om. G. 6. καὶ om. G. 7. δαψιλὴν G. 8. ἄνετον A. ἀνέτως μὲν om. CG. οὐκ om. A. ἐλεύθερον ACG. 11. Βουτομίτην G.

adventum videndi te cupidus." statim illo equum poscente alter horum desiliens suum perofficiose tradit. itaque dux, cum Ubum honorifica salutatione excepisset, quo et unde percontatus audito infelicis navigationis periculo faustis eum pollicitationibus consolatur lautasque deinde apponit epulas. post cenam liberaliter eum quidem, at non plane libere apud se detinet, confestimque imperatori hac re nuntiata, dum ab eo accipiat quid faciat, expectat. omnibus vero cognitis Augustus Epidamnum, quam urbem Dyrrachium saepe vocavimus, mittit celeriter Butumitem, ut Ubum exciperet neve recta cum eo procederet, sed deflectens per Philippopolin eum in regiam urbem duceret: metuebat enim subsequentes Francorum copias et exercitus. hunc imperator insigni honore exceptum multaque affectum benevolentia magnis pecuniis datis statim commovit, ut sacramento Latinis usitato ipsius se hominem profiteretur.

8. Haec de Ubo velut prooemii causa dicta sunto. at Boëmundus, cuius supra saepe mentio facta est, quindecim diebus

D ἀκτὴν τοῦ Καβαλίωνος μετὰ κομήτων διαφόρων καὶ στρατεύματος ἀριθμὸν ὑπερβαίνοντος ἅπαντα. τόπος δὲ οὗτος ἐγγὺς τῆς Βοούσης· ὀνόματα δὲ ταῦτα τῶν ἐν τοῖς μέρεσιν ἐκείνοις τόπων. καὶ μεμφέσθω μηδεὶς ἡμῖν τοιούτοις χρωμένοις ὀνόμασιν βαρβαρικοῖς καὶ ἀφ' ὧν ἔστι τὸ ὕφος τῆς 5 ἱστορίας καταμιαίνεσθαι· οὐδὲ γὰρ οὐδ' Ὅμηρος ἀπηξίωσε Βοιωτοὺς ὀνομάζειν καί τινας βαρβαρώδεις νήσους διὰ τὴν τῆς ἱστορίας ἀκρίβειαν. κατὰ πόδας δὲ τούτου καὶ ὁ κόμης P. 290 Πρεβέντζης ταῖς ἀκταῖς τοῦ πορθμοῦ Λογγιβαρδίας προσπελάσας, ἐπεὶ διαπερᾶν καὶ αὐτὸς ἐβούλετο, μυριοφόρον 10 ναῦν ληστρικὴν μισθωσάμενος τριάρμενον ἑξακισχιλίων χρυσίου στατήρων, ἐν ᾗ ἐρέται μὲν διακόσιοι, ἐφόλκια δὲ τὰ συνεφεπόμενα ταύτῃ τρία. τὸν ἀπόπλουν οὐ πρὸς τὰ μέρη τοῦ Αὐλῶνος ἐπεποίητο καθὼς τὰ λοιπὰ τῶν Λατίνων στρατεύματα, ἀλλὰ τὸν Ῥωμαϊκὸν ὑφορώμενος στόλον λύσας 15 τὰ πρυμνήσια μικρὸν παρεκκλίνας κατευθὺ Χιμάρας τὸν ἀπόπλουν ἐποιεῖτο οὐρίου τυχὼν πνεύματος. φεύγων δὲ B τὸν καπνὸν εἰς πῦρ ἐπεπτώκει. καὶ γὰρ οὐχὶ τοῖς σποράδην ἐνεδρεύουσι τὸν τῆς Λογγιβαρδίας πορθμὸν ναυτικοῖς περιέτυχεν, ἀλλ' αὐτῷ τῷ δουκὶ τοῦ ὅλου Ῥωμαϊκοῦ στόλου Νικο- 20 λάῳ τῷ Μαυροκατακαλών. ὃς πόρρω περὶ τῆς ληστρικῆς ἐκείνης νηὸς μεμαθηκώς, τὰς τοῦ ὅλου στόλου διήρεις καὶ

1. Καβαλίωνος] βουβαλίωνος A. 3. Βόσης G. ἐν om. G. 5. ἔστι om. G. 7. Βοιωτοὺς F, Βιωτοὺς P. 9. πρεβέντζας A. 12. χρυσίου scripsi: χρυσίων P. 13. ταῦτα G, ταύτην A. 16. τὰ FC, τὲ P. Χιμόρος G. 17. γὰρ G. 18. ἐμπεπτώκει A. καὶ] οὐ CG. 22. τὰς om. F.

interiectis cum clarissimis comitibus innumeroque exercitu ad Cabalionis litus transiit. qui locus prope est Bousam. sunt ea nomina locorum istius regionis: quibus barbaris nominibus utentes iisque historiae contextum contaminantes nemo nos vituperet. nam ne Homerus quidem indignum putabat, nominare Boeotos et quasdam barbarorum insulas ob historiae diligentiam. iam Prebentzae comes Boëmundi vestigia premens et ad Longibardiae litus progressus, cum et ipse traiecturus esset, sex millibus aureorum staterum piraticam navem maximam trium velorum ducentorumque remigum conduxit; quae tres quoque naves remulco trahebat. nec Aulonem versus, ut reliqui Latinorum exercitus, navigavit, sed Romanam timens classem solutis funibus modica declinatione usus Chimaram secundo vento tetendit. fumum autem fugiens incidit in ignem. neque enim in nauticos disperse in Longibardico freto excubias agentes incidit, verum in ipsum universae classis Romanae ducem, Nicolaum Maurocatacalonem, qui iam dudum de piratica ista nave certior

τριήρεις καί τινας δρομάδας ἀναλαβόμενος ναῦς ἀπελθὼν ἵστατο εἰς Καβαλίωνα ἀντικρὺ τοῦ Ἄσωνος, ἐξ οὗπερ ἐξεληλύθει τὸν μέγαν ἐκεῖσε στόλον καταλιπών, καὶ ἀπέστειλε τὸν καλούμενον δεύτερον κόμητα μετὰ τοῦ ἰδίου 5 κατέργου ἐξκουσσάτου παρὰ τοῖς ναυτικοῖς καλουμένου ἐπισκήψας αὐτῷ, ἵν' ὁπηνίκα τὰ πρυμνήσια τῆς ἤδη ῥηθείσης νηὸς οἱ ἐρέται λύσαντες εἰς κῦμα θαλάσσης ἐμβάλωσι, πυρσὸν ἀνάψῃ. ὁ δὲ ἀπελθὼν παραχρῆμα τὸ κελευσθὲν ἐποίει. ὁ δὲ δοὺξ Νικόλαος τοῦτο θεασάμενος τὰς μὲν τῶν νηῶν 10 τοῖς ἱστίοις παραχρῆμα ἐπτέρου, τὰς δὲ καὶ οἷον πολύποδας ταῖς κώπαις ἀπεργασάμενος κατὰ τοῦ διαπερῶντος χωρεῖ κόμητος. οὔπω δὲ τρεῖς σταδίους ἀπὸ τῆς χέρσου διαπλωϊσάμενον καταλαμβάνει τοῦτον πρὸς τὴν περαίαν Ἐπιδάμνου σπεύδοντα, ἐνόπλους μὲν στρατιώτας ἔχοντα χιλίους πρὸς 15 τοῖς πεντακοσίοις, ἵππους δὲ τῶν ἐκκρίτων ὀγδοήκοντα. ὃν θεασάμενος ὁ πηδαλιοῦχος τῆς νεώς φησι πρὸς τὸν κόμητα Πρεβέντζης· "ἐκ Συρίας ὁ ἤδη καταλαμβάνων ἡμᾶς στόλος ἐστὶ καὶ κίνδυνος μαχαίρας καὶ ξιφῶν παρανάλωμα γενέσθαι." παραχρῆμα γοῦν ὁ κόμης θωρήξασθαί τε ἐκέλευεν 20 ἅπαντας καὶ καρτερῶς μάχεσθαι. κἂν δὲ μέσος χειμὼν ἦν, ὁπότε ἡ μνήμη τοῦ ἐν ἱεράρχαις μεγίστου Νικολάου τελεῖ-

C D V. 230

5. ἐξκουσσάτου F, ἐξκουσάτου P. ναύταις καλούμενον G. 9. θεσάμενος F. 11. χωρείου G. 12. οὗτος G. 17. Πρεβέτζης F, Πρεβέτζον P, πρεβέντζας A. 19. γοῦν F, οὖν P. ἐκέλευεν F, ἐκέλευσεν P. 21. μεγίστου F, μεγάλου AC, om. G.

factus omnibus triremibus biremibusque et nonnullis celeribus assumptis locum ad Cabalionem adversus Asonem ceperat, magna Asone, ubi fuerat, classe relicta. is mittit secundum quem dicunt comitem cum sua triere, quae Excusata a nauticis vocatur, eumque, si navis ante commemoratae nautae funibus solutis mare ingrederentur, facem accendere iussit; idque statim ille profectus peregit. conspecto signo alias naves Nicolaus dux velis ad navigandum parabat, alias multis quasi pedibus remorum instruxit. quo facto adversus transfretantem comitem navigat eumque assequitur vix tribus a continenti stadiis profectum Epidamnumque urbem in adversa ripa sitam cum mille quingentis armatis et equis egregiis octoginta petentem. hunc conspiciens navis gubernator Prebentzae comiti "classis" inquit "e Syria nobis infesta fit obviam caedisque ac necis periculum adest." tum comes extemplo omnes indui loricis et fortiter pugnare iubet; ac licet media hiems esset (celebrabatur enim memoria summi antistitis Nicolai), tamen omne mare tranquillum

ται, ἀλλ' ὅμως νηνεμία ἔτυχε παντελὴς καὶ ἡ νὺξ πανσέληνος φαίνουσα τότε μᾶλλον ἢ ἐν ἔαρι. πεπαυμένων δὲ παντάπασι τῶν ἀνέμων οὐκέτι ἡ ληστρικὴ ναῦς κινεῖσθαι πρὸς ἰσχύος εἶχε καὶ συνέβαινε ταύτην ἀτρεμεῖν ἐν τοῖς ὕδασιν. ἀλλ' ἐνταυθοῖ τοῦ λόγου γενομένη βουλοίμην ἂν τὴν γλῶτταν 5 ἐπαφεῖναι τοῖς τοῦ Μαριανοῦ κατορθώμασιν. ὃς παραχρῆμα παρὰ τοῦ δουκὸς τοῦ στόλου καὶ ἰδίου πατρὸς τὰ κουφότερα τῶν P. 291 πλοίων αἰτήσας κατευθὺ τῆς νεὼς ἐκείνης ἵεται καὶ τῇ πρώρᾳ συνεισπεσὼν ταύτης ἀπεπειρᾶτο. συνέρρεον δὲ παραχρῆμα ἐκεῖσε οἱ ἔνοπλοι καρτερῶς τοῦτον ἐξωπλισμένον πρὸς 10 μάχην θεασάμενοι. ὁ δὲ Μαριανὸς τοῖς Λατίνοις τῇ ἐκείνων ἀποχρώμενος διαλέκτῳ παρεκελεύετο μὴ δεδιέναι μηδὲ μάχεσθαι πρὸς ὁμοπίστους. βάλλει δέ τις τοῦτον τῶν Λατίνων διὰ τῆς τζάγγρας κατὰ τῆς κόρυθος. ἡ δὲ τζάγγρα τόξον μέν ἐστι βαρβαρικὸν καὶ Ἕλλησι παντελῶς ἀγνοούμενον· 15 τείνεται δὲ οὐχὶ τῆς μὲν δεξιᾶς ἑλκούσης τὴν νευράν, τῆς B δὲ λαιᾶς ἀνθελκούσης τὸ τόξον, ἀλλὰ δεῖ τὸν διατείνοντα τὸ ὄργανον τουτὶ τὸ πολεμικὸν καὶ ἑκηβολώτατον, ὡς ἂν τις εἴποι, ὕπτιον κείμενον ἑκάτερον μὲν τῶν ποδῶν ἐνερεῖσαι τοῖς ἡμικυκλίοις τοῦ τόξου, ἀμφοτέραις δὲ ταῖς χερσὶ 20 τὴν νευρὰν μάλα γενναίως ἀνθελκύσαι. ἧς κατὰ τὸ μέσον σωλήν ἐστι κυλινδικὸν ἡμίτομον ἐξημμένον αὐτῆς τῆς νευρᾶς

2. ἄερι G. 3. ἡ FCG, om. P. 6. *Μαριᾶν* G. 7. *παρὰ* addidi. *πατρὸς*] *πρὸς* G. 8. *νεὼς* F, *νηὼς* P. 9. *ταύτην* G. 11. *θεασάμενον* G. *Μαριᾶν* G. 14. *τζάγγρας* A, *τζάγρας* P: sic et postea. *κόρυκος* F. 19. *μὲν* om. G. 22. *αὐτῇ τῇ νευρᾷ* G.

ἀποστελλόμενον ἀρχηγὸν παραδιδόναι. ταῦτ' οὖν ἐπομοσάμενος χρήματά τε ἱκανὰ λαβὼν ὁμέστιός τε καὶ ὁμοτράπεζος αὐτῷ γεγονὼς καὶ δαψιλῶς εὐωχηθεὶς διαπεράσας κατὰ τὸν Πελεκάνον ηὐλίσατο. ὁ δὲ βασιλεὺς τηνικαῦτα ἐπέσκηψε C
5 δαψιλεῖς πανηγύρεις ἐξάγειν αὐτοῖς.

10. Κατόπιν δὲ τούτου ἐφθακὼς καὶ ὁ Ῥαοὺλ καλούμενος κόμης μετὰ πεντεκαίδεκα χιλιάδων ἱππέων τε καὶ πεζῶν καὶ κατὰ τὴν Προποντίδα περὶ τὴν καλουμένην μονὴν τοῦ Πατριάρχου σκηνώσας μετὰ τῶν ὑπ' αὐτὸν κομήτων τοὺς
10 λοιποὺς μέχρις αὐτοῦ Σωσθενίου κατέθετο. ὡς δὲ καὶ αὐτὸς τὰ αὐτὰ τῷ Γοντοφρὲ φρονῶν ἀνεβάλλετο τέως τὴν τῶν ὄπισθεν ἐρχομένων ἀπεκδεχόμενος ἔλευσιν, ὁ βασιλεὺς στοχαζόμενος τοῦ μέλλοντος ἐδεδίει τὴν τούτων ἄφιξιν καὶ D αὐτῶν ὅλῃ χειρὶ καὶ γνώμῃ τὴν διαπεραίωσιν ἐπέσπευδεν.
15 ἀποστείλας τοίνυν τὸν Ὦπον μετεκαλεῖτο (εὐσθενὴς δὲ οὗτος φρονήσει καὶ τῇ περὶ τὰ στρατιωτικὰ ἐμπειρίᾳ μηδενὸς ἀποδέων) καὶ ἐπειδὴ παρῆν, μεθ' ἑτέρων γενναίων ἀνδρῶν διὰ τῆς ἠπείρου πρὸς αὐτὸν ἐξέπεμψε παρακελευσάμενος καταναγκάσαι τούτου τὴν διαπεραίωσιν. ἐπεὶ δὲ P. 299
20 τοῦτον ἑώρα τῷ βασιλικῷ μηδαμῶς ὑπείκοντα προστάγματι, ἀλλ' ἀναισχυντοῦντα καὶ πολλὰ κατὰ τοῦ βασιλέως φρυαττόμενον, ὁπλισάμενος παρετάξατο μορμολυττόμενος τάχα τὸν

4. ἐπέσκηψε F, ἐπέσκηψεν P. 14. διαπερέωσιν G. 15. εὐσθενὴς C, εὐστενὴς P. 19. διαπερέωσιν G. 22. παρετάζετο G.

duci ad hoc ipsum ab imperatore misso traditurum esse. his ita firmatis Gotofredus magnis ab imperatore muneribus auctus exceptusque eius palatio et ad mensam regiam adhibitus lauteque epulatus freto transmisso ad Pelecanum castra posuit providente imperatore, ut frequens cibariorum copia iis suppeditaretur.

10. Post hunc advenit comes, quem Raul vocabant, cum equitum peditumque quindecim millibus; qui postquam cum comitibus, qui sub eo erant, ad Propontidem circa Patriarchae quod dicitur monasterium consedit, reliquos usque ad ipsum Sosthenium disposuit. quod vero eodem quo Gotofredus consilio transitum differebat sequentium copiarum adventum opperiens, imperator futuri providus, cum horum adventum timeret, hos quoque omni modo ut celeriter traicerent adducebat. arcessit itaque Opum, virum strenuum nec rei militaris scientia cuiquam cedentem, illumque, cum adesset, cum aliis viris fortibus terrestri itinere ad eum tendere et ad transfretandum iubet eum cogere. quem ubi nequaquam imperatori obsequentem vidit, quin etiam impudentem et valde in eum inve-

P. 305 συμφέροντα, ἀναδιδάσκων ἅμα καὶ αἷς εἰώθασιν οἱ Τοῦρκοι χρήσασθαι μεθοδείαις ἐν ταῖς μάχαις καὶ ὑποτιθέμενος, ὅπως τε παρατάττεσθαι χρὴ καὶ λόχους καθιστᾶν καὶ μὴ ἐπὶ πολὺ διώκειν, ὁπηνίκα τούτοις οἱ Τοῦρκοι τὰ νῶτα διδόασι. καὶ οὕτως διά τε χρημάτων διά τε λόγων κατα- 5 μαλάξας αὐτῶν τὸ ἄγριον καὶ τὰ συνοίσοντα ὑποθέμενος τὴν διαπεραίωσιν προὐτρέψατο. τὸν δέ γε Ἰσαγγέλην ἠγάπα διαφερόντως διά τε τὸ περιὸν αὐτῷ τοῦ φρονήματος καὶ τῆς ὑπολήψεως τὸ ἀνόθευτον καὶ τὸ τοῦ βίου καθαρόν, B γινώσκων ἅμα καὶ ὁπόσον αὐτῷ τῆς ἀληθείας μέλει μηδὲν 10 ταύτης μηδέποτε προτιμωμένῳ· τοσοῦτον γὰρ ἁπάντων τῶν Λατίνων ἐν πᾶσι διέφερεν, ὅσον ἀστέρων ἥλιος. διά τοι τοῦτο παρακατέσχεν αὐτὸν τέως μεθ᾽ ἑαυτοῦ. ἁπάντων οὖν συνταξαμένων τῷ αὐτοκράτορι καὶ διὰ τοῦ τῆς Προποντίδος πορθμοῦ τὸ Δαμάλιον καταλαβόντων ἀνεθεὶς τῆς ἐξ αὐτῶν 15 ὀχλήσεως συχνάκις τὸν Ἰσαγγέλην μετεπέμπετο, ἀναδιδάσκων ἅμα καθαρώτερον τὰ κατὰ τὴν ὁδὸν συμβήσεσθαι μέλλοντα τοῖς Λατίνοις, παρεγύμνου δὲ καὶ ἣν περὶ τῆς τῶν Φράγγων γνώμης εἶχεν ὑπόληψιν. ταῦτα πολλάκις ἀποστοματίσας C τῷ Ἰσαγγέλῃ καὶ τὰς τῆς ψυχῆς οἷον ὑπανοίξας αὐτῷ πύλας 20 καὶ πάντα διατρανώσας ἐπέσκηψεν ἀεὶ πρὸς τὴν τοῦ Βαϊ-

1. ...διδάσκων A, ἀναδιδάσκειν P. 2. χρῆσθαι A. 3. τὶ G. 7. προετρέψατο A. ἰσαγγέλην FA, Σαγγέλην P: sic fere semper. 8. διά τε τὸ A, τε om P. 12. ἐν πᾶσι om. G. 13. μεθ᾽ C, μετ᾽ P. 17. καθαρώτερον F, καθαρότερον P. 21. ἐπέσκηπτεν G.

utiliaque suadens, qua pugnandi ratione consuetudineque Turcae uterentur, docuit eosque monuit, quomodo acies instruere ordinesque instituere deberent neu effuse Turcas fugientes persequerentur: ita asperis eorum moribus largitionibus colloquioque flexis benevolisque datis consiliis, ut traicerent, auctor fuit. Isangelen autem propter probatam prudentiam veramque animi sinceritatem ac vitae munditiam ex omnibus praecipue amabat; quem quidem adeo veritatis studiosum esse novit, ut nihil umquam ei anteponeret: nec minus supra omnes Latinos eminuit quam sol supra stellas. quo factum est, ut tunc eum Alexius apud se retineret. itaque imperator, postquam ceteri ei valedixerunt ac per Propontidis fretum ad Damalium processerunt, molestiis quas ipsi creaverant levatus saepe Isangelen advocat distinctiusque docet, quae Latinis in via eventura crederet; quin etiam suspicionem, quam de Francis conceperat, ei aperuit. his saepe cum Isangele communicatis eique animi quasi ianua pansa ac rebus omnibus enarratis opem eius custodiamque adversus

μοῦντου ἐγρηγορέναι κακίαν, ἵνα βουλόμενον παρασπονδῆσαι ἀπείργῃ τοῦτον τοῦ ἐγχειρήματος καὶ διὰ πάσης μεθόδου διαλύῃ τὰς ἐκείνου μηχανάς. ὁ δὲ πρὸς τὸν αὐτοκράτορά φησιν "ἐκ προγόνων καθάπερ τινὰ κλῆρον τὴν ἐπιορκίαν 5 καὶ τὸν δόλον ὁ Βαϊμοῦντος κεκτημένος, θαῦμα μέγιστον, εἰ τὰ ὀμωμοσμένα διατηρήσειεν· ἔγωγε δ' ὅμως ὡς ἐνὸν σπεύσω τὸ προσταχθὲν ἀεὶ ἀποπληροῦν". καὶ συνταξάμενος τῷ αὐτοκράτορι ἄπεισιν ἑνωθησόμενος τῷ παντὶ στρατεύματι τῶν Κελτῶν. ὁ μέντοι αὐτοκράτωρ ἤθελε μὲν μετὰ τῶν D 10 Κελτῶν κατὰ τῶν βαρβάρων ἀπιέναι, ἐδεδίει δὲ τὸ αὐτῶν P. 306 ἀναρίθμητον πλῆθος. δεῖν οὖν ἐλογίσατο τὸν Πελεκάνον καταλαβεῖν, ἵν' ἐγγύθεν Νικαίας ἐνδιατρίβων μανθάνοι μὲν τὰ τοῖς Κελτοῖς συμβαίνοντα, ἅμα δὲ καὶ τὰς τῶν Τούρκων ἔξωθεν ἐφόδους καὶ τὴν τῶν ἐντὸς Νικαίας κατάστασιν. ἐν 15 δεινῷ γὰρ ἐποιεῖτο, εἰ μή τι στρατηγικὸν ἐν τῷ μεταξὺ καὶ αὐτὸς κατορθώσοι, καὶ διεσκοπεῖτο, ἵνα εἰ ἐπιτήδεια τὰ πράγματα εὑρήσει, αὐτὸς τὴν Νίκαιαν ἕλῃ καὶ μὴ παρὰ τῶν V. 242 Κελτῶν αὐτὴν σχοίη κατὰ τὰ παρ' ἐκείνων ὀμωμοσμένα. B εἶχε δὲ τὴν βουλὴν ταύτην ὑποβρύχιον καὶ πᾶν ὅπερ ἂν 20 ᾠκονόμει καὶ τὴν αἰτίαν δι' ἣν γίνεται αὐτὸς καὶ μόνος ἠπίστατο, μόνῳ τῷ Βουτουμίτῃ τοῦτο ἐμπεπιστευκὼς καὶ

1. παρασπονδῇ G. 7. ὀμωμένα G. 10. Κελτῶν om. G. 12. ...... Νικαίας G. μανθάνοι FG[2], μανθάνῃ PG[1]. 16. κατορθώσοι F, κατορθώσῃ P. καὶ om. CG. διεσκοπεῖτο γοῦν CG. εἰ F, ἐὰν P. ἐπίτηδες F. 17. ἕλῃ F, ἀνέλῃ P. 18. ὀμωμομένα CG. 21. Βουτομίτῃ CG.

Boëmundi malitiam rogavit, ut et a pactis laedendis eum detineret et quovis modo eius machinas dissolveret. tum is imperatori "Cum a proavis periurium ac dolum veluti hereditatem quandam Boëmundus acceperit, maxime mirum sane sit, si ius iurandum servet. tamen, quantum in me erit, ego isti tuae voluntati numquam deero." salutato dein imperatore toti se Gallorum exercitui adiuncturus abiit. verum imperator cum una cum Gallis in barbaros proficisci voluisset, veritus tamen innumerabilem eorum copiam Pelecanum eundum ibique manendum censuit, ut propter Nicaeae viciniam, quae et Gallis acciderent et Turcae intra Nicaeam forisque gererent, resciret. neque enim dignum se iudicans, si nihil ipse interea bellicae gloriae sibi pararet, occasione oblata ipse studuit Nicaeam recuperare nec a Gallis, prout iurati erant, accipere. id autem consilium omnes celavit unoque Butumite conscio usus ipse solus quae ageret

τοῦτον ἀποστείλας, ἐφ' ᾧ ὑποποιεῖσθαι τοὺς ἐντὸς Νικαίας βαρβάρους διὰ παντοίων ὑποσχέσεων καὶ ἀπαθείας τελείας, ἐν μέρει δὲ καὶ ἀπειλούμενος τόσα καὶ τόσα πείσεσθαι καὶ C παρανάλωμα ξίφους γενέσθαι, εἰ παρὰ τῶν Κελτῶν ἁλῷεν, καὶ πάλαι τὸν Βουτουμίτην γινώσκων εὐνούστατον καὶ περὶ 5 τὰ τοιαῦτα δραστήριον. ταῦτα μὲν οὖν ἐξ ἀρχῆς τοῦτον παρηκολουθήκει τὸν τρόπον.

3. ἀπειλούμενος FG, ἀπειλιούμενος P. 5. Βουτομίτην P, correxi.

causamque cur ea fierent norat. hunc igitur misit ad deliniendos Nicaeae barbaros cum pollicendo inter alia multa tutam impunitatem, tum exponendo, tot tantaque mala eos subituros esse omnesque trucidatum iri, si urbem Galli caperent. iam pridem enim Butumiten sibi fidissimum et in rebus talibus gerendis maxime strenuum esse intellexerat. haec igitur ita ab initio successerunt.

ΑΛΕΞΙΑΔΟΣ ΙΑ.

ALEXIADIS LIBER XI.

ARGUMENTUM.

Galli Nicaeam oppugnantes Turcas devincunt (1). *Alexius belli machinas iis donat; nec tamen se iungit iis, sed astute Nicaea potitur* (2). *reliqui comites fidei iuramentum praestant. Latini tribus proeliis Turcas fundunt* (3). *Antiochiam obsident ac proditione capiunt. Boëmundi astutia* (4). *imperator Ioannem Ducam contra piratas mittit. Caspax Smyrna occupata occisus. Ioannes Ducas Ephesum aliasque urbes barbaris eripit* (5). *imperator Gallis Antiochiae pressis opem metu sultani non fert; vincunt tamen Saracenos clavo sancto reperto. Gotofredus rex Hierosolymorum creatur* (6). *Amerimnas princeps Babylonis contra Gallos proficiscitur. Isangelis res pro imperatore gestae* (7). *Gotofredo mortuo regnat Balduinus. Normannorum exercitus Cpolin adveniunt; mox a Turcis devicti. Isangelis mors* (8). *imperator et Boëmundus invicem de se queruntur; Butumites contra hunc missus* (9). *Pisanorum classis Gallis auxiliatura a Romanis deletur. frustra pace cum Boëmundo temptata Alexius Curicum occupat* (10). *item Genuenses cum classe Francos adiuvant. Cantacuzenus Laodiceae oppugnat Boëmundum* (11). *is mortuum se simulans tuto Coryphum defertur* (12).

---

1. Ὁ δέ γε Βαϊμοῦντος καὶ πάντες οἱ κόμητες ἑνωθέν- P. 309
τες, οὗ διαπλωΐσασθαι πρὸς τὴν Κιβωτὸν ἔμελλον, μετὰ V. 245
τοῦ Γοντοφρὲ τὴν τοῦ Ἰσαγγέλη προσέμενον ἄφιξιν. πλῆ-
θος δὲ ὄντες ἀναρίθμητον, ἐπεὶ οὐκ ἠδύναντο αὐτοῦ που

3. προσέμενον FAC, προσμένειν P.

1. Iam Boëmundus comitesque omnes cum Gotofredo coniuncti ibi, unde Cibotum versus traiecturi erant, Isangélis adventum expectabant. ingentes autem numero cum propter ciborum inopiam ibi

προσμένειν διὰ τὴν σπάνιν τῶν βοσκημάτων, εἰ καὶ τὴν τοῦ
βασιλέως μετὰ τοῦ Ἰσαγγέλη ἀνέμενον ἄφιξιν, ἵνα κεῖθι συν-
ταξάμενοι αὐτῷ τῆς πρὸς Νίκαιαν φερούσης ἅψωνται, διχῇ
διαιρεθέντες οἱ μὲν διὰ τῆς Βιθυνῶν καὶ τῆς Νικομηδείας
B πρὸς Νίκαιαν ἤλαυνον, οἱ δὲ τὸν τῆς Κιβωτοῦ διανηξάμενοι 5
πορθμὸν ἐς ταὐτὸν συνεληλύθεσαν. καὶ οὕτω τῇ Νικαίᾳ προσ-
πελάσαντες τοὺς πύργους καὶ τὰς μεταξὺ κορτίνας σφίσιν αὐ-
τοῖς διενείμαντο, κατὰ τάξεις τινὰς τὴν τειχομαχίαν ποιεῖν
βουλευσάμενοι, ἵν' ἐντεῦθεν ἕτερος πρὸς ἕτερον ἐρίζοντες
καρτερωτέραν τὴν πολιορκίαν ποιοῖντο· τὸ δὲ λάχος τοῦ 10
Ἰσαγγέλη κενὸν ἐάσαντες τὴν ἐκείνου προσέμενον ἄφιξιν.
C ἐν ταὐτῷ δὲ καὶ ὁ αὐτοκράτωρ τὸν Πελεκάνον κατέλαβε κατὰ
νοῦν ἔχων τὴν Νίκαιαν, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν. οἱ
δὲ ἐντὸς Νικαίας βάρβαροι τὸν σουλτάνον πολλάκις εἰς τὴν
σφῶν αὐτῶν ἀρωγὴν μετεπέμποντο. ἐκείνου δέ τι βραδύ- 15
P. 310 νοντος καὶ τῆς πολιορκίας ἐξ ἀνατολῆς ἡλίου μέχρι κατα-
δύσεως αὐτῆς ἐν πολλαῖς ἤδη γινομένης ἡμέραις, ἐπεὶ ἐν
στενῷ κομιδῇ τὰ κατ' αὐτοὺς ἑώρων, γνωσιμαχήσαντες βέλ-
τιον προσεληλυθέναι τῷ βασιλεῖ ἢ παρὰ τῶν Κελτῶν ἁλῶναι
ἐγνώκεσαν. μετακαλοῦνται τοίνυν ἐπ' αὐτὸ τοῦτο τὸν Βουτου- 20
μίτην τόσα καὶ τόσα ἀγαθὰ παρὰ τοῦ βασιλέως πείσεσθαι
διὰ γραμμάτων συχνῶν πολλάκις αὐτοῖς ἐπαγγελλόμενον, εἰ

3. ἅψωνται FC, ἅψονται P. 4. οἱ A, ὁ P. Βιθυνίας A.
5. ἤλαυνον A, ἤλαυνεν P. 12. ἐν ταὐτῷ AC, ἐνταῦθα P. κατ-
έλαβε FA, κατέλαβεν P. 15. ἀρωγὴν FAC, ἀῤῥωγὴν P: sic
fere semper. βραδύναντος C. 20. αὐτὸ τοῦτο scripsi: αὐτῷ P.
22. ἐπαγγελλόμενον FA, ἐπαγγελόμενον P, ἐπαγγειλάμενον C.

manere non possent, etsi imperatoris cum Isangele adventum opperiri constituerant, ut coniuncti cum eo Nicaeam pergerent, diviso agmine illi per Bithynos Nicomediamque se contulerunt Nicaeam, alii Ciboti freto traiecto ad eundem locum convenerunt. atque ita Nicaeae appropinquarunt turresque urbis moeniumque inter eas loricas inter se partiti, quo acrior singulorum aemulatione oppugnatio esset, ordine quodam muros quatere statuerunt; quod vero moenium Isangeli sorte evenerat, id vacuum reliquerunt adventum eius opperientes. eodem tempore imperator Pelecanum petiit cogitans, ut modo dixi, de capienda Nicaea. sed qui Nicaeam obtinebant barbari, cum saepe per nuntios cunctantis sultani auxilium implorassent, oppugnatione multis diebus a solis ortu ad occasum usque continuata magna omnium rerum inopia coacti quid faciendum esset deliberaverunt; tandem melius censuerunt ad imperatorem accedere quam a Gallis capi. quare Butumiten adeunt, cuius litteris tot tantaque imperatoris praemia ostentantibus saepe ad

τὴν Νίκαιαν αὐτῷ παραδοῖεν. ὁ δὲ τὰς τοῦ βασιλέως φιλοφροσύνας καθαρώτερον ἀπαγγείλας καὶ τὰς ἐγγράφους ὑποσχέσεις ὑποδείξας, εἰ τὸ κάστρον αὐτῷ παραδοῖεν, ἀσμένως δέχεται παρὰ τῶν Τούρκων ἀπειρηκότων ἤδη πρὸς
5 τοσαῦτα πλήθη ἀντικαθίστασθαι καὶ βέλτιον λογιζομένων τῷ B βασιλεῖ τὴν πόλιν αὐθαιρέτως παραδοῦναι καὶ χρημάτων καὶ τιμῆς μετασχεῖν ἢ ξίφους παρανάλωμα γενέσθαι. οὔπω τρίτην ἡμέραν ὁ Βουτουμίτης ἐντὸς εἶχε, καὶ ὁ Ἰσαγγέλης καταλαβὼν ἀποπειρᾶσθαι τοῦ τείχους δι' ὧν ἡτοίμαζεν ἑλε-
10 πόλεων ἔσπευδεν. ἐν τῷ μεταξὺ δὲ φήμη τις αὐτοὺς καταλαμβάνει τὴν τοῦ σουλτάνου ἔλευσιν μηνύουσα. τοῦτο οἱ Τοῦρκοι μεμαθηκότες καὶ τεθαρρηκότες τὸν Βουτουμίτην παραχρῆμα ἐξέωσαν. ὁ δὲ σουλτάνος μέρος τοῦ στρατοῦ ἀποδιελόμενος ἀπέστειλε σκεψομένους τὴν τοῦ Ἰσαγγέλη ἔφο-
15 δον παραγγείλας ὡς, εἴ τισι τῶν Κελτῶν ἐντύχοιεν, μὴ ἀνα- C βαλέσθαι τὴν μετ' αὐτῶν μάχην. θεασάμενοι δὲ πόρρωθεν τούτους οἱ τοῦ Ἰσαγγέλη ξυμμίγνυνται. ἀλλὰ καὶ οἱ λοιποὶ κόμητες καὶ αὐτὸς ὁ Βαϊμοῦντος τὴν τουτωνὶ τῶν βαρβάρων ἐνωτισθέντες ἔφοδον ἐξ ἑκάστης κομητούρας ἀνὰ
20 διακοσίους διελόμενοι καὶ εἰς πολὺ πλῆθος ξυμποσώσαντες V. 246 παραχρῆμα εἰς ἀρωγὴν τῶν τοῦ Ἰσαγγέλη πέμπουσιν· ἐφθακότες δὲ μέχρις ἑσπέρας τοὺς βαρβάρους ἐδίωκον. ὁ δὲ σουλτάνος οὐδαμῶς ἐπὶ τούτοις ἀναπεπτώκει, ἀλλ' αὐγα-

5. αὐτοῖς καθίστασθαι C. 8. τρίτην FAC, τριττὴν P. 10. δὲ καὶ A. 11. καὶ οἱ A. 14. ἀπέστειλε FC, ἀπόστειλε P. 16. πόρρωθεν τούτους F, τούτους πόρρωθεν P. 21. πέμπουσιν F, πέμπουσι P. 23. ἀναπεπτώκει F, ἀνεπεπτώκει P.

deditionem provocati erant. is imperatoris benevolentiam planius affirmans ostendensque scripta eius promissa, si urbem tradidissent, benigne a Turcis excipitur, qui iam desperantes se tot copiis amplius resistere posse urbem imperatori sponte tradere malebant atque opes honoresque accipere quam hostium gladio interire. necdum illic tertium diem Butumites exegerat, cum adveniens quoque Isangeles paratis ante machinis murum temptare coepit. divulgata interim adventantis sultani fama animati Turcae statim Butumiten eiecerunt. sultanus vero partem exercitus, quae Isangelis iter exploraret, praemisit mandans, si qui Galli occurrerent, ne pugnam detrectarent. eos igitur Isangelis milites procul conspicati proelium conseruere. iam vero reliqui comites et ipse Boëmundus nuntiato barbarorum impetu, cum ex cuiusque comitis militia ducentos milites elegissent, numerosissimum ita exercitum Isangeli auxilio mittunt; fuganturque barbari Gallis ad vesperam usque insequentibus. nec tamen sultanus animo frangitur, verum primo mane armatus

ζούσης ἡμέρας ὁπλίζεται καὶ πανσυδὶ τὴν ἔξω τειχῶν Νικαίας
D πεδιάδα κατειλήφει. καὶ οἱ Κελτοὶ αἰσθόμενοι τῆς τούτου
παρουσίας καρτερῶς ὁπλισάμενοι καθαπερεὶ λέοντες κατ'
αὐτῶν ἵενται. καὶ συρρήγνυται τηνικαῦτα πόλεμος βαρὺς
καὶ δεινός. ἐν ἴσῃ δὲ μοίρᾳ τῆς μάχης ἀμφοτέροις ἱσταμένης 5
τοῖς μέρεσι δι' ὅλης ἡμέρας, ἐπεὶ ὁ ἥλιος ἐπὶ κνέφας ἦλθε,
τρέπονται οἱ Τοῦρκοι τῆς νυκτὸς αὐτοῖς διαιτησάσης τὴν
μάχην. πίπτουσι μὲν οὖν ἐξ ἑκατέρων πολλοί [κτείνονται
P. 311 δὲ οὐχ ἥττονες], τιτρώσκονται δὲ οἱ πλείους. καὶ λαμπρὰν
τὴν νίκην ἀράμενοι οἱ Κελτοί, πολλῶν δὲ καὶ κεφαλὰς τοῖς 10
δόρασι περιπείραντες ἐπανέρχονται καθαπερεὶ σημαίας ταύτας
φέροντες, ἵν' οὕτω πόρρωθεν τὸ γεγονὸς διαγνόντες οἱ βάρ-
βαροι καὶ τὴν ἐκ πρώτης βαλβίδος ἧτταν δειλιάσαντες τῆς
συντόνου μάχης ἀποστήσονται. τοιαῦτα μὲν οὖν οἱ Λατῖνοι
πεπράχασί τε καὶ διελογίσαντο. ὁ δὲ σουλτάνος τὰ ἄπειρα 15
τούτων θεασάμενος πλήθη καὶ τὴν ἀκάθεκτον τόλμαν ἐξ
αὐτῆς προσβολῆς ἐγνωκὼς τοῖς ἐντὸς Νικαίας Τούρκοις τὸ
ἐνδόσιμον δίδωσι "πράσσετε τοῦ λοιποῦ" λέγων "πᾶν, ὅπερ
B βέλτιον κρίνετε". ᾔδει γὰρ πρὸ καιροῦ τῷ βασιλεῖ μᾶλλον
προαιρουμένους παραδοῦναι τὴν πόλιν ἢ παρὰ τῶν Κελτῶν 20
ἁλῶναι. ὁ δέ γε Ἰσαγγέλης τοῦ προκειμένου ἐχόμενος ἔργου

4. βαρὺς καὶ δεινός F, δεινὸς καὶ βαρύς P. 6. μέρεσι F, μέρεσιν P. δι' ὅλης ἡμέρας om. C. 7. αὐτοῖς FC, αὐτῆς P. διαστησάσης C. 8. sq. κτείνονται δὲ οὐχ ἥττονες seclusi. 10. καὶ om. C. 14. ἀποστήσονται F, ἀποστήσωνται P. 18. ὅπερ FA, ὅτι P. 19. καιροῦ F, πολλοῦ P. 20. προαιρουμένους F, προσαιρουμένους P.

maximo impetu planitiem Nicaeae suburbanam occupat. cognito sultanum ipsum adesse Galli bene armati leonum instar adversus Turcas involant colliduntarque acies gravi et atroci proelio, quod pari utrimque fortuna toto fere die constitit. sub solis tamen occasum fugantur Turcae nocte proelium dirimente; multique ex utrisque cadunt [nec pauciores trucidantur], plerique vulnerantur. sic splendidae victoriae compotes Galli in castra revertuntur multorum capita hastis infixa velut signa ferentes, ut rem procul conspicientes barbari primaeque congressionis clade perturbati certaminis pertinaciam remitterent. talia igitur Latini et gesserunt et excogitarunt. at sultanus innumerabilem eorum multitudinem conspicatus invictamque audaciam in congressu expertus Nicaeam defendentibus Turcis hunc nuntium misit: "Agite dehinc utut vobis optimum videtur." erat enim iam diu ei cognitum, imperatori eos urbem tradere quam a Gallis capi malle. ceterum Isangeles instans sus-

μόσυνα κυκλοτερῆ τεκτηνάμενος καὶ ἐξ ἑκατέρου μέρους βύρσαις αὐτὸν περιστείλας, κατὰ δὲ τὸ μέσον λύγοις διαπλέξας καὶ πάντοθεν κατοχυρώσας τῇ πλευρᾷ προσεπέλασε τοῦ λεγομένου Γονάτου πύργου. ὃς τὴν ἐπωνυμίαν ἐκληρώ-5σατο πάλαι, ὁπηνίκα Μανουὴλ ἐκεῖνος, ὁ τοῦ προβεβασιλευκότος Ἰσαακίου τοῦ Κομνηνοῦ πατὴρ καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Ἰωάννου τοῦ πρὸς πατρὸς ἐμοῦ πάππου, στρατηγὸς αὐτοκράτορος τῆς ἑῴας ἁπάσης παρὰ τοῦ τότε βασιλεύοντος C Βασιλείου προὐβέβλητο, ἐφ' ᾧ τὴν μετὰ τοῦ Σκληροῦ ἔχ-10θραν διαλῦσαι ἢ χειρὶ πρὸς τοῦτον ἀντικαταστὰς ἢ γνώμῃ εἰς εἰρηνικὰς σπονδὰς τοῦτον συνελάσας. ἐπεὶ δ' ὁ Σκληρὸς μαχιμώτατος ὢν καὶ αἵμασι χαίρων ἀεὶ τὴν μάχην τῆς εἰρήνης μᾶλλον ἠσπάσατο, πολέμων μεγάλων καθ' ἑκάστην συρρηγνυμένων, ὡς τοῦ Σκληροῦ μὴ μόνον τὴν εἰρήνην μὴ 15θέλοντος, ἀλλὰ καὶ δι' ἑλεπόλεων γενναίων ἀγωνιζομένου τὴν Νίκαιαν ἑλεῖν, καταρράξαντος τὰ τείχη, τοῦ πλείονος μέρους τοῦ πύργου ποδοκοπηθέντος κάτωθεν συνέβη σάξαι τὸν πύργον, ὡς ἐπὶ γόνυ δοκεῖν ἐπικλιθῆναι κἀκ τούτου τῆς τοιαύτης μετειληχέναι προσηγορίας. οὕτω μὲν οὖν τὰ κατὰ D 20τὸν Γονάτην παρηκολουθήκει. ὁ δὲ Ἰσαγγέλης τὸν ἤδη ῥηθέντα μόσυνα ἐμπείρως πάνυ κατασκευάσας, ὃν οἱ πλείονα ἐμπειρίαν τῶν μηχανικῶν κεκτημένοι χελώνην κατονομάζουσιν, V. 247 ἐντὸς τούτου ἄνδρας ὁπλοφόρους τειχεσιπλήτας εἰσῆξε καὶ

2. βύρσαις P, βύρσας FC. 3. ταῖς πλευραῖς C. 6. ὁ πατὴρ P, ὁ om. FC. αὐταδέλφου C. 11. εἰς F, πρὸς P. 12. καὶ FC, om. P. 15. καὶ F, om. P. 23. ἐντὸς scripsi: ἐκτὸς P. τειχεσιπλήτας FC, τειχεσιπλήκτας P.

cepto operi turrem ligneam rotundae formae extruxit eamque corio undique tectam ac circa medium viminibus adstrictam omnique ex parte communitam admovit turri, quae Gonates vocabatur id ea turris nomen olim obtinuerat, cum Manuel ille Isaaci Comneni imperatoris et Ioannis fratris eius, paterni avi mei, pater ab imperatore Basilio universae orientali militiae praefectus esset, eo quidem consilio, ut vel pugnando vel pacificis foederibus inimicitias, quae illi cum Sclero intercedebant, componeret. at Sclerus, vir bellicosissimus, cum sanguine semper gauderet pugnamque paci praeferret, gravia proelia cotidie commisit, ita ut non solum pacem nollet, sed machinis etiam fortibus admotis Nicaeam capere studeret. muro autem perrupto cum turris pars inferior percelleretur, accidit, ut subsideret turris ac velut in genua procumbere videretur; unde nomen illud accepit. haec igitur est historia Gonatae turris. Isangeles vero, ubi ligneam turrem, quam machinarum peritiores testudinem vocant, scite plane extruxit, in eam armatos viros admisit, qui contra muros rue-

ἑτέρους τοὺς τὸν πύργον κάτωθεν κατασείειν διὰ σιδήρων
εἰδότας, ἐφ' ᾧ τοὺς μὲν πρὸς τοὺς ἄνωθεν τοῦ τείχους
P. 312 μάχεσθαι, τοὺς δὲ ἐκεχειρίαν ἔχειν ἐντεῦθεν τὸν πύργον διο-
ρύττειν. οἳ καὶ κορμοὺς ξύλων εἰσῆγον ἀντὶ τῶν ἐξαγομένων
λίθων· μέχρι δὲ τῆς ἐντὸς ἐπιφανείας ἐφθακότες, ὡς καὶ αὐγήν 5
τινα ἐκεῖθεν εἰσιοῦσαν θεάσασθαι, πῦρ ἐμβαλόντες ἐνέπρησαν
τοὺς κορμούς. τούτων δὲ ἐκτεφρωθέντων συνέβη τὸν Γονά-
την ἐπὶ πλέον κλιθῆναι, ὡς μὴ ἀπολωλέναι τὴν κλῆσιν.
ἐμβόλοις δὲ καὶ οἰκήμασι τὸ ἐπίλοιπον περιζώσαντες τῶν
τειχῶν καὶ τὸν ἐκτὸς τούτων διακείμενον τάφρον ὡς ἐν 10
ῥιπῇ πληρώσαντες κόνεως, ὡς εἰς μίαν ἐπιφάνειαν συναφ-
θῆναι ταῖς ἐφ' ἑκάτερα παρακειμέναις πεδιάσιν, ὡς ἐνὸν
τῆς πολιορκίας εἴχοντο.

2. Ὁ δὲ βασιλεὺς πολλὰ πολλάκις ἀκριβολογησάμενος καὶ
B διαγνοὺς ἀμήχανον εἶναι τὴν Νίκαιαν παρὰ τῶν Λατίνων ἁλῶ- 15
ναι, κἂν πάντα ὑπερέβαλλον ἀριθμόν, ἐν μέρει μὲν παντοῖα εἴδη
ἑλεπόλεων κατασκευάσας καὶ τὰ πλείω τούτων οὐ κατὰ τοὺς τῶν
μηχανικῶν τρόπους, ἀλλὰ καθ' ἑτέρους τινὰς λόγους αὐτῷ δο-
κοῦντας, ὃ καὶ θαῦμα πᾶσι παρεῖχε, τοῖς κόμησιν ἐκπέπομ-
φεν· ἐκεῖνος δὲ μετὰ τῶν παρατυχόντων διαπεράσας, ὡς 20

3. ἐντεῦθεν] ὥστε C. 5. αὐγήν scripsi: αὐτὴν P. 9. ὀρύγμασι? 11. ῥιπῇ FC, ῥοπῇ P. 14. ἀκριβολογησάμενος FC, ἀκριβολογισάμενος P. 15. τὴν Νίκαιαν om. C. 19. ἐκπέπομφεν F, ἐκπέπομφε P.

rent et praeterea alios, qui turris fundamenta instrumentis ferreis concuterent; ut illi cum propugnatoribus certarent, hi tranquilli nec observati turrem perfoderent. qui etiam trabes pro lapidibus effossis immiserunt; cumque tantum profecissent, ut interiorem muri superficiem tangerent lucemque inde penetrantem viderent, igne iniecto lignea subsidia incenderunt; quibus combustis evenit, ut magis etiam Gonates inclinaretur ideoque nomen non perderet. reliquam muri partem arietibus testudinibusque circumdederunt fossaque extra moenia sic terra summa vi ruente oppleta, ut in unam superficiem cum campis utrimque adiacentibus coniungeretur, pro viribus oppugnationi operam dabant.

2. Sed imperator re saepe accurate perpensa, cum intellexisset, nequaquam Latinos quamvis copiis incredibiliter abundantes Nicaeam capere posse, machinas omnis generis interim confici iussit, quarum plures non usitato mechanicorum, sed alio, quem ipse excogitarat, modo, quae res omnibus mira videbatur, extructae erant. has misit comitibus: ipse transfretans cum militibus, quos forte secum habuit, ut

ἤδη φθάσας ὁ λόγος ἐδήλωσε, κατὰ τὸν Πελεκάνον διέτριβεν ἀγχοῦ τῶν Μεσαμπέλων, οὗ καὶ τέμενος ἐπ' ὀνόματι τοῦ μεγαλομάρτυρος Γεωργίου πάλαι ᾠκοδόμητο. ἤθελε μὲν οὖν οὕτως ὁ αὐτοκράτωρ μετὰ τῶν Λατίνων κατὰ τῶν ἀθέων
5 συναπελθεῖν Τούρκων· ταλαντεύων δὲ τὴν ὑπόθεσιν καὶ τὸ ἀπειροπληθὲς τοῦ Φραγγικοῦ φοσσάτου ὡς πρὸς τὸ Ῥωμαϊκὸν C στράτευμα κατανοῶν ἀνυπέρβλητον καὶ τὴν παλίμβουλον τῶν Λατίνων γνώμην ἐκ μακροῦ ἐπιστάμενος ἀπέστη τοῦ ἐγχειρήματος. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τὸ ἀβέβαιον
10 ἐκείνων καὶ ἄπιστον προειδὼς Εὐρίπου δίκην μεταφερομένων ἐς τἀναντία πολλάκις τάς τε γυναῖκας καὶ τὰ τέκνα ἑτοίμως ἐχόντων ὀβολοῦ ἑνὸς ἀπεμπολεῖν διὰ φιλοχρήματον γνώμην, τούτοις μὲν τοῖς λογισμοῖς ἑαυτὸν τῷ τότε ἀπεῖρξεν ὁ αὐτοκράτωρ τοῦ ἐγχειρήματος· δεῖν δὲ ἔγνω μὴ συμπαρεῖναι
15 μὲν τοῖς Κελτοῖς, τοσαύτην δὲ αὐτοῖς διδόναι ῥοπήν, ὁπόσην ἂν καὶ παρών. τὸ γοῦν ἐρυμνότατον τῶν τῆς Νικαίας τειχῶν γινώσκων ἀδύνατον τὴν ταύτης κατάσχεσιν παρὰ D τῶν Λατίνων ἠπίστατο· μανθάνων δέ, ὅτι ῥᾳδίως διὰ τῆς παρακειμένης λίμνης δυνάμεις ἱκανὰς καὶ τὰ ζωαρκῆ πάντα
20 ὁ σουλτάνος εἰς Νίκαιαν εἰσάγει, τὴν τῆς λίμνης ἐμελέτα κατάσχεσιν. κατασκευάσας τοίνυν ἀκάτια, ὁποῖα τὸ ὕδωρ P. 313 ἐκεῖνο ἀνέχειν ἠδύνατο, διὰ τοῦ μέρους τῆς Κίου ταῦτα ἐν

1. ἐδήλωσε F, ἐδήλωσεν P. 3. ἁγίου μεγαλομάρτυρος P, ἁγίου om. F. 7. παλίμβολον C. 13. τότε] τέως C. 16. γοῦν F, οὖν P. 22. ἐκείνοις FC. Κιβωτοῦ Ducangius.

iam ante dixi, circa Pelecanum prope Mesampela morabatur, ubi Georgio magno martyri templum olim aedificatum erat. voluit scilicet imperator una cum Latinis contra impios Turcas proficisci; verum deliberata re, cum et innumerabilem castrorum Francicorum multitudinem, cui Romanae copiae ne comparari quidem possent, et Latinorum in mutandis consiliis levitatem iamdudum nosset, ab incepto destitit. nec ob id solum ita fecit, sed quod instabiles etiam et infidos eorum animos iam praevidit, qui Euripi modo in contraria saepe se vertebant ductique avaritia uno obolo oblato ad uxores liberosque vendendos parati erant. his igitur causis imperator consilium tum temporis omisit; ipseque Gallorum exercitibus adesse noluit, sed nihilo fere minus iis opis ferre, quam si adesset. itaque cum et firmitatem Nicaeae murorum nosset frustraque Latinos Nicaeae moenia quatere intellegeret et per adiunctum lacum facile sufficientes Sultanum copias omniaque ad victum necessaria in urbem importare sciret, hoc lacu potiri studuit. ad id naviculas parari iubet, quales aqua illa ferre posset, easque a parte quae Cium spectat curribus deportatas in lacum egit impositis

ἁμάξαις ἐπισάξας εἰς τὴν λίμνην εἰσήλασε στρατιώτας ἐμβαλὼν ἐν αὐτοῖς ὁπλοφόρους, ἡγεμόνα τούτων Μανουὴλ τὸν Βουτουμίτην καταστησάμενος καὶ σημαίας τούτοις πλείους
V. 248 τῆς χρείας ἐπιδούς, ὡς ἐντεῦθεν πολλαπλασίους δοκεῖν, πρὸς δὲ καὶ βύκινά τε καὶ τύμπανα. ἀλλ' οὕτω μὲν τὰ κατὰ τὴν 5 λίμνην ᾠκονόμηται τῷ αὐτοκράτορι· ἀπὸ δέ γε τῆς ἠπείρου μεταπεμψάμενος τὸν Τατίκιον καὶ τὸν καλούμενον Τζίταν μετὰ πελταστῶν γενναίων εἰς δισχιλίους ποσουμένων κατὰ
B τῆς Νικαίας ἀπέστειλεν ἐπισκήψας ἅμα τῷ τῶν νεῶν ἀποβῆναι τὸ τοῦ κυροῦ Γεωργίου καστέλλιον καταλαβόντας ἐν 10 ἡμιόνοις μὲν ἐπισάξαι ὅπερ ἐπεφέροντο πλῆθος τῶν ὀϊστῶν, πόρρω δὲ τῶν τειχῶν τῆς Νικαίας τῶν ἵππων ἀποβάντας καὶ βάδην πορευομένους κατευθὺ τοῦ πύργου τοῦ καλουμένου Γονάτου τὸν χάρακα πήξασθαι, εἶτα ἐξ ἑνὸς συνθήματος συνησπικότας προσβαλεῖν τοῖς τείχεσιν. ἐφθακὼς 15 οὖν ὁ Τατίκιος μετὰ τοῦ ὑπ' αὐτὸν στρατεύματος δίδωσιν εἴδησιν τοῖς Κελτοῖς κατὰ τὴν τοῦ βασιλέως ὑποθήκην. καὶ τηνικαῦτα ἐσιδηροφόρησαν ἅπαντες καὶ σὺν ἀλαλαγμῷ καὶ βοῇ πολλῇ προσέβαλον τοῖς τείχεσι. τῶν μὲν τοῦ Τατικίου
C συχνοὺς τηνικαῦτα πεμπόντων ὀϊστούς, τῶν δὲ Κελτῶν ὅπου 20 μὲν διατιτραινόντων τὰ τείχη, ὅπου δὲ διὰ πετροβόλων ὀργάνων καταπυκνούντων τὰς τῶν λίθων βολάς, ἀπὸ δέ γε τῆς λίμνης διά τε τῶν βασιλικῶν σημαιῶν καὶ βυκίνων ἐκδειμα-

1. ἐπισάξας FC, ἐπεισάξας P. εἰσήλασε F, εἰσήλασεν P.
3. Βουτομίτην P, correxi. 4. πολλαπλασίους F, πολλαπλασίω P.
11. ἐπισάξαι FC, ἐπεισάξαι P. 15. τοῖς F, τοὺς P.

militibus, quibus Manuelem Butumiten praefecit, utque maiores numero viderentur, signa iis plura tribuit, quam opus erat, ac praeterea bucinas tympanaque. haec de lacu ab Augusto provisa. Taticium dein et Tzitam cum strenuis peltastis numero duorum fere millium a continente accitos misit adversus Nicaeam imperans, ut facto exscensu ad divi Georgii castellum sagittas, quas plurimas habebant, mulis imponerent proculque a moenibus desilientes ex equis lento gradu adversus Gonaten turrem irent ibique castra ponerent: tum communicato cum Gallis consilio cum iis muros succederent. quod ubi Taticius cum copiis suis perfecit, edoctis de imperatoris consilio Latinis ferro omnes armati cum magno clamore ac vociferatione in muros irruunt. itaque Taticianis crebras tum mittentibus sagittas, Gallis alibi muros perforantibus, alibi lapidum ictus catapultis multiplicantibus, barbari, cum a lacu regiis vexillis bucinisque terrerentur a

τούμενοι παρὰ τοῦ Βουτουμίτου ἐν ταὐτῷ καὶ περὶ τῶν βασιλικῶν ὑποσχέσεων πρὸς αὐτοὺς διαπεμπομένου ἐς τοσοῦτον συνηλάθησαν οἱ βάρβαροι, ὡς μηδὲ τῶν κρηδέμνων Νικαίας προκῦψαι θαρρεῖν· ἅμα δὲ καὶ τὴν τοῦ σουλτάνου 5 ἀπεγνωκότες ἔλευσιν βέλτιον ἐλογίσαντο τῷ αὐτοκράτορι παραδοῦναι τὴν πόλιν καὶ εἰς ὁμιλίαν περὶ τούτου μετὰ τοῦ D Βουτουμίτου ἐλθεῖν. ὁ δὲ τὰ εἰκότα προσομιλήσας αὐτοῖς ὑποδείκνυσι τὸν χρυσόβουλλον λόγον, ὅνπερ ὁ βασιλεὺς αὐτῷ προενεχείρισεν. ἀκροασάμενοι τοίνυν τοῦ χρυσοβούλλου, δι' 10 οὗ ὑπισχνεῖτο ὁ βασιλεὺς οὐ μόνον ἀπάθειαν, ἀλλὰ καὶ δαψιλῆ δόσιν χρημάτων τε καὶ ἀξιωμάτων τῇ τε ἀδελφῇ καὶ τῇ γυναικὶ τοῦ σουλτάνου, ἥτις θυγάτριον ἦν, ὡς ἐλέγετο, τοῦ Τζαχᾶ, καὶ πᾶσιν ἁπλῶς τοῖς ἐν Νικαίᾳ βαρβάροις, καὶ ταῖς ὑποσχέσεσι τοῦ αὐτοκράτορος τεθαρρηκότες ἐνεδίδουν 15 τὴν εἰσέλευσιν τῷ Βουτουμίτῃ. ὁ δὲ παραχρῆμα διὰ γραμμάτων ἐδήλου τῷ Τατικίῳ ὡς "τὴν ἄγραν ἐν χερσὶν ἤδη P. 314 ἔχομεν· καὶ χρὴ πρὸς τειχομαχίαν ἑτοιμάσασθαι, ταὐτὸ δὲ τοῦτο καὶ τοῖς Κελτοῖς παρασκευάσαι καὶ μηδὲν πλέον αὐτοῖς τεθαρρηκέναι ἢ τὴν κυκλοτερῆ τειχομαχίαν καὶ ὡς 20 χρὴ περιζῶσαι τὰ τείχη καὶ τῆς πολιορκίας ἀνίσχοντος ἡλίου ἀποπειρᾶσθαι". τὸ δὲ ἄρα μηχανή τις ἦν, ἵνα δόξῃ τοῖς Κελτοῖς πολέμῳ ταυτηνὶ τὴν πόλιν ἁλῶναι παρὰ τοῦ Βουτουμίτου καὶ λάθῃ τὸ μελετηθὲν παρὰ τοῦ αὐτοκράτορος

8. χρυσόβουλλον F, χρυσόβουλον P. 8. οὗπερ P, correxi. 9. χρυσοβούλλου F, χρυσοβούλου P. 11. χρημάτων τὲ F, τὲ χρημάτων P. 18. τοὺς Κελτοὺς ποιεῖν παρασκευάσαι?

Butumite, qui simul nuntios ad eos misit, ut regiarum promissionum eos commonefaceret, ita perturbati sunt, ut ne eminere quidem de Nicaeae propugnaculis auderent desperantesque sultani auxilium urbem imperatori tradere eaque de re cum Butumite agere melius ducerent. hic quae consentanea erant dicens litteras aurea bulla insignes ab imperatore ante sibi traditas ostendit; quibus auditis, quod non modo impunitatem, verum etiam amplas pecuniarum honorumque largitiones et sorori et uxori sultani, quam Tzachae filiam dicebant, omnibusque Nicaeae barbaris pollicebatur, illi imperatoris promissionibus erecti urbis ingressum Butumiti permittunt, qui Taticio id confestim his litteris indicat: "iam praedam in manibus habemus: vobis nunc murorum aggressio paranda est. fac ut etiam Galli hoc faciant neve quid aliud iis committas nisi ut urbem ubique aggrediantur et moenia circumdantes expugnationem oriente sole experiantur." suberat autem hic dolus, ut Galli urbem a Butumite bello captam putarent proditionisque actio, quam imperator meditatus erat, in occulto esset. decreverat

δρᾶμα τῆς προδοσίας. ἀπόρρητα γὰρ τοῖς Κελτοῖς ὁ βασιλεὺς ἤθελεν εἶναι τὰ παρὰ τοῦ Βουτουμίτου οἰκονομούμενα. τῇ δὲ μετ' αὐτὴν τὸ ἐνυάλιον ἀλαλάξαντες ἐξ ἑκατέ-
B ρου μέρους τῆς πόλεως, ἐκεῖθεν μὲν διὰ τῆς ἠπείρου ἐκθυμότερον οἱ Κελτοὶ τῆς πολιορκίας εἴχοντο, ἔνθεν δ' ὁ 5
Βουτουμίτης εἰς τὰς ἐπάλξεις ἀνεληλυθὼς καὶ τὰ σκῆπτρα καὶ τὰς σημαίας περὶ τὰ τείχη καταστήσας μετὰ βυκίνων καὶ σαλπίγγων ἀνευφήμει τὸν αὐτοκράτορα. καὶ οὕτως τὸ Ῥωμαϊκὸν ἅπαν στράτευμα εἴσω Νικαίας εἰσεληλύθει. ὁ δὲ Βουτουμίτης τὰ πλήθη τῶν Κελτῶν γινώσκων καὶ διὰ τὸ 10
τῆς γνώμης αὐτῶν ἀβέβαιον καὶ τὸ τῆς ὁρμῆς ἀκάθεκτον ὑπόπτους ἔχων αὐτούς, μὴ εἰσελθόντες αὐτοὶ τὸ κάστρον
V. 249 κατάσχωσιν, ὁρῶν δὲ καὶ τοὺς ἐντὸς σατράπας ἱκανοὺς ὄντας πρὸς ἣν αὐτὸς εἶχε δύναμιν, εἰ μόνον θελήσαιεν, καὶ
C δεσμεῖν καὶ σφάττειν δυνατῶς ἔχοντας, τὰς κλεῖς εὐθὺς ἀνα- 15
λαμβάνεται τῆς πύλης. μία γὰρ τέως ἦν ἡ εἰσάγουσα καὶ ἐξάγουσα τῶν ἄλλων προκεκλεισμένων διὰ τὸν φόβον τῶν παρακειμένων Κελτῶν. τὰς κλεῖς τοίνυν ταυτησὶ τῆς πύλης αὐτὸς ἔχων δεῖν ἐλογίσατο τοὺς σατράπας διὰ μεθοδείας ἐλαττῶσαι, ἵν' ἔχῃ τούτους ῥᾳδίως καταγωνίζεσθαι, 20
ὡς μή τι δεινὸν κατ' αὐτοῦ μελετήσαιεν. μεταπεμπόμενος τοίνυν αὐτοὺς συνεβούλευε πρὸς τὸν αὐτοκράτορα ἀπέρχεσθαι, εἰ βούλοιντο πολλά τε χρήματα ἐκεῖθεν λαβεῖν καὶ τιμῆς ἀξιωθῆναι μεγίστης καὶ ἐτησίους τυπωθῆναι φιλοτι-

8. οὕτω A. 14. εἶχε F, εἶχεν P.

enim imperator, ut quae instituerentur a Butumite Gallos celarentur. itaque cum postridie magno clamore utrimque sublato Galli a terra muros acerrime temptarent, ecce Butumites subito in propugnaculis apparuit sceptraque et signa Romana in muris ubique figens bucinarum tubarumque concentu imperatorem acclamavit: sicque universus Romanorum exercitus Nicaeam intravit. sed Butumites cognita ingenti Gallorum multitudine, quia propter levitatem impetusque vehementiam eos suspectos habuit, cavebat, ne ingressi arcem occuparent; cum vero Turcarum satrapas, qui Nicaeae erant, tot copiis instructos animadverteret, ut, modo vellent, facile Romanos, qui parvo numero erant, vincire mactareque possent, sumpsit sibi claves portae, quae aliis ob Gallorum metum occlusis una tunc patebat. cuius igitur portae claves cum haberet, satraparum numerum arte minuere adortus est, ut facile eos superare, ne quid mali contra se meditarentur, posset. quibus arcessitis auctor fuit, ut imperatorem adirent pecuniasque multas acciperent et honores summos praemiaque annua impetrarent. id persuasit Turcis

μίας. πείθει τοὺς Τούρκους καὶ νυκτὸς διανοίγων ἀπέστελλε τούτους διὰ τῆς παρακειμένης λίμνης ὀλίγους καὶ συχνάκις D πρός τε τὸν Ῥοδομηρὸν καὶ τὸν μιξοβάρβαρον Μοναστρᾶν ἀμφὶ τὸ πολίχνιον ἐνδιατρίβοντας τὸ οὑτωσί πως τοῦ κυ-
5 ροῦ Γεωργίου ἐπονομαζόμενον ἐπισκήψας αὐτοῖς ὡς, ὁπηνίκα τῶν νεῶν ἀποβαῖεν, παραχρῆμα ἐκπέμπεσθαι τούτους πρὸς τὸν αὐτοκράτορα καὶ μηδὲ πρὸς βραχύν τινα χρόνον παρακατέχειν αὐτούς, ἵνα μὴ μετὰ τῶν ὄπισθεν πεμπομένων Τούρκων ἑνωθέντες σκαιόν τι κατ' αὐτῶν μελετήσαιεν. τὸ
10 δὲ ἄρα προφητεία ἦν ἄντικρυς καὶ τῆς πολλῆς τοῦ ἀνδρὸς ἐκείνου ἐμπειρίας στοχασμὸς ἀναντίρρητος. καὶ γὰρ ἔστ' ἂν P. 315 ταχὺ πρὸς τὸν αὐτοκράτορα τοὺς καταλαμβάνοντας ἐξέπεμπον, ἐν ἀσφαλείᾳ τε ἦσαν καὶ οὐδεὶς αὐτοῖς κίνδυνος ἐφειστήκει· ἐπὰν δὲ ἀναπεπτώκεσαν, ὁ παρὰ τῶν βαρβάρων,
15 οὓς ἄρα παρακατέσχον, κατ' αὐτῶν ἐξηρτύετο κίνδυνος. καὶ γὰρ πλεονάσαντες ἐβουλεύοντο δυοῖν θάτερον, ἢ νυκτὸς ἐπιθέμενοι τούτοις ἀποκτεῖναι ἢ δεσμώτας τῷ σουλτάνῳ προσενεγκεῖν. συνδόξαντος δὲ πᾶσι τούτου βελτίονος, νυκτὸς αὐτοῖς ἐπιθέμενοι δεσμώτας κατὰ τὰ προβεβουλευμένα περιά-
20 γοντες ἐκεῖθεν ἐξῄεσαν. εἶτα δὴ τὴν ἀκρολοφίαν τοῦ Ἀζαλᾶ κατειληφότες (τόπος δὲ οὗτος σταδίους...... τῶν τειχῶν B Νικαίας ἀπέχων), κεῖθι γοῦν, ὡς λόγος, παραγενόμενοι τῶν

4. ἐνδιατρίβοντας F, ἐδιατρίβοντας P, διατρίβοντας C. τὸ F, τοῦ P. 16. δυοῖν F, δυεῖν P. 18. δὲ F, τὲ P. πᾶσι τούτου F, τούτου πᾶσι P. 19. ἀπάγοντες ? 21. σταδίους *** P: in F sex litterarum lacuna.

portisque noctu apertis per lacum subinde simul paucos emisit ad Rodomerum et Monastram mixobarbarum, qui morabantur circa oppidulum a divo Georgio nominatum; quibus mandarat, ut statim eos navibus egressos ad imperatorem mitterent ac ne paululum quidem temporis retinerent, ne coniuncti insequentibus Turcis scaevi quid in ipsos temptarent. fuit haec plane prophetia quaedam atque inrefragabile magnae viri exercitationis testimonium. quoad enim qui advenerant confestim ad imperatorem mittebantur, in tuto erant nec periculum iis imminebat; at languescente diligentia a barbaris, quos retinebant, pericula iis struebantur. qui numerosiores facti deliberarunt, noctu eos trucidarent an captos ad sultanum ducerent. hoc cum omnibus melius videretur, noctu in Romanos insurgunt vinctosque, ut inter sese convenerant, abducentes decedunt perveniuntque ita in verticem Azalae (qui locus a Nicaeae muris ...... stadiis remotus est), ubi ex equis desilientes hos recreaverunt. sed

ἵππων ἀποβάντες τούτους ἀνέψυχον. ἐπεὶ δ' ὁ μὲν Μοναστρᾶς μιξοβάρβαρος ἦν καὶ τῆς Τουρκικῆς εἰδήμων διαλέκτου καὶ αὐτὸς ὁ Ῥοδομηρὸς πάλαι πρὸς τῶν Τούρκων κατασχεθεὶς καὶ χρόνον συχνὸν μετ' αὐτῶν ἐνδιατρίψας οὐδ' αὐτὸς ἀδαὴς τῆς τοιαύτης ἦν διαλέκτου, πιθανοὺς πρὸς αὐτοὺς 5
συχνῶς ἀνεκίνουν λόγους "ἵνα τί" λέγοντες "ἡμῖν μὲν θανάτου ποτήριον κιρνᾶτε οὐδὲ μικράν τινα τὴν ὄνησιν ἑαυτοῖς ἐντεῦθεν πραγματευόμενοι; ὑμεῖς δὲ τῶν ἄλλων πάντων μεγάλων δωρημάτων παρὰ τοῦ αὐτοκράτορος ἀπολαυσάντων
C καὶ ἐτησίων χρημάτων λῆψιν τυπωθέντων ἑαυτοὺς τοσούτων 10
ἀποστερεῖτε. μὴ τοίνυν οὕτω περὶ ἑαυτῶν φρονεῖτε καὶ ἐξὸν ἀκινδύνως σώζεσθαι καὶ πλούτῳ κομῶντας εἰς τὰ σφέτερα ἐπαναστρέφειν καὶ χωρῶν ἐγκρατεῖς ἴσως γενέσθαι εἰς προὖπτον ἑαυτοὺς ἐπιρρίπτετε κίνδυνον. ἴσως γὰρ καὶ τοῖς λοχῶσιν αὐτοῦ που Ῥωμαίοις ἐντυχόντες" ῥύακας ταῖν 15
χεροῖν ἐπιδείξαντες καὶ ἑλώδεις τόπους "ἀναιρεθήσεσθε καὶ ἐπὶ κενοῖς τὴν σφῶν ἀπολέσετε ζωήν. καὶ γὰρ ἐνεδρεύουσιν ὑμᾶς μάλα γε πλεῖστοι οὐ Κελτοὶ καὶ βάρβαροι μόνον, ἀλλὰ
V. 250 καὶ Ῥωμαίων πλῆθος οὐ μετρητόν. εἰ γοῦν ἡμῖν πείθεσθε, στρέψαντες τὰς ἡνίας ὁμοῦ φοιτήσωμεν πρὸς τὸν αὐτοκρά- 20

10. P post τυπωθέντων verba ex superioribus (79, 14 sq.) repetita habet haec τῶν βαρβάρων οὓς ἄρα παρακατέσχον. a F recte absunt. τοσούτων] ἁπάντων C. 13. ἐπαναστρέφεσθαι C.
β α
15. λοχῶσι F. Ῥωμαίοις αὐτοῦ που F (m. ead. corr.) 16. ἀναιρεθήσεσθε F, ἀναιρηθήσεσθε P. καὶ ἐπὶ κενοῖς τὴν σφῶν ἀπολέσετε ζωὴν F, om. P. 19. ἡμῖν] ἐμοί C.

Monastras et Rodomerus Turcarum linguae periti, cum ille mixobarbarus esset, hic diu olim inter eos captus fuisset multumque temporis cum eis commoratus esset, blandis sermonibus saepe eos temptantes "Cur" inquiunt "letale nobis poculum sine ulla vel minima utilitate vestra miscetis? vos vero omnibus illis magnis imperatoris muneribus annuisque pecuniis ipsos spoliatis, quibus ceteri, qui iam ad imperatorem praecesserunt, fruuntur. ne ita vobis faciatis neu, cum penes vos sit, sine periculo vivere florentesque divitiis domum redire praediorumque fortasse dominos fieri, proicite vos in periculum non dubium. etenim in Romanorum insidias incidentes" digitis autem monstrabant rivos et palustres locos "peribitis vestramque vitam vanae spei inhiantes perdetis; neque enim plurimi solum Galli barbarique vobis insidiantur, sed innumera quoque Romanorum copia. quare, si nobis creditis, flexis habenis una ad imperatorem tenda-

τορα. καὶ Θεὸν ὑμῖν ἐπομνύμεθα, μυρίων ἀπολαῦσαι τῶν ἐξ αὐτοῦ δωρημάτων· κἄπειτα, ὅπῃ βουλητὸν ὑμῖν, ἀπελεύ- D σεσθε ἀνέτως ὡς ἐλεύθεροι." πείθονται τοῖς τούτων λόγοις οἱ Τοῦρκοι καὶ πίστεις πρὸς ἀλλήλους δόντες ἅμα καὶ λα-
5 βόντες τῆς πρὸς τὸν αὐτοκράτορα φερούσης εἴχοντο. καταλαβόντων δὲ τὸν Πελεκάνον, ὡς τούτους ὁ αὐτοκράτωρ ἐθεάσατο, μεθ' ἱλαροῦ πᾶσιν ἐνατενίσας βλέμματος, καίτοι πολλὰ τὸν Ῥοδομηρὸν καὶ τὸν Μοναστρᾶν παρ' ἑαυτῷ νεμεσῶν, τὸ μὲν παρὸν ἀναπαυθησομένους τούτους ἐξαπέστειλε· P. 316
10 κατὰ δὲ τὴν ἐπιοῦσαν, ὁπόσοι μὲν τῶν Τούρκων αὐτῷ θητεῦσαι προτεθύμηντο, μυρίων τῶν εὐεργεσιῶν ἀπήλαυσαν· οἱ δὲ τὰ σφέτερα ἀναζητοῦντες καὶ αὐτοὶ οὐκ ὀλίγων δωρημάτων τετυχηκότες παρεχωρήθησαν τῇ σφῶν γνώμῃ ξυγχρήσασθαι. εἶθ' ὕστερον πολλὰ τῆς ἀβουλίας τὸν Ῥοδομηρὸν
15 καὶ τὸν Μοναστρᾶν κατεμέμφετο· μηδ' ἀντωπῆσαι δὲ τούτους ὑπ' αἰσχύνης ἰσχύοντας ὁρῶν, μεταβαλὼν ὁ βασιλεὺς ἀνακτᾶσθαι δι' ἑτέρων λόγων ἔσπευδεν. ἀλλὰ τοιαῦτα μὲν τὰ κατὰ τὸν Ῥοδομηρὸν καὶ τὸν Μοναστρᾶν· τοῦ δὲ Βουτουμίτου τηνικαῦτα δουκὸς Νικαίας παρὰ τοῦ αὐτοκράτορος
20 προχειρισθέντος, ᾐτήσαντο τοῦτον οἱ Κελτοὶ εἰσελθεῖν καὶ B τὰ ἐν αὐτῇ ἱερὰ τεμένη θεᾶσθαι καὶ προσκυνεῖν. ὁ δὲ τὴν αὐτῶν γνώμην σαφῶς ἐπιστάμενος, καθὰ δήπου καὶ εἴρηται, οὐ πᾶσιν ὁμαδὸν τὴν εἰσέλευσιν συνεχώρει, ἀλλὰ κατὰ δεκάδας ὑπανοίγων τὰς πύλας παρεχώρει τοῖς Κελτοῖς τῆς εἰσόδου.

3. ἀνέτως om. C. 15. δὲ τούτους F, τούτους P. 16. ὁρῶν F, ὁρᾷν P. 17. ἔσπευσεν C.

mus. sic deo teste iuramus fore ut innumerabilibus ab imperatore donis cumulati, quocumque lubebit, recedendi potestatem ut liberi habeatis." quibus verbis Turcae confisi data acceptaque fide pergunt ad imperatorem; qui Pelecanum eos appulsos laeto omnes intuitus vultu dissimulata in Rodomerum et Monastram indignatione abire, ut requiescerent, iussit. postridie qui Turcarum ei servire volebant, eos innumeris beneficiis affecit; qui autem redeundi desiderio tenebantur, multis et ipsi cumulati muneribus, ut suam quisque voluntatem sequeretur, permissi sunt. tum demum Rodomerum et Monastram multum de imprudentia obiurgat; sed cum verecundia victos ne intueri quidem se videret, mutata oratione conciliare eos sibi rursus studuit. hactenus de Rodomero et Monastra. sed Butumites Nicaeae dux ab imperatore declaratus, cum a Gallis rogaretur, ut intrare eos sacrasque urbis aedes visere et venerari sineret, non cunctis una Gallis, quia mentes eorum, ut iam dictum est, norat, aditum concessit, sed per decadas apertis portis eos intromisit.

3. Ὁ δὲ αὐτοκράτωρ ἔτι περὶ τὸν Πελεκάνον διατρίβων καὶ θέλων, ὁπόσοι μὴ ἔφθασαν τῶν κομήτων ὀμωμοκέναι καὶ αὐτοὺς ὅρκια πρὸς αὐτὸν δοῦναι, ἐνετείλατο διὰ γραμμάτων τῷ Βουτουμίτῃ, συμβουλεῦσαι ἅπασι κοινῶς τοῖς κόμησι, μὴ πρὸ τοῦ συντάξασθαι τῷ βασιλεῖ τῆς πρὸς Ἀντιόχειαν φερούσης ἅψεσθαι· οὕτω γὰρ ἂν γένοιτο, τούτους 5
C καὶ πλειόνων αὖθις δωρεῶν τυχεῖν. ἁπάντων δὲ πρῶτος ὁ Βαϊμοῦντος χρήματα καὶ δωρεὰς ἀκούσας τοῖς τοῦ Βουτουμίτου λόγοις παραυτίκα πεισθεὶς ἅπασι συνεβούλευε πρὸς τὸν βασιλέα ἐπανελεύσεσθαι, ὁποῖος ἐκεῖνος περὶ τὰς 10
λήψεις ἀκάθεκτον ἔχων τὸν ἔρωτα. καταλαβόντας δὲ τούτους τὸν Πελεκάνον ὁ αὐτοκράτωρ μεγαλοπρεπῶς δέχεται πολλῆς κηδεμονίας ἀξιώσας· εἶτα συναγαγὼν αὐτοὺς ἔφη "τὸν ὅρκον ἐπίστασθε, ὃν πρὸς ἡμᾶς ἅπαντες ἐποιήσατε, καὶ εἰ μὴ παραβάται ἀπεντεῦθέν ἐστε, ὁπόσους ἴστε μὴ 15
ὀμωμοκότας, ξυμβουλεύσασθε τὸν αὐτὸν ὅρκον ἐπιτελέσαι".
D οἱ δὲ παραχρῆμα μετεπέμποντο τοὺς μὴ ὀμωμοκότας. καὶ δὴ συνεληλύθεσαν ἅπαντες καὶ ἐπλήρουν τὸν ὅρκον. ὁ δὲ τοῦ Βαϊμούντου ἀνεψιαδῆς Ταγγρῆς, ἐλευθέρας ὢν γνώμης, ἐνίστατο μόνῳ τῷ Βαϊμούντῳ πίστιν χρεωστεῖν καὶ ταύτην 20
φυλάξαι μέχρις αὐτοῦ θανάτου βούλεσθαι. ὀχλούμενος δὲ

1. Πελικάνον P, correxi. 2. ὀμωμοκέναι C, ὠμωμωκέναι P.
6. ἅψασθαι C. 10. ἐπανελεύσεσθαι F, ἐπανεευλσεσθαι P.
16. ξυμβουλεύσασθε F, συμβουλεύσασθε P. 17. μετεπέμποντο τοὺς μὴ ὀμωμοκότας F, τοὺς μὴ ὀμωμοκότας μετεπέμποντο P.
19. ἐλεύθερος C. 20. Βαιμούντῳ C, Βαϊμοῦντι P.

3. Interim imperator etiamtum circa Pelecanum commorans cupiensque ut qui comites nondum sibi obstricti essent, sacramentum sibi dicerent, per litteras Butumitae praecepit, ut comitibus communiter omnibus auctor fieret, ne prius Antiochiam versus proficiscerentur, quam imperatori vale dixissent; quod si fecissent, fore, ut etiam plura ab eo dona acciperent. primus omnium Boëmundus pecuniis donisque auditis statim Butumitae oboediens, omnes ut Augustum adirent, suasit: tanta eum lucri cupiditas tenuit. hos omnes Pelecanum advectos magnifice imperator excipit ac multa dignatur benevolentia, congregatisque iis "Scitis" inquit "quo mihi vos sacramento devinxeritis. quodsi transgressores non estis, eos vestrum, quos nondum fidem nobis suam obstrinxisse scitis, ut idem ius iurandum praestent, suadete." statim convocantur iniurati comites. atque omnes venerunt et sacramentum dixerunt; Tancredus vero, Boëmundi consobrinus, liberrimi ingenii iuvenis, uni se Baimundo professus est fidem debere, quam ad mortem usque servaturus esset.

ὑπὸ τῶν παρεστώτων καὶ αὐτῶν δὴ τῶν τοῦ βασιλέως συγ-
γενῶν, ἀκκιζόμενος οἷον, ἐνατενίσας πρὸς τὴν σκηνήν, ἐν ᾗ
ὁ βασιλεὺς προὐκάθητο (ἦν γὰρ κατὰ μέγεθος, ὁποίαν οὔπω
τότε οὐδεὶς ἐθεάσατο), "ἐὰν ταύτην" ἔφη "πλήρη χρημάτων
5 μοι δώσεις καὶ ἄλλα ὁπόσα τοῖς ἅπασι δέδωκας κόμησι, V. 251
τελέσω τὸν ὅρκον κἀγώ". ὁ δὲ Παλαιολόγος δι' ὃν εἶχεν P. 317
ὑπὲρ τοῦ αὐτοκράτορος ζῆλον μὴ ἐνεγκὼν τὸν τοῦ Ταγγρῆ
λόγον ἐσχηματισμένον ὄντα ἐξουθενήσας αὐτὸν ἀπεπέμψατο.
ὁ δὲ ἰταμώτατος ὢν ὥρμησε κατ' αὐτοῦ. τοῦτο ἰδὼν ὁ
10 βασιλεὺς ἐξαναστὰς τοῦ θρόνου μέσος ἔστη. καὶ ὁ Βαϊ-
μοῦντος δὲ κατέσχε τοῦτον τῆς ὁρμῆς φάμενος ὡς "οὐ
πρέπον ἐστὶ τοῖς τοῦ βασιλέως ἀναισχύντως προσφέρεσθαι
συγγενέσιν". εἶτα αἰσχυνθεὶς οὕτω πρὸς τὸν Παλαιολόγον
παροινήσας ὁ Ταγγρῆς, τὸ δέ τι καὶ ταῖς τοῦ Βαϊμούντου
15 καὶ τῶν ἄλλων πεισθεὶς παραινέσεσι δίδωσι καὶ αὐτὸς
ὅρκια· καὶ δὴ συνταξαμένων ἁπάντων τῷ βασιλεῖ παραδί-
δωσιν αὐτοῖς τὸν Τατίκιον μετὰ τῶν ὑπ' αὐτὸν δυνάμεων B
μέγαν τηνικαῦτα πριμικήριον χρηματίζοντα, πῇ μὲν συνεπ-
αρήγοντα τούτοις ἐν πᾶσι καὶ προκινδυνεύοντα, πῇ δὲ καὶ
20 τῶν παρ' αὐτῶν ἁλισκομένων πόλεων, εἴ γε καὶ τοῦτο δοίη
Θεός, ἐπιδραττόμενον. διαπεράσαντες οὖν αὖθις οἱ Κελτοὶ
τῇ μετ' αὐτὴν τῆς πρὸς Ἀντιόχειαν εἴχοντο ἅπαντες. εἶτα

1. παρεστότων P, correxi. 2. ἀκκιζόμενος F, αἰκιζόμενος P. 3. οὔπω C, οὕτω P. 5. δώσεις F, δώσῃς P. 13. συγγενέσιν F, συγγενέσι P. 18. ποῖ P, correxi. 20. αὐτοῦ C.

obiurgatus vero et a suis, qui adstabant, et ab imperatoris cognatis quasi fastidiens fixis in tabernaculum oculis, in quo imperator sedebat (tam magnum vero erat, quantum nemo umquam viderat), "Si pecunia" inquit "id mihi refertum dederis aliaque omnia, quae singulis comitibus dedisti, et ego ius iurandum praestabo". non tulit Palaeologus pro suo in imperatorem studio exaggeratam Tancredi orationem et cum contemptu se ab eo avertit. at is audacissimus in illum irruit; quo imperator animadverso propere exsurgens intercessit. etiam Boëmundus ab impetu eum retinens "Non decet" inquit "in imperatoris cognatos impudenter invehi". tandem Tancredus pudore concepto suae in Palaeologum violentiae, Boëmundi etiam aliorumque consiliis victus et ipse iuramentum praestitit. deinde imperator ab omnibus salutatus magnum tunc primicerium Taticium copiis instructum ire cum iis iussit, partim ut auxilio iis esset periculaque averteret, partim ut, quas urbes deo iuvante cepissent, imperio vindicaret. postridie iterum transfretantes viam, quae Antiochiam ducit, Galli omnes capessivere. sed imperator reputans non omnes

στοχασάμενος ὁ βασιλεύς, ὡς οὐ πάντες ἐξ ἀνάγκης συναπ-
ῆλθον τοῖς κόμησι, δηλοῖ τῷ Βουτουμίτῃ, ἵν' ὁπόσοι
τῶν Κελτῶν τῆς ἰδίας στρατιᾶς ἀπελείφθησαν, εἰς φρου-
ρὰν τῆς Νικαίας μισθώσηται. ὁ δέ γε Τατίκιος μετὰ τοῦ
ὑπ' αὐτὸν στρατοῦ καὶ οἱ κόμητες ἅπαντες καὶ τὰ ὑπ' αὐ- 5
C τοὺς ἀναρίθμητα Κελτικὰ πλήθη ἐν δυσὶν ἡμέραις τὰς Λεύ-
κας καταλαβόντες τῷ μὲν Βαϊμούντῳ τὸν ἔμπροσθεν ἀπε-
μερίσαντο τόπον τοῦτο αὐτοῦ ἐξαιτησαμένου· ἐκεῖνοι δ'
ὄπισθεν αὐτοῦ παραταξάμενοι βραδεῖ ποδὶ ἔστειχον. ὀξυτέραν
δὲ τὴν κίνησιν ποιούμενον ἐπεὶ περὶ τὰς τοῦ Δορυλαίου 10
πεδιάδας Τοῦρκοι τοῦτον ἐθεάσαντο, οἰηθέντες τῷ παντὶ
στρατεύματι τῶν Κελτῶν ἐντετυχηκέναι καὶ καταπεφρονηκό-
τες αὐτοῦ παραχρῆμα τὸν μετ' αὐτοῦ συνῆψαν πόλεμον. ὁ
δέ γε τετυφωμένος ἐκεῖνος Λατῖνος, ὁ ἐπὶ τοῦ βασιλικοῦ
σκίμποδος καθεσθῆναι τολμήσας, τῆς τοῦ αὐτοκράτορος ἐπιλα- 15
θόμενος ξυμβουλῆς τὸ ἄκρον εἶχε τῆς τοῦ Βαϊμούντου παρατά-
D ξεως καὶ μικροψυχήσας τῶν λοιπῶν προεξέδραμε. κτείνονται
μὲν οὖν τηνικαῦτα τεσσαράκοντα τῶν μετ' αὐτοῦ· ἐκεῖνος
δὲ καιρίως πληγεὶς νῶτα τοῖς ἐχθροῖς ὑποσχὼν εἰς τὸ μέσον
τῆς παρατάξεως ἥλατο ἔργῳ τὸν αὐτοκράτορα, ὁποῖος 20
ξύμβουλός ἐστι, διακηρυκεύων, κἂν μὴ λόγοις ἠβούλετο. ὁ
δὲ Βαϊμοῦντος τοὺς Τούρκους ἐκθύμως μαχομένους ὁρῶν,
ἀποστείλας τὰς Κελτικὰς μετεπέμπετο δυνάμεις. φθάνουσι

2. ἵν' A, ἵνα P. 4. τατίκιος A. 7. Βαιμούντῳ C, Βαϊμοῦντι P. ἀπεμερίσαντο A, ἀπεμερίσατο P, ἀπεχαρίσατο C. 8. δ' A, δὲ P. 10. Δορυλέου F. 20. ἥλλατο P, correxi.

una cum comitibus, ut deberent, abiisse mandat Butumitae, ut, quotquot Galli discedente exercitu remansissent, ut Nicaeae praesidio essent, conduceret. at Taticius cum proprio exercitu comitesque universi cum innumerabilibus Gallicis copiis ubi biduo Leucas attigerunt, Boëmundo, quemadmodum poposcerat, praeeundi partes tribuerunt: ceteri eum sequentes acie instructa lente progrediebantur. hunc vero, cum celerius pergeret, Turcae in Dorylaei campis speculati ratique universum Latinorum exercitum adesse paucitate contempta statim proelium ineunt. ibi iactator ille Latinus, qui imperatoris solium insidere ausus erat, eius consilii oblitus in prima Boëmundi acie stetit et levitate abreptus ceteros praecurrit. at quadraginta suorum trucidantur; ipse graviter vulneratus dato tergo in mediam aciem properat vel tacente voce re ipsa imperatoris consiliorum prudentiam praedicans. at fortiter Turcis pugnantibus misit Boëmundus ad Gallicas copias arcessendas; quae celerrime ad-

δὲ τάχος· κἀντεῦθεν συνίσταται πόλεμος βαρὺς καὶ δεινός. καὶ τὴν νικῶσαν εἶχε τὸ Ῥωμαϊκὸν καὶ Κελτικὸν στράτευμα. P. 318 πορευομένων δ' ἐκεῖθεν ἰλαδὸν τῶν ταγμάτων, συνέλαχον τούτοις κατὰ τὴν Ἑβραϊκὴν ὅ τε Τανισκὰν ὁ σουλτὰν καὶ ὁ Ἀσάν, 5 ὃς μόνος ἦρχε χιλιάδων ἀνδρῶν ὁπλιτῶν ὀγδοήκοντα. μάχης οὖν καρτερᾶς γενομένης ἐκ πολλῶν χειρῶν καὶ δυνάμεων καὶ μηδὲ θατέρου μέρους τὰ νῶτα θατέρῳ διδόντος, ἐπεὶ θαρραλεώτερον οἱ Τοῦρκοι τοῖς ἐναντίοις ἐμάχοντο, τοῦτο θεασάμενος ὁ Βαϊμοῦντος τοῦ δεξιοῦ κέρως ἐξάρχων, τοῦ λοι-10 ποῦ στρατεύματος διαιρεθεὶς κατ' αὐτοῦ τοῦ Κλιτζιασθλὰν V. 252 σουλτὰν ἰταμῶς ἐξώρμησε λέων ὥς ἀλκὶ πεποιθὼς κατὰ τὸν ποιητήν. τοῦτο τοὺς Τούρκους ἐκδειματῶσαν τὰ νῶτα τοῖς B Κελτοῖς δοῦναι ἐποίησεν. οἱ δὲ οὐκ ἐπὶ πολὺ τούτους ἐδίωκον τῶν τοῦ αὐτοκράτορος μεμνημένοι παραγγελμάτων, ἀλλὰ 15 τὴν ταφρείαν τῶν Τούρκων καταλαβόντες κἀκεῖσε μικρὸν ἑαυτοὺς διαναπαύσαντες τοὺς Τούρκους κατὰ τὴν Ἀγρουστόπολιν αὖθις καταλαμβάνουσι καὶ προσβαλόντες τρέπουσι κατὰ κράτος. κἀντεῦθεν πίπτει τὸ βάρβαρον, οἱ δέ γε σωθέντες ἄλλος [ἄλλοσε] ἀλλαχῇ διεσπάρησαν τάς τε γυναῖκας 20 καὶ τοὺς παῖδας καταλιπόντες, ὡς τοῦ λοιποῦ μηδ' ἀντωπῆσαι τοῖς Λατίνοις ἰσχύοντες, ἀλλὰ φυγῇ τὴν οἰκείαν πραγματευόμενοι σωτηρίαν.

2. εἶχε τὸ A, εἴχετο P. 4. Ἑβραϊκὴν C, Ἑβραϊκοὺς P. Τανισμὰν Wilkenus. 6. καρτερᾶς γ. F. κρατερᾶς γ. A, γ. καρτερᾶς P. χειρῶν F, χερῶν P. 7 ἐνδόντος C. 10. Κλιτζιασθλὰν F, κλυτζασθλὰν A, Κλιτζιαστρὰν P. 12. ἐκδειματῶσαν FAC, ἐκδειμάτωσεν P. 16. Αὐγουστόπολιν Ducangius. 17. καταλαμβάνουσι FA, καταλαμβάνουσιν P. 19. ἄλλος ἀλλαχοῦ A, ἄλλος ἄλλοσε ἀλλαχῇ P, ἄλλοσε ἀλλαχῇ F: ἄλλοσε seclusi.

volant, gravique commisso proelio Romanorum Gallorumque exercitus victoriam reportavit. sed turmatim procedentes Gallos ad Hebraicam offendunt Taniscan sultanus et Asan, qui solus octoginta millia armatorum ductabat; proelioque acri in tanto militum numero facto ac neutro exercitu terga vertente Boëmundus, qui dextro cornu praeerat, cum fortius Turcas certare videret, a reliquo exercitu seiunctus in ipsum sultanum Clitziasthlan tamquam leo robore fretus, ut est apud poetam, ferociter invehitur. hac re Turcae perterriti Gallis dant terga; qui tamen memores mandatorum imperatoris haud longe eos sequebantur, verum castris expugnatis, ubi paulisper se refecerunt, Turcas rursus ad Agrustopolin offendunt congressique summa vi fugant. ibi Turcarum vires ceciderunt atque superstites alius alio sparguntur relictis uxoribus liberisque, ita ut in fuga salutem suam sitam esse arbitrarentur nec ab eo die Latinis obsistere auderent.

C 4. Τί τὸ ἐντεῦθεν; καταλαμβάνουσιν οἱ Λατῖνοι μετὰ τῆς Ῥωμαϊκῆς στρατιᾶς τὴν Ἀντιόχειαν διὰ τοῦ καλουμένου Ὀξέως Δρόμου τῶν ἐφ' ἑκάτερα μηδένα λόγον ποιούμενοι· ἀγχοῦ δὲ τῶν τειχῶν τάφρον ποιήσαντες τὰς σκευὰς ἐναπέθεντο καὶ ἐπολιόρκουν ταυτηνὶ τὴν πόλιν σεληνιακαῖς τρισὶ 5 περιόδοις. οἱ δὲ Τοῦρκοι πτοηθέντες περὶ τῆς καταλαβούσης αὐτοὺς ἀνάγκης τῷ τοῦ Χοροσὰν σουλτάνῳ μηνύουσιν ἀποχρώσας δυνάμεις ἀποστεῖλαι πρὸς βοήθειαν ἐξαιτούμενοι, ἐφ' ᾧ τοῖς τε Ἀντιοχεῦσιν ἐπαρήξειν καὶ τοὺς ἔξωθεν πολιορκοῦντας Λατίνους ἀποδιῶξαι. ἔτυχε δέ τις ἄνωθεν τοῦ 10 πύργου Ἀρμένιος τηρῶν τὸ κληρωθὲν τῷ Βαϊμούντῳ μέρος D τοῦ τείχους. τοῦτον ἄνωθεν πολλάκις προκύπτοντα ὁ Βαϊμοῦντος ἐκμειλισσόμενος καὶ ὑποσχέσεσι πολλαῖς ὑποσαίνων ἀνέπεισε προδοῦναί οἱ τὴν πόλιν. ὁ δὲ Ἀρμένιος πρὸς αὐτὸν "ὁπηνίκα ἂν βούλει καὶ σημεῖόν τι ἔξωθεν αὐτὸς 15 ὑποδείξεις μοι, παραχρῆμά σοι τουτοῒ παραδώσω τὸ πυργίον· μόνον ἕτοιμος ἔσο σύ τε καὶ ὁ ὑπὸ χεῖρά σοι ἅπας λαὸς ηὐτρεπισμένας ἔχων ἅμα καὶ κλίμακας. οὐ σὲ δὲ μόνον ἕτοιμον εἶναι χρή, ἀλλὰ καὶ ἅπαν τὸ στράτευμα θωρήξασθαι, ἵν' εὐθὺς ἀνελθόντας ὑμᾶς οἱ Τοῦρκοι θεασά- 20 P. 319 μενοι καὶ τὸ ἐνυάλιον ἀλαλάζοντας ἐκδειματωθέντες εἰς φυγὴν ἀπονεύσειαν." εἶχε μὲν οὖν ὁ Βαϊμοῦντος τὸ σκοπούμενον

8. ὀξέος FC, ὀξέως P. 9. ἐπαρήξειν F, ἐπαῤῥήξειν P. 17. σύ τε C, τότε P. 18. οὐ σὲ F. οὐδὲ P. 22. μὲν οὖν FC, om. P.

4. Post haec Latini una cum Romano exercitu Antiochiam perveniunt a parte, cui a pernici cursu nomen est; neglegentesque obiacentem utrimque regionem vallo prope muros fixo sarcinas deponunt urbemque per tres menses obsident. at Turcae hac necessitate perculsi petunt a sultano Chorosanis, ut sat sibi auxiliorum mitteret cum ad tuendos Antiochienses, tum ad foris oppugnantes Latinos pellendos. erat inter obsessos Armenius quidam, qui eam muri partem custodiebat, quam oppugnare Boëmundo obvenerat. hunc saepe de muro despectantem ita Boëmundus deliniverat totque promissis temptaverat, ut urbem se ei proditurum promitteret. ille vero "Quandocumque" inquit "voles, si signum mihi dederis, statim hanc tibi turrem tradam; modo tum et ipse sis paratus et copias tuas omnes expeditas scalisque instructas habeas. nec solum te paratum esse, sed totum quoque exercitum armari expedit, ut Turcae murum vos ascendisse conspicati clamoreque perterriti statim in fugam vertantur." quae convenerant alto Boëmundus premebat silentio.

τέως ἀνέκφορον. τούτων δὲ οὕτω διασκοπουμένων κατέλαβέ τις λέγων, λίαν πολὺ πλῆθος Ἀγαρηνῶν καταλαμβάνειν ὅσον ἤδη ἀπὸ τοῦ Χορωσὰν κατ' αὐτῶν ἡγεμόνα συνεπαγόμενον τὸν καλούμενον Κουρπαγάν. ὅπερ μεμαθηκὼς ὁ Βαϊμοῦντος
5 καὶ μὴ θέλων τὴν Ἀντιόχειαν παραδοῦναι πρὸς τὸν Τατίκιον κατὰ τοὺς προγεγονότας πρὸς τὸν βασιλέα ὅρκους, ἀλλ' ἑαυτῷ μνηστευόμενος ταύτην, βουλὴν βουλεύεται πονηράν, δι' ἧς αὐτὸν ἄκοντα μεταναστεῦσαι παρασκευάσειε. προσελθὼν τοίνυν αὐτῷ φησιν "ἀπόρρητόν τι ἀποκαλύψαι σοι βούλο-
10 μαι κηδόμενός σου τῆς σωτηρίας. λόγος τις τοῖς ὠσὶ τῶν B κομήτων ἐνηχηθεὶς συνετάραξεν αὐτῶν τὰς ψυχάς, ὅτι τοὺς ἀπὸ τοῦ Χορωσὰν ἐρχομένους ὁ βασιλεὺς τὸν σουλτάνον ἔπεισε καθ' ἡμῶν ἐκπέμψαι. τοῦτο δὲ πιστὸν οἱ κόμητες ἡγησάμενοι κατὰ τῆς σῆς μελετῶσι ζωῆς. κἀγὼ μὲν τοὐμὸν
15 ἤδη πεπλήρωκα καὶ τὸν ἐπερχόμενόν σοι προείρηκα κίνδυνον. τοῦ λοιποῦ σόν ἐστιν, ὑπὲρ τῆς ἑαυτοῦ καὶ τῶν ὑπὸ σὲ ταγμάτων φροντίσαι σωτηρίας." ὁ δὲ Τατίκιος ὁρῶν V. 253 μὲν καὶ τὸν λιμὸν πολὺν (καὶ γὰρ ἡ κεφαλὴ τοῦ βοὸς ἐπὶ τρισὶ χρυσίνοις στατῆρσιν ἀπεμπολεῖτο), ἀπαγορεύων δὲ καὶ
20 τὴν τῆς Ἀντιοχείας ἅλωσιν ἤδη ἐκεῖθεν ἀπάρας εἰς τὸν ἐν τῷ λιμένι Σουδὶ ἱστάμενον Ῥωμαϊκὸν στόλον εἰσελθὼν τὴν C Κύπρον κατέλαβε. τούτου δὲ ὑποχωρήσαντος τὸν λόγον

3. ἀπὸ addidi. 4. λεγόμενον C. 7. μνηστευόμενος F, μνηστευσάμενος C, μνηστευσόμενος P. 9.—10. ἀπόρρητον... σωτηρίας om. C. 16. ἑαυτοῦ FC, σεαυτοῦ P. 17. ὑπὲρ C. σὲ FAC, σοῦ P. 21. σούδῃ A. ἱστάμενον om. C. 22. κατέλαβε A, κατέλαβεν P.

his igitur ita constitutis advenit nuntius, appropinquare cum maxime a Chorosan ductu et auspiciis Curpaganis ingentem Agarenorum exercitum. quo cognito Boëmundus, cum Antiochiam, ut iuratus imperatori promiserat, Taticio dedi nollet, verum ipse eius principatum affectaret, pravum excogitavit consilium, quo quamvis invitum illum ab urbe cedere cogeret. itaque ad Taticium accedens "Arcanum" inquit "aliquid tibi detegam saluti tuae consulens. etenim ad comitum aures rumor pervenit eorumque animos perturbavit, barbaros a Chorosane proficiscentes impulsu imperatoris in nos ruere. id comites pro certo habent tuamque mortem meditantur. quod me attinet, officio meo satisfeci, cum imminens periculum nuntiarim. nunc tuum est, et tuae et tui exercitus saluti providere." tum Taticius magna etiam penuria animadversa (namque bubulum caput tribus aureis stateribus venibat), cum de Antiochiae expugnatione desperaret, movit inde Romanaque classe ad Sudi portum conscensa Cyprum tetendit. post huius discessum celans

τοῦ Ἀρμενίου ὑποβρύχιον ἔτι ἔχων ὁ Βαϊμοῦντος καὶ χρησταῖς ἐλπίσι τρεφόμενος περιποιούμενός τε ἑαυτῷ τὴν τῆς Ἀντιοχείας ἐξουσίαν πρὸς τοὺς κόμητας ἔφη "ὁρᾶτε ὁπόσον ἤδη χρόνον ἐνταῦθα προσταλαιπωρήσαντες οὐ μόνον οὐδὲν χρηστὸν μέχρι καὶ νῦν κατωρθώσαμεν, ἀλλὰ καὶ λιμοῦ 5 ὅσον ἤδη γενώμεθα παρανάλωμα, εἰ μή τι βέλτιον περὶ τῆς σφῶν σωτηρίας σκεψόμεθα". τῶν δέ, τί ἂν εἴη τοῦτο, πυνθανομένων αὐτὸς ἔφη "οὐ πάσας τὰς νίκας διὰ σιδήρου Θεὸς τοῖς δημαγωγοῖς δίδωσιν οὐδὲ διὰ μάχης ἀεὶ τὰ τοι-
D αῦτα κατορθοῦται, ἀλλ' ἅπερ ὁ μόθος οὐ δέδωκε, ταῦτα 10 πολλάκις ὁ λόγος ἐχαρίσατο καὶ ἡ μετὰ φιλίας καὶ ὑποποιήσεως περίοδος μείζονα τρόπαια ἔστησεν. οὐ χρὴ τοιγαροῦν μάτην τὸν καιρὸν τρίβειν, σπεῦσαι δὲ μᾶλλον πρὸ τοῦ τὸν Κουρπαγὰν καταλαβεῖν νουνεχές τι καὶ ἀνδρικὸν διαπράξασθαι τῆς ἡμῶν ἕνεκα σωτηρίας· καὶ σπουδαίως ἕκαστος 15 ἡμῶν τὸν τὸ ἴδιον λάχος τηροῦντα βάρβαρον ὑποποιείσθω.
P. 320 καὶ εἰ βούλεσθε, κείσθω καὶ ἆθλον τῷ πρώτως τοῦτο τὸ ἔργον κατωρθωκότι ἡ τῆς πόλεως ταυτησὶ φυλακή, μέχρις ἂν ὁ μέλλων ταύτην ἐξ ἡμῶν ἀναλαβέσθαι ἀπὸ τοῦ αὐτοκράτορος ἐλεύσεται. ἴσως μὲν οὖν οὐδ' οὕτω κατωρθωκέναι 20

5. καὶ ν. F, τοῦ ν. P. κατωρθώσαμεν FC, κατορθώσαμεν P. 6. γενώμεθα] θυόμεθα C. 7. σκεψόμεθα F, σκεψώμεθα P. 8. sq. διὰ σιδήρου θεὸς τοῖς δημαγωγοῖς δίδωσιν F, τοῖς δημαγωγοῖς διὰ σιδήρου δίδωσιν ὁ θεός C, τοῖς ὁ Θεὸς δημαγωγοῖς διὰ σιδήρου δίδωσιν P. 10. μόθος F, μόχθος P. 18. 20. κατωρθ. FC, κατορθ. P.

.Boëmundus etiam nunc verba Armenii bonaque spe ductus, ut Antiochiae possessionem sibi pararet, ad comites haec verba facit: "Videtis, quantum hic temporis sine ullo laborum fructu aerumnose contriverimus, nosque fame iam perituros esse, nisi quid melius de salute nostra excogitemus." quaerentibus tunc illis, quidnam hoc esset "Non omnes" inquit "victorias deus ferro ducibus largitur nec pugna semper talia parantur; sed quae bellum non dedit, ea sermo saepe praebuit; blandoque amicitiae ambitu maiora saepe tropaea statuuntur. itaque ne tempus opportunum frustra conteramus, sed, priusquam Curpagan huc venerit, prudens aliquid et strenuum nostrae salutis causa experiamur et, quos quisque barbaros in urbe oppositos habet, studiose nobis conciliemus; quin etiam qui primus id perfecerit, ei, si placet, praemium decernamus urbis huius custodiam, quoad, qui eam a nobis accipiat, imperator miserit. sed fortasse ne sic quidem quicquam utile assequi poterimus." ita

τι χρηστὸν δυνησόμεθα." ταῦτα ὁ δεινὸς Βαϊμοῦντος φίλαρχος ὢν οὐχ ὑπὲρ τῶν Λατίνων καὶ τοῦ κοινοῦ τοσοῦτον ὅσον ὑπὲρ τῆς ἑαυτοῦ τιμῆς καὶ σκοπήσας καὶ εἰπὼν καὶ ἀπατήσας οὐ διήμαρτε τοῦ σκοποῦ, ὡς ὁ λόγος κατιὼν πα-
5 ραστήσει. πρὸς τοῦτο τοίνυν ἅπαντες οἱ κόμητες κατανεύσαντες ἔργου ἥψαντο. καὶ αὐγαζούσης ἡμέρας ὁ μὲν Βαϊμοῦντος αὐτίκα πρὸς τὸν πύργον ἀπῄει· ὁ δέ γε Ἀρμένιος B κατὰ τὰς συνθήκας τὰς πύλας ὑπανοίγνυσιν· ὁ δὲ ἅλλεταί τε εὐθὺς μετὰ τῶν συνεφεπομένων αὐτῷ ἄνωθεν θᾶττον ἢ
10 λόγος καὶ περὶ τὰ κρήδεμνα τοῦ πύργου ὡρᾶτο τοῖς ἐντός τε καὶ ἐκτὸς ἱστάμενος καὶ τὴν ἐνάλιον ἠχεῖν ἐγκελεύων σάλπιγγα. καὶ ἦν ἰδεῖν τηνικαῦτα καινόν τι γινόμενον, τοὺς μὲν Τούρκους ἐκδειματωθέντας εὐθὺς διὰ τῆς ἀπέναντι πύλης φεύγοντας καὶ μόνους ἐξ αὐτῶν ἐναπολειφθέντας
15 ὀλίγους καὶ γενναίους ἄνδρας διὰ τὴν τοῦ κουλᾶ φρουράν· τοὺς δὲ Κελτοὺς ἔξωθεν κατὰ πόδας τοῦ Βαϊμούντου διὰ κλιμάκων ἀνελθόντας καὶ παραχρῆμα κατασχόντας τὴν Ἀντιόχου πόλιν. καὶ ὁ μὲν Ταγγρῆς εὐθὺς Κελτοὺς ἱκανοὺς ἀναλαβόμε- C νος ὄπισθεν τῶν φευγόντων ἐδίωκε· καὶ πολλοὶ μὲν κτεί-
20 νονται, πολλοὶ δὲ τιτρώσκονται. ὁ δὲ Κουρπαγὰν μετὰ ἀναριθμήτων χιλιάδων καταλαβὼν εἰς ἀρωγὴν τῆς Ἀντιόχου πόλεως προκατασχεθεῖσαν ταύτην εὑρηκὼς χάρακά τε ἐπήξατο καὶ τάφρον πεποιηκὼς καὶ τὰς σκευὰς ἐν αὐτῇ κατα-

2. οὐχ F, οὐχὶ P. 4. ἀπατήσας FA, ἀπαντήσας P. 6. καὶ αὐγαζούσης FC, ἀλλ' αὐγαζούσης A, καταυγαζούσης P. 9. συνεφεπομένων FA, συνεπομένων P. 18. Κελτοὺς ἱκανοὺς A, Κελτοὺς om. P. ἱκανοὺς ἀναλαβόμενος FA, ἀναλαβόμενος ἱκανοὺς P. 19. ἐδίωκε FA, ἐδίωκεν P.

vafer Boëmundus regnandi cupidus non tam Latinis neque in commune quam suo honori consulit; nec sic meditando dicendo decipiendo a fine aberravit, ut deinceps demonstrabo. omnes igitur comites his annuentes operi incumbebant. ac prima luce statim Boëmundus ad turrem adit Armenioque ex composito portam aperiente dicto citius cum suis irrumpit et de pinnis turris in obsessorum obsidentiumque conspectum eminens pugnae signum tuba dari iussit. tum vero admirandum spectaculum factum est. territi enim Turcae per adversam portam fugerunt paucique dumtaxat iique fortes ad arcis praesidium remanserunt: Galli contra Boëmundi exemplo foris scalis muros ascendunt subitoque Antiochensem civitatem capiunt. tum Tancredus idoneo copiarum numero assumpto premit vestigia fugientium, quorum multi cadunt, multi vulnerantur. Curpagan autem cum innumeris barbarorum millibus Antiochiae auxiliaturus, ubi captam eam reperit, castris locatis munitisque fossa sarcinas depo-

θέμενος ἐβουλεύετο πολιορκεῖν τὴν πόλιν. ἀλλ' οὔπω ἔργου ἁψάμενον ἐπικαταλαμβάνουσιν αὐτὸν ἐξελθόντες οἱ Κελτοί·
V. 254 *καὶ τηνικαῦτα μέγας ἀναμεταξὺ ἀναρρήγνυται πόλεμος. εἶχον δὲ τὴν νικῶσαν οἱ Τοῦρκοι· καὶ οἱ Λατῖνοι εἴσω τῶν πυ-*
D *λῶν συνεκλείοντο τὸν μόθον ἑκατέρωθεν ἔχοντες ἀπό τε* 5 *τῶν τὸ κουλᾶ φρουρούντων (ἔτι γὰρ τοῦτο κατεῖχον οἱ βάρβαροι) ἀπό τε τῶν ἔξωθεν παρακαθημένων Τούρκων. δεινὸς δὲ ἀνὴρ ὢν ὁ Βαϊμοῦντος καὶ τὴν τῆς Ἀντιοχείας ἀρχὴν σφετερίσασθαι θέλων ἐν σχήματι συμβουλῆς αὖθις "οὐ χρή" φησι πρὸς τοὺς κόμητας "τοὺς αὐτοὺς καθ' ἑκά-* 10 *τερον μέρος ἐν ταὐτῷ μετά τε τῶν ἐντὸς καὶ ἐκτὸς μάχεσθαι,*
P. 321 *ἀλλὰ διχῇ διαιρεθέντας ἐν ἀνίσοις τμήμασι πρὸς λόγον τῶν ἑκατέρωθεν πρὸς ἡμᾶς μαχομένων ἐχθρῶν οὕτω τὴν πρὸς αὐτοὺς ἀναδέχεσθαι μάχην. ἐμοὶ μὲν οὖν ἐξέσται μετὰ τῶν τὴν ἀκρόπολιν τηρούντων μάχεσθαι, εἰ καὶ ὑμῖν τοῦτο συν-* 15 *δόξειε. τοῖς δέ γε λοιποῖς μετὰ τῶν ἔξωθεν μελήσει καρτερῶς συμπλέκεσθαι." συντίθενται ἅπαντες τῇ τοῦ Βαϊμούντου γνώμῃ. ὁ δ' εὐθὺς ἔργου ἥψατο καὶ παραχρῆμα τειχίον ἀντίθετον ἐγκάρσιον ἀποδιαιροῦν τῆς ὅλης Ἀντιοχείας τὴν ἀκρόπολιν ἐδείματο, ἔρυμα καρτερώτατον πολέμου* 20
B *ἀποχρῶντος. κᾆθ' οὕτως ἀνύστακτος φύλαξ τοῦ τοιούτου τείχους καθίστατο διὰ παντὸς ἀπομαχόμενος, ὁπηνίκα καιρὸς ἐδίδου, πρὸς τοὺς ἐντὸς γενναιότατα. οἱ δ' ἄλλοι κόμητες*

1. *ἐβούλετο* A. 2. *ἀψάμενος* P, correxi. 3. *ἀναρρήγνυται* FC, *ἀναρήγνυται* P. 6. *τὸ* FAC, *τὸν* P. 10. *καθ' ἑκάτερον* FC, *καθ' ἕτερον* P. 11. *τε* FA, *γε* P. 20. *καρτερώτατα* F.

suit urbemque obsidere constituit. at nondum incepto opere erumpentes Galli eum aggrediuntur atrocique inter utrosque proelio facto Turcae victores evadunt, Latini coguntur in urbem, ita ut utraque parte et ab iis qui arci praesidio erant (eam enim barbari etiamtum obtinebant) et a foris obsidentibus Turcis urguerentur. sed vafer Boëmundus, cum Antiochiae principatum sibi asserere vellet, rursus consilium comitibus dare simulans "Non expedit" inquit "uno eosdem tempore in duplicem et internum et externum hostem pugnare; sed pro hostium copia, qui ab utraque parte nos invadunt, in duas divisos partes inaequales proelium nos conserere oportet. equidem in eos, qui arcem custodiunt, vultis, certabo: vobis erit curae, strenue contra externos dimicare". consentiunt omnes Boëmundi consilio, qui confestim re suscepta, quo arcem ab urbe separaret, murum illi ex transverso oppositum, ut esset munitissimum diuturni belli praesidium, extruxit. cuius muri ipse vigilantissimus custos extitit et quavis occasione oblata contra eos qui arcem tenebant fortissime pugnabant. nec minus

πολλὴν τοῦ λάχους αὐτῶν ἐπεποίηντο τὴν φροντίδα φρουροῦντες μὲν τὴν πόλιν διὰ παντός, κατασκοποῦντες δὲ τὰς ἐπάλξεις καὶ τὰ κρήδεμνα τῶν τειχῶν, μή πως οἱ βάρβαροι ἔξωθεν νυκτὸς διὰ κλιμάκων ἀνελθόντες τὴν πόλιν κατάσχωσι,
5 μὴ λάθοι τις τῶν ἐντὸς ἄνωθεν τοῦ τείχους γενέσθαι κἄθ' οὕτως ὁμιλήσας τοῖς βαρβάροις προδοσίας πέρι προδῷ τὴν πόλιν.

5. Ἀλλὰ ταῦτα μὲν τὰ κατὰ τὴν Ἀντιόχειαν ἔτι· ὁ δέ C γε αὐτοκράτωρ πολλὴν μὲν εἶχε τὴν προθυμίαν αὐτὸς εἰς
10 ἀρωγὴν τῶν Κελτῶν παραγενέσθαι, ἀπεῖργε δ' αὐτὸν καίπερ σφαδάζοντα ἡ τῶν κατὰ θάλατταν διακειμένων πόλεών τε καὶ χωρῶν λεηλασία καὶ παντελὴς ἐρίπωσις. ὁ μὲν γὰρ Τζαχᾶς τὴν Σμύρνην ὥσπερ ἴδιόν τι λάχος κατεῖχεν· ὁ δέ γε Ταγγριπερμῆς καλούμενος πόλιν τινὰ Ἐφεσίων ἀγχοῦ τῆς
15 θαλάττης διακειμένην, ἐν ᾗ πάλαι τέμενος ἐπ' ὀνόματι Ἰωάννου ἀποστόλου τοῦ θεολόγου ἵδρυτο. καὶ ἄλλος ἄλλα φρούρια τῶν σατραπῶν κατέχοντες ὡς ἀργυρωνήτοις τοῖς Χριστιανοῖς ἐκέχρηντο ἅπαντα ληϊζόμενοι· ἀλλὰ καὶ αὐτὰς D δὴ τὰς νήσους Χίον τε καὶ Ῥόδον καὶ τὰς ἐπιλοίπους πάσας
20 κατέσχον λῃστρικὰς ἐκεῖθεν κατασκευάσαντες ναῦς. διά τοι ταῦτα δεῖν ἐλογίσατο πρότερον τῶν κατὰ θάλατταν καὶ τὸν Τζαχᾶν πρόνοιαν ποιήσασθαι καὶ δυνάμεις διὰ ξηρᾶς ἀρ-

2. κατασκοποῦντες FC, καὶ κατασκοποῦντες P. 4. κατάσχωσι F, κατάσχωσιν P. 5. λάθοι FC, λάθη P. καθ' P, correxi. 10. παραγενέσθαι F, γενέσθαι P. 12. παντελὴς διὰ τῶν τούρκων γινομένη A. ἐρίπωσις F, ἐρείπωσις PA. 13. Σμύρναν A. 15. ἐπ' ὀνόματι om. C. 21. ἐλογίσατο F, ἐλογίσαντο P.

ceteri comites partes suas curabant urbem continuo custodientes ac propugnacula moeniumque fastigia inspicientes, ne ab extera parte barbari nocte scalis applicitis urbem occuparent neu quis civium clam de muro cum barbaris de proditione ageret urbemque proderet.

5. Ita res erant ad Antiochiam. imperatorem autem, cum magno auxiliandi Gallis impetu agitaretur, prohibuit tamen quamvis cupientem maritimarum urbium regionumque vastatio ruinaque extrema. Tzachas enim Smyrnam ut propriam sortem tenuit, Tangripermes autem qui dicebatur urbem quandam Ephesiorum prope mare sitam, in qua templum olim S. Ioannis apostoli et theologi dedicatum erat; alii satrapae alias arces invaserant et Christianis ut mancipiis usi omnia populabantur; quin et Chium Rhodumque ac plerasque ceteras insulas tenuere ibique piraticas naves extruxerunt. primum omnium igitur, ut Tzacham coerceret, imperator maritimarum rerum curam gerere et idonea terra

κούσας καὶ στόλον ἱκανὸν καταλιπεῖν, εἶτα δι' αὐτῶν τὰς
P. 322 τῶν βαρβάρων ἀναχαιτίζειν ὁρμὰς καὶ ἀντικαθίστασθαι αὐ-
V. 255 τοῖς κᾀθ' οὕτως μετὰ τοῦ λοιποῦ στρατεύματος τῆς πρὸς
Ἀντιόχειαν φερούσης ἅψασθαι μετὰ τῶν ἀναμεταξὺ βαρ-
βάρων ὡς ἐνὸν μαχόμενος. μεταπεμψάμενος τοίνυν Ἰωάννην 5
τὸν Δούκαν καὶ γυναικάδελφον αὐτοῦ παραδίδωσι δυνάμεις
ἐκ διαφόρων συνειλεγμένας χωρῶν καὶ στόλον ἀποχρῶντα
πρὸς τὴν τῶν παραλίων πόλεων πολιορκίαν καὶ αὐτὴν δὲ
τὴν τοῦ Τζαχᾶ θυγατέρα κατασχεθεῖσαν μετὰ τῶν ἄλλων,
ὁπόσοι ἐντὸς τῆς Νικαίας τότε ἔτυχον, ἐπισκήψας διακηρυ- 10
κεύειν μὲν πανταχοῦ τὴν τῆς Νικαίας ἅλωσιν, εἰ δὲ μὴ πισ-
B τεύοιτο, αὐτὴν τὴν τοῦ Τζαχᾶ θυγατέρα ὑποδεικνύναι τοῖς
σατράπαις τῶν Τούρκων καὶ τοῖς τὰ περὶ θάλατταν νεμο-
μένοις βαρβάροις, ὡς ἂν οἱ τὰς ἤδη ῥηθείσας πόλεις κατέ-
χοντες ὁρῶντες ταύτην καὶ βεβαιούμενοι τὴν τῆς Νικαίας 15
ἅλωσιν ἀπογνόντες ἀμαχητὶ παραδοῖεν τὰς πόλεις. ἐφοδιά-
σας οὖν ἱκανῶς διὰ παντοίων τὸν Ἰωάννην ἐκπέμπει.
ὁπόσα δὲ κατὰ τοῦ Τζαχᾶ τρόπαια οὗτος ἐστήσατο καὶ ὅπως
τοῦτον ἐκεῖθεν ἀπήλασε, προϊὼν ὁ λόγος δηλώσειεν. ὁ μὲν
οὖν δοὺξ καὶ θεῖος οὑμὸς πρὸς μητρὸς τῷ βασιλεῖ συντα- 20
ξάμενος τῆς μεγαλοπόλεως ἔξεισι καὶ διαπεράσας τὴν Ἄβυδον
C μεταπεμψάμενος τὸν καλούμενον Κάσπακα τήν τε τοῦ στό-
λου ἐξουσίαν καὶ τὴν τοῦ πλοὸς ἅπασαν οἰκονομίαν αὐτῷ

8. δὴ? 11. πιστεύοιτο FC, πιστεύοιντο P. 20. οὑμὸς FC, ὁ ἐμὸς P. 21. μεγαλουπόλεως P, correxi.

marique praesidia disponere constituit, quibus barbarorum incursiones repelleret eosque lacesseret. tum cum reliquo exercitu Antiochiam versus proficisci et contra barbaros in via quoad iam fieri posset dimicare voluit. quamobrem arcessito Ioanni Ducae, uxoris suae fratri, tradit et collectas e diversis regionibus copias et classem ad littorales urbes oppugnandas validam; praeterea etiam Tzachae filiam, cum aliis nuper Nicaeae captam, uti Nicaeae expugnationem ubique divulgaret, ac, nisi crederent, Turcarum satrapis barbarisque in maris littore degentibus eam monstraret. ea enim conspecta speravit Turcas de Nicaeae deditione sibi persuasuros et desperantes, quas obtinebant urbes, sine pugna tradituros esse. ita bene omnino instructum Ioannem dimittit: qui quas de Tzacha victorias reportarit utque eum illinc expulerit, iam hoc loco memorabo atque is quidem dux, avunculus meus, imperatore salutato e magna urbe profectus cum Abydum traiecisset, Caspaci, qui vocabatur, classis praefecturam ac totam expeditionis maritimae curam mandavit eique, si strenue pugnasset, ubi capta

ἀνέθετο ὑποσχόμενος ὡς, εἰ καλῶς ἀγωνίσοιτο, ὁπηνίκα
τὴν Σμύρνην συμβαίη ἁλῶναι, ἡγεμόνα τοῦτον αὐτῆς τε τῆς
Σμύρνης καὶ τῶν ὁμορούντων πάντων αὐτῇ καταστῆσαι. ἐκ-
πέμπει τοίνυν αὐτὸν διαπόντιον θαλασσοκράτορα τοῦ στό-
5 λου, ὡς εἴρηται· ἐκεῖνον δὲ ταγματάρχην εἶχεν ἡ ἤπειρος.
ἅμα τοίνυν τόν τε Κάσπακα διὰ τοῦ στόλου καὶ τὸν δοῦκα
Ἰωάννην διὰ τῆς ἠπείρου οἱ ἐντὸς τῇ Σμύρνῃ ἄμφω προσπε-
λάσαντας θεασάμενοι καὶ τὸν μὲν Δούκαν ἀγχοῦ τῶν τει-
χῶν ἐκ διαστήματός τινος τὸν χάρακα πηξάμενον, τὸν δέ γε
10 Κάσπακα τῷ λιμένι προσοκείλαντα, ἐπεὶ καὶ ἡ τῆς Νικαίας D
ἅλωσις ἤδη ἐγνώσθη αὐτοῖς, οὐδ' ὅλως ἀντικαταστῆναι τού-
τοις ἠθέλησαν, ἀλλ' εἰς λόγους καὶ σπονδὰς εἰρηνικὰς ἐλθεῖν
ᾑρετίσαντο ὑποσχόμενοι, εἴπερ ὀμωμοκέναι αὐτοῖς ὁ Δού-
κας Ἰωάννης θελήσει, ὥστε παραχωρῆσαι ἀπαθεῖς κακῶν
15 πρὸς τὰ οἴκοι τούτους ἐπαναζεῦξαι, ἀναιμωτὶ καὶ μάχης
ἄτερ τὴν Σμύρνην αὐτῷ παραδοῦναι. συντίθεται τοίνυν ὁ
Δούκας τηνικαῦτα τῇ τοῦ Τζαχᾶ γνώμῃ τὰ κατὰ σκοπὸν
ἅπαντα πληρῶσαι ὑποσχόμενος. μετ' εἰρήνης οὖν ἐκεῖθεν
αὐτοὺς ἀπελάσας τῷ Κάσπακι τὴν πᾶσαν ἐξουσίαν τῆς Σμύρ- P. 328
20 νης ἀνέθετο. γίνεται δέ τι κατὰ συντυχίαν τοιοῦτον. τοῦ Κάσ-
πακος ἀπὸ τοῦ Δούκα Ἰωάννου ὑποστρέφοντος, προσῆλθεν
αὐτῷ Σμυρναῖός τις διεγκαλῶν ἀφαιρεθῆναι παρά του Σαρα-

2. τὴν Σμύρνην συμβαίη F, συμβαίη τὴν Σμύρνην P. 9 sq. τὸν ἀγχοῦ τῶν τειχῶν ἐκ διαστήματός τινος χάρακα πηξάμενον F, ἐκ διαστήματός τινος τὸν χάρακα πηξάμενον ἀγχοῦ τῶν τειχῶν C, ἐκ διαστήματός τινος τὸν ἀγχοῦ χάρακα πηξάμενον τῶν τειχῶν P: secutus sum F, nisi quod τὸν transposui. 15. ἀναιμωτὶ F, ἀναιματὶ P. 19. ἐξουσίαν FC, οὐσίαν P.

foret Smyrna, eius civitatis et finitimarum omnium regionum principatum promisit. itaque dimisit eum, classis, ut dixi, imperio ornatum: ipse terrestribus copiis praefuit. mox autem, qui Smyrnam tenebant, cum et Ioannem Ducam a terra appropinquantem nec procul a muris castra munientem et Caspacem a mari portui cum classe applicantem vidissent, vulgata iam captae Nicaeae fama nequaquam his obsistere voluere, sed de pacis condicionibus agere cupiverunt. cumque promitterent, si Ioannes Ducas securam iis domum reditionem iure iurando confirmasset, Smyrnam se sine cruore ac pugna dedituros esse, Ducas Tzachae condiciones non aspernatus quidquid petierat pollicitus est. quibus sine bello expulsis omnem Smyrnae custodiam Caspaci commisit. forte autem accidit hoc. redeunti a Ioanne Duca Caspaci occurrit Smyrnaeus quidam querens sibi a Saraceno quingentos aureos stateres per vim ablatos esse; quo Caspax

ταλαβὼν δὲ τὴν Λαοδίκειαν καὶ πάντων παραυτίκα προσεληλυθότων αὐτῷ αὐτοῖς μὲν ὡς αὐτομόλοις χρησάμενος καὶ τεθαρρηκὼς ἀνετῶς τὰ σφέτερα κατοικεῖν εἴασε μηδὲ ἡγεμόνα ἐπιστήσας. ἐκεῖθεν δὲ διὰ τοῦ Χώματος διελθὼν τὴν B Λάμπην κατέλαβε κἂν ταύτῃ καὶ τὸν Καμύτζην Εὐστάθιον 5 στρατηγὸν ἐπέστησεν. ἐφθακὼς δὲ εἰς τὸ Πολύβοτον καταλαμβάνει Τούρκων πλῆθος πολὺ καὶ ἐπεισπεσὼν αὐτοῖς ἄρτι τὰς σκευὰς κατατιθεμένοις ξυμβαλὼν, παραυτίκα νικᾷ κατὰ κράτος καὶ κτείνει μὲν πολλούς, ἀναλαμβάνει δὲ λείαν πολλὴν καὶ τοῦ πλήθους ἀνάλογον. 10

6. Τούτου γοῦν μήπω ἐπανεληλυθότος, ἀλλ' ἀγωνιζομένου κατὰ τῶν Τούρκων, ὁ βασιλεὺς ἑτοιμασθεὶς εἰς ἀρωγὴν τῶν περὶ τὴν Ἀντιόχειαν φθάσαι Κελτῶν ἐπεὶ τὸ Φιλομήλιον κατέλαβε σὺν ὅλαις δυνάμεσι πολλοὺς ἐν τῷ μεταξὺ κτείνας βαρβάρους, πολλὰς δὲ καὶ πόλεις δῃωσάμενος 15 C ὑπ' αὐτῶν πρὶν κατεχομένας, φθάνει τηνικαῦτα τοῦτον ἐξ Ἀντιοχείας Γελίελμος ὁ Γραντεμανῆ καὶ Στέφανος κόμης Φραγγίας καὶ Πέτρος ὁ τοῦ Ἀλίφα χαλασθέντες καλῳδίοις διὰ τῶν κρηδέμνων Ἀντιοχείας καὶ διὰ τῆς Ταρσοῦ ἀφικό- V. 257 μενοι διαβεβαιοῦντο εἰς στενὸν κομιδῆ συνελαθῆναι τοὺς 20 Κελτούς, καὶ ἐπομνύμενοι τὴν αὐτῶν παντελῆ πτῶσιν. ὁ

3. ἡγεμόνα C, ἡγεμόνας P. 5. Καμύτζην F, Καμύτζιν P. 11. μήπω C, μηπου P. 17. Γελιάλμος C. Γρατεμανῆ C. 20. διαβεβαιοῦντο F, διεβεβαιοῦντο A, διαβεβαιοῦνται P. συνελαθῆναι τοὺς Κελτοὺς F, συνεληλαθῆναι τοὺς Κελτοὺς A, συνελασθῆναι τοῖς Κελτοῖς P.

meno credidit. inde Laodiceam progressum statim cives omnes adierunt; quos quidem, ut qui sponte venissent, humaniter accepit ac securus suo ipsos iuri arbitrioque nullo imposito praefecto permisit. hinc per Choma Lampen nanctus, cum Camytzen Eustathium ei ducem praefecisset, in Polyboto ingenti Turcarum numero occurrit; quos in ipsis deponendis sarcinis occupatos acri impetu fundit caeditque plurimos et pro tanta multitudine ingentem praedam facit.

6. Quo nondum reverso sed contra Turcas proeliante imperatorem Gallis auxilio Antiochiam profecturum, ubi Philomelium cuncto exercitu pervenit multis in transcursu barbaris caesis vastatisque urbibus, quae antea ab iis occupatae fuerant, conveniunt ab Antiochia Guilelmus Grantemanes Stephanusque Franciae comes et Petrus Aliphae, qui funibus ex Antiochiae muris demissi facto per Tarsum itinere Gallorum res in angustiis esse confirmaverunt atque adeo supremum iis exitium imminere iurarunt. quo nuntio impe-

δὲ βασιλεὺς διὰ τοῦτο καὶ μᾶλλον εἰς βοήθειαν αὐτῶν ἐσκόπει ταχῦναι, κἂν ἅπαντες αὐτὸν τῆς τοιαύτης ὁρμῆς ἀνέκοπτον. ἐπεὶ δὲ βαρβάρων κατ' αὐτοῦ ἔφοδος ἀμυθήτων ἁπανταχῆ διεκηρυκεύετο, ἐπικαταλαμβάνειν αὐτὸν ἤδη (καὶ 5 γὰρ ὁ τοῦ Χοροσὰν σουλτὰν τὴν τοῦ αὐτοκράτορος ὑπὲρ τῶν Κελτῶν μεμαθηκὼς ἀπέλευσιν τὸν ἴδιον υἱὸν Ἰσμαὴλ D τὴν κλῆσιν ἀπείρους δυνάμεις ἀπό τε τοῦ Χοροσὰν ἀπό τε τῶν πορρωτέρων μερῶν συναγαγὼν καὶ καρτερῶς ἐξοπλίσας ἅπαντας κατ' αὐτοῦ ἐξέπεμψεν ἐντειλάμενος τάχος τὸν 10 αὐτοκράτορα ἐφθακέναι πρὸ τοῦ τὴν Ἀντιόχειαν καταλαβεῖν), τὴν μὲν δὴ ὁρμὴν τοῦ αὐτοκράτορος, ἣν εἶχεν ὑπὲρ τῆς τῶν Κελτῶν σωτηρίας διαχρήσασθαί τε σπεύδων τοὺς κατ' αὐτῶν λυττῶντας Τούρκους καὶ αὐτὸν δὴ τὸν τούτων ἡγεμόνα Κουρπαγάν, ἐπέσχε τὰ διαμηνυθέντα ὑπό τε τῶν ἐληλυθό- 15 των Φράγγων ὑπό τε τῶν τὴν τοῦ Ἰσμαὴλ κατ' αὐτοῦ μηνυσάντων ἔλευσιν· λογισμὸν δὲ τὸν εἰκότα περὶ τοῦ μέλλοντος P. 325 λαμβάνων, ὡς ἀμήχανον εἴη πρᾶγμα σῶσαι πόλιν ἄρτι μὲν ὑπὸ τῶν Κελτῶν ἁλοῦσαν, ἀστατοῦσαν δ' ἔτι κἀκ τῶν ἔξωθεν ὑπὸ τῶν Ἀγαρηνῶν αὐτίκα πολιορκουμένην, τῶν Κελ- 20 τῶν τὰς σωζούσας ἀπεγνωκότων ἐλπίδας καὶ βουλευομένων τοῦ μὲν τείχους ἐρήμου παραχωρῆσαι τοῖς πολεμίοις, ἑαυτοὺς δὲ μόνους περισῶσαι διὰ φυγῆς. ἔστι μὲν γὰρ τὸ τῶν Κελτῶν γένος κατὰ τῶν ἄλλων αὐτόνομόν τε καὶ ἀξύμβου-

6. ἀπέλευσιν FC, ἐπέλευσιν P. 7. τοῦ FC, τῶν P. 8. πρυτέρων C. 12. σπεύδων τοὺς Τούρκους F; τ. Τ. expunxit ead. m. αὐτῶν scripsi: αὐτοῦ P. 13. λυττῶντας FC, τυττῶντας P. 15. τῶν addidi. 18. δὲ F. 23. κατὰ scripsi: μετὰ P.

rator eo magis ad auxilium maturandum accendebatur, quamquam omnes quidem a tali eum impetu revocabant. sed cum ubique fama percrebruisset, adventare immensam copiam barbarorum, quos Chorosanis sultanus de imperatoris pro Gallis expeditione certior factus partim ex Chorosane partim ex ulterioribus regionibus arcessitos et duce Ismaele filio armatos adversus Romanorum copias, priusquam Antiochiam pervenissent, festinare iusserat, imperatoris impetum liberandi Gallos delendique Turcas contra illos furentes cum Curpagane duce et nuntius quem Francorum legati attulerant et appropinquantis Ismaelis fama cohibuerunt. iam de futuro veri similia expendens intellexit urbem a Gallis nuper captam servari non posse, praesertim cum nondum firmata ea oppugnataque statim extrinsecus ab Agarenis desperantes Galli muris relictis hosti cedere atque in fuga salutem suam quaerere cogitarent. Gallorum enim natio nec leges aliorum nec consilia sequitur neque ipsa ulla in bello utitur disci-

λον, στρατηγικῇ δὲ εὐταξίᾳ καὶ ἐπιστήμῃ μηδέποτε χρώμενον,
ἀλλ' ἐπειδὰν μάχη καὶ πόλεμος περιστaίη, περιυλακτοῦντος
B αὐτοῖς τοῦ θυμοῦ ἀκάθεκτοί τέ εἰσιν οὐ τὸ στρατιωτικὸν
μόνον, ἀλλὰ καὶ αὐτοὶ ἡγεμόνες, ὡς ἐς μέσας φάλαγγας τῶν
πολεμίων εἰσπίπτοντες ἀφόρητοι, εἰ ὅλως τὸ ἀντικαθιστά- 5
μενον ὑποχαλάσειεν· εἰ δὲ στρατιωτικαῖς ἐμπειρίαις λόχους
οἱ πολέμιοι πολλάκις καταστήσαιεν καὶ τεχνικῶς αὐτοὺς
μετελεύσονται, εἰς τοὐναντίον πᾶν τὸ θράσος αὐτοῖς περιΐσ-
ταται. τὸ γὰρ ὅλον εἰπεῖν, εἰς πρώτους ῥυτῆρας ἀνύποιστοί
εἰσιν οἱ Κελτοί, τὸ δέ γε μετὰ ταῦτα καὶ λίαν εὐχείρωτοι 10
διά τε τὸ τῶν ὅπλων βάρος καὶ τὸ τῆς γνώμης θυμοειδὲς
καὶ ἀλόγιστον. διὰ ταῦτα μήτε ἀποχρώσας πρὸς τοσαῦτα
C πλήθη δυνάμεις ἔχων μήτε τὰς τῶν Κελτῶν γνώμας μετα-
βαλεῖν μήτε ξυμβουλῇ τούτους βελτίονι εἰς τὸ ξυμφέρον
μετενεγκεῖν δυνάμενος δέον ἐλογίζετο μὴ προσωτέρω χω- 15
ρεῖν, ἵνα μὴ εἰς τὴν τῆς Ἀντιοχείας ἀρωγὴν ἐπειγόμενος
καὶ τὴν Κωνσταντίνου προσαπολέσειε. πτοηθεὶς δέ, μὴ
ἐπικαταλαμβανόντων αὐτὸν ἤδη Τουρκικῶν ἀμυθήτων λαῶν
οἱ ἔποικοι τῶν μερῶν Φιλομηλίου παρανάλωμα βαρβαρικῆς
γένωνται μαχαίρας, εἰς νοῦν βάλλεται διακηρυκεῦσαι μὲν 20
ἁπανταχῇ τὴν τῶν Ἀγαρηνῶν ἔφοδον· καὶ παραυτίκα διεκη-
ρυκεύετο καὶ ὅτι ἕκαστος ἢ ἑκάστη προεξελθέτω τῆς τού-
D των ἐλεύσεως τὰ σώματα αὐτὰ καὶ τὰ χρήματα, ὁπόσα

11. τὸ τῶν F, τὸ om. P. τὸ τῆς F, τὸ om. P. 13. μεταβαλεῖν C, μεταλαβεῖν P. 14. ξυμφέρον F, συμφέρον P. 17. προσαπολέσειε F, προσαπωλέσειε P. 18. αὐτὸν ἤδη F, ἤδη om. P.

plina et scientia, sed instante bello et proelio ira ferventes et milites et ipsi quoque duces indomiti sunt, ita ut in medias impetu non ferendo hostium phalangas insiliant, si quidem ei qui obstant paulisper cedunt; sed si arte militari hostes iis insidias posuerint eosque subdole circumierint, in contrarium omnis eorum impetus vertitur. nam ut brevi praecidam, in primo impetu sane Galli sustinendi non sunt, post autem ob armorum onus et vecordem praecipitemque furorem facile domari possunt. itaque imperator, cum neque sufficientes in tantam multitudinem copias haberet neque Gallorum sententias mutare aut meliora suadendo ad ipsorum eos utilitatem adigere posset, haud ulterius proficiscendum duxit, ne in Antiochiae auxilium progressus ipsi Constantinopoli exitium pararet. timens autem, ne adventantibus innumeris Turcarum copiis partium Philomelii incolae barbarorum gladio interirent, Agarenorum expeditionem instare tota regione nuntiandum decrevit. simul edixit ut, priusquam illi appropinquarent, utriusque sexus homines ad ipsum

φέρειν δύνανται, διασώζοντες. εἵλοντο μὲν οὖν εὐθὺς ἅπαντες V. 258
συνέψεσθαι τῷ βασιλεῖ, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ αὐταὶ
γυναῖκες. * * * οὕτω μὲν οὖν τὰ τῶν αἰχμαλώτων ᾠκονό-
μητο τῷ βασιλεῖ. μέρος δὲ τοῦ στρατιωτικοῦ ἀποτεμόμενος
5 καὶ τοῦτο εἰς πολλὰ διελὼν ἐν πολλοῖς μέρεσι κατὰ τῶν
Ἀγαρηνῶν ἐξαπέστειλεν, εἴ που προεκδρομάς τινας ποιου-
μένους τοὺς Τούρκους εὕροιεν, ξυμμίγνυσθαί τε αὐτοῖς καὶ P. 326
καρτερῶς μαχομένους ἀναστέλλειν τὴν κατὰ τοῦ αὐτοκράτο-
ρος ἔφοδον. αὐτὸς δὲ μετὰ παντὸς τοῦ λαοῦ τῶν τε ἑαλω-
10 κότων βαρβάρων καὶ τῶν προσκεχωρηκότων Χριστιανῶν
ἐπαναζεύγνυσι πρὸς τὴν βασιλεύουσαν. ὁ δέ γε ἀρχισατράπης
Ἰσμαὴλ μεμαθηκὼς περὶ τοῦ αὐτοκράτορος, ὅτι τῆς Κων-
σταντίνου ἐξεληλυθὼς πολλὴν μὲν ἀνδροκτασίαν πεποιηκώς,
πολλὰς δὲ καὶ κωμοπόλεις ἐν τῷ διέρχεσθαι παντελῶς ἐρει-
15 πώσας πολλήν τε λείαν καὶ δορυαλώτους ἀναλαβόμενος
ἐπαναζεύγνυσι πρὸς τὴν βασιλεύουσαν μηδὲν ἔργον αὐτῷ
καταλελοιπώς, ὡς τῆς ἄγρας ἀπέγνω, ἐν ἀμηχάνοις καθίστατο B
καὶ ἐφ' ἑτέραν τραπόμενος τὸ Παΐπερτ πολιορκῆσαι ἐπέγνω,
ὅπερ πρὸ μικροῦ κατασχὼν εἶχεν ὁ περίκλυτος ἐκεῖνος
20 Γαβρᾶς Θεόδωρος, καὶ καταλαβὼν τὸν ἀγχοῦ τούτου ῥέοντα
ποταμὸν ἅπαν ἐκεῖ τὸ στρατιωτικὸν κατέθετο. τοῦτο με-
μαθηκὼς ὁ Γαβρᾶς διεσκοπεῖτο νυκτὸς ἐπεισπεσεῖν αὐτῷ.

1. εἵλοντο scripsi: εἴχοντο P. εὐθὺς ἅπαντες F, ἅπαντες εὐθὺς P. 3. lacunam signavi. 5. διαιρῶν C. 6. ἐξαπέστειλεν FC, ἐξαπόστειλεν P. 14. ἐρειπώσας

recederent nec corpora solum, sed opes etiam, quotquot ferre possent, exitio eriperent. nec cunctabantur statim omnes et viri et mulieres imperatorem sequi. *** hac igitur ratione captivos tractare iussit. partem vero exercitus selegit eamque rursus in plures particulas divisam misit contra Agarenos, ut si quos Turcarum in excursione offenderent, audacter eos invaderent fortiterque pugnando viam iis adimerent imperatoris persequendi: ipse cum reliquo exercitu et cum Christianis profugis captivisque barbaris in regiam urbem rediit. iam vero Ismael archisatrapa, ubi imperatorem Constantinopoli profectum magnam caedem fecisse, multas in transcursu diripuisse urbes insignique rerum captivorumque praeda facta in regiam urbem rediisse cognovit, cum nihil ipsi relictum esset, de praeda capienda desperavit. itaque, cum hic nihil facere posset, alio se vertens Paipertum oppugnare constituit, quod paulo ante ab inclito illo Gabra Theodoro occupatum erat, ibique ad praeterfluentem fluvium castra posuit. id Gabras intuens nocte in eum invadere mo-

τῶν ἀποπνιγέντων τοῖς ὄπισθεν ἐρχομένοις. ἐφ' ἱκανὸν οὖν καὶ τοὺς φεύγοντας διώξαντες πρὸς τὴν Τουρκικὴν ταφρείαν ὑπέστρεψαν κἀκεῖσε τὰς βαρβαρικὰς σκευὰς εὑρηκότες. καὶ ἣν συνεπεφέροντο λείαν ἅπασαν ἀναλαβέσθαι μὲν ἤθελον παραχρῆμα, πολλὴν δὲ οὖσαν διὰ τριακονθημέρου μόγις 5 ταύτην εἰσαγαγεῖν εἰς τὴν Ἀντιόχου πόλιν ἐξίσχυσαν. ἐπ' ὀλίγον οὖν αὐτοῦ που ἐγκαρτερήσαντες, ἐφ' ᾧ τῆς τοῦ πολέμου κακοπαθείας ἑαυτοὺς διαναπαῦσαι, ἅμα δὲ καὶ τῆς Ἀντιόχου φροντίδα ποιούμενοι ἀνεζήτουν τὸν ταύτην φρουρήσοντα. ἦν δὲ ὁ Βαϊμοῦντος, καθά γε πρὸ τοῦ τὴν πόλιν 10 D ἁλῶναι φθάσας ᾐτήσατο. παρακεχωρηκότες δὲ αὐτῷ τῆς ἁπάσης ἐξουσίας τῆς Ἀντιόχου αὐτοὶ τῆς πρὸς τὰ Ἱεροσόλυμα φερούσης ἥψαντο. ἐν δὲ τῷ διέρχεσθαι πολλὰ μὲν τῶν παραλίων κάστρων κατέσχον· ὁπόσα δὲ ἐρυμνότατα ὄντα πλείονος ἐδεῖτο τῆς πολιορκίας, παραδραμόντες τῷ τέως 15 αὐτὰ πρὸς τὴν Ἱερουσαλὴμ ἔσπευδον. περιζώσαντες δὲ τὰ τείχη καὶ πυκναῖς προσβολαῖς πολιορκοῦντες αὐτὴν διὰ μιᾶς σεληνιακῆς περιόδου κατέσχον πολλοὺς τῶν ἐντὸς Σαρακηνῶν καὶ Ἑβραίων ἀνῃρηκότες. πάντων δὲ ὑποταγέντων αὐτοῖς, P. 328 ἐπεὶ ὁ ἀντιβαίνων οὐδείς, τὴν ἐξουσίαν ἅπασαν τῷ Γοντο- 20 φρὲ ἀναθέμενοι ῥῆγα τοῦτον ὠνόμασαν.

5. μόγις F, μόλις P. 10. καθά γε F, καθάπερ PA. 14. sqq. ὁπόσα δὲ ἐρυμνότατα ... κατέσχον πολλοὺς] εἷλον (ἧλον A) δὲ καὶ τὴν Ἱερουσαλήμ, πολλοὺς CA. 16. Ἱερουσαλὴλ F. 17. μιᾶς F, μέσης P.

cadavera quasi pontem quendam insequentibus praeberent. ita fugientes satis persecuti redeunt ad barbarorum castra, cumque eorum opes et praedam omnem ab iis congestam reperissent eaque quantocius exhaurire cupivissent, tamen tanta erant, ut vix triginta diebus in urbem Antiochiam comportare ea possent. dein ibi commorabantur aliquantisper Galli, ut ex certaminum laboribus se reficerent simulque Antiochiae providentes quaererent, qui eam custodiret. is fuit Boëmundus, ut qui iam ante captam civitatem id sibi munus petisset; cui permissa omni urbis potestate ipsi Hierosolyma iter intendunt. multisque in transcursu ad mare arcibus occupatis, omissis autem interim firmissimis, quarum expugnationi longior mora opus erat, ad Hierosolyma festinaverunt eaque obsidentes crebrisque incursionibus oppugnantes multis Saracenis Hebraeisque occisis post unum mensem occupant. cunctis vero domitis, cum nemo resisteret, summam rerum ad Gotofredum deferunt eumque regem appellant.

7. Διαμηνυθείσης δὲ τῆς τῶν Κελτῶν ἐφόδου τῷ ἐξουσιαστῇ Βαβυλῶνος Ἀμεριμνῇ καὶ ὅπως παρ' αὐτῶν ἥ τε Ἱερουσαλὴμ ἑάλω καὶ αὐτὴ ἡ Ἀντιόχου καὶ ἄλλαι πολλαὶ πόλεις αἱ ταύτῃ παρακείμεναι παρὰ τῶν Κελτῶν κατεσχέ-
5 θησαν, τηνικαῦτα πολὺ πλῆθος συναγηοχὼς ἔκ τε Ἀρμενίων καὶ Ἀρράβων Σαρακηνῶν τε καὶ Ἀγαρηνῶν κατ' αὐτῶν ἐξαπέστειλε. τούτου διαμηνυθέντος παρὰ τοῦ Γοντοφρὲ τοῖς Κελτοῖς, τηνικαῦτα ὡπλίσαντο κατ' αὐτῶν καὶ κατελθόντες εἰς τὸ Ἰάφα τὴν ἐκείνων περιέμενον ἔφοδον· εἶτα ἐκεῖθεν B
10 κατέλαβον τὸ Ῥάμελ, ἐν ᾧ καὶ ὁ μεγαλομάρτυρ Γεώργιος μεμαρτύρηκε, καὶ † ἑνωθέντες τῷ κατ' αὐτῶν ἐρχομένῳ στρατεύματι τοῦ Ἀμεριμνῇ συνῆψαν πόλεμον μετ' αὐτῶν. καὶ τὴν νικῶσαν εἶχον εὐθὺς οἱ Κελτοί· τῇ δὲ μετ' αὐτὴν † καταλαβόντες ἐξ ὀπισθίων τοῦ προμετωπίου τῆς φάλαγγος ἡττή- V. 260
15 θησαν οἱ Λατῖνοι μέχρι τοῦ Ῥάμελ περισωθέντες. μόνος δὲ ὁ Βαλδουῖνος κόμης ἀπῆν φυγαδείᾳ χρησάμενος οὐχ ὡς ἄνανδρος, ἀλλ' ὥς τι κρεῖττον προμηθευσόμενος περί τε τῆς ἑαυτοῦ σωτηρίας καὶ τοῦ κατὰ τῶν Βαβυλωνίων στρατεύματος. καταλαβόντες δὲ οἱ Βαβυλώνιοι καὶ κυκλοτερῆ C
20 τὴν πολιορκίαν τοῦ Ῥάμελ ποιούμενοι θᾶττον τοῦτο κατέσχον. πολλοὶ δὲ τῶν Λατίνων τηνικαῦτα κτείνονται, πλείους δὲ καὶ ζωγρία πρὸς Βαβυλῶνα ἐστάλησαν. ἐκεῖθεν δὲ ὑπο-

6. καὶ A, om. P. Ἀρράβων FC, Ἀράβων PA. τε om. A. 9. τὸ FAC, τὸν P. 10. μεγαλομάρτυρ A, μεγαλομάρτυς P. 11. ἑνωθέντες] ἐπελθόντες? 12. συνῆψαν FA, συνῆψε P. 13 sq. μεταλαβόντες ἐξ ὀπισθίων τοὺς προμετωπίους? 18. κατὰ τῶν om. C. 22. ζωγρία F, ζωγρίαι A, ζωγρεία P.

7. Sed Amerimnes princeps Babylonis de Gallorum expeditione certior factus ab iisque capta Hierosolyma et Antiochiam multasque alias adiacentes urbes occupatas esse ingentem celeriter multitudinem ex Armeniis Arabibus Saracenis Agarenisque congregatam in eos misit. hoc per Gotofredum nuntiato statim omnes Galli armati ad Iapha conveniunt ibique illorum impetum opperiuntur; inde Ramel transeunt, ubi magnus martyr Georgius passus est. atque cum occurrente Amerimnae exercitu proelio conserto Galli victores evadunt; postero autem die collocatis in fronte, qui in extrema acie steterant, victi et ad Ramel usque fugati sunt. unus Balduinus comes antea effugerat nulla quidem ignavia ductus, sed ut melius saluti suae consuleret exercitumque in Babylonios pararet. tum Babylonii eos persecuti Ramel circumsederunt brevique ea urbe expugnata multos Latinorum trucidant, plures captos Babylonem deduxerunt. mox inde omnes Babyloniorum copiae ad Iapha oppu-

στρέφον τὸ ὁπλιτικὸν ἅπαν τῶν Βαβυλωνίων πρὸς τὴν πολιορκίαν τοῦ Ἰάφα ἠπείγετο. τοιοῦτον γὰρ τὸ βάρβαρον ἀεί. ὁ δέ γε ἀνωτέρω ῥηθεὶς Βαλδουῖνος τὰς παρὰ τῶν Φράγγων ἑαλωκυίας χωμοπόλεις ἁπάσας περιιὼν οὐκ ὀλίγους τε συναγηοχὼς ἱππεῖς καὶ πεζοὺς ἀξιόμαχον στράτευμα 5 *συνεστήσατο κἀντεῦθεν τοῖς Βαβυλωνίοις ἐπελθὼν ἥττησε* D *κατὰ κράτος. ὁ δὲ βασιλεὺς τὴν κατὰ τὸ Ῥάμελ τῶν Λατίνων ἧτταν μεμαθηκώς, περιαλγήσας ἐπὶ τῇ τῶν κομήτων αἰχμαλωσίᾳ, ἅτε γινώσκων αὐτοὺς κατά τε ὥραν καὶ ῥώμην σώματος καὶ περιφάνειαν γένους τῶν πάλαι ὑμνουμένων,* 10 *οὐκ ἔφερεν ἐπὶ πλέον τούτους δορυαλώτους ἐπὶ ξένης εἶναι. ἔνθεν τοι μεταπεμψάμενός τινα Βαρδαλῆν καλούμενον χρήματά τε ἱκανὰ ἐπιδοὺς πρὸς τὴν ἐκείνων ἀνάρρυσιν πρὸς Βαβυλῶνα ἐκπέπομφεν ἐγχειρίσας αὐτῷ καὶ τὰ πρὸς τὸν Ἀμεριμνῆν γράμματα περὶ τῶν κομήτων διαλαμβάνοντα.* 15 *ὁ δὲ τὰς τοῦ αὐτοκράτορος ἀνελίξας γραφὰς ἄτερ τιμῆς τοὺς κόμητας ἀπεδίδου μετὰ περιχαρείας πλὴν τοῦ Γοντοφρέ. ἐκεῖνον γὰρ προφθάσας πρὸς τὸν αὐτάδελφον αὐτοῦ Βαλδουῖνον τιμῆς ἀπέδοτο. καταλαβόντας δὲ τὴν μεγαλόπολιν τοὺς κόμητας ὁ βασιλεὺς ἐντίμως ἐδέξατο χρήματά* 20 P. 329 *τε ἱκανὰ ἐπιδοὺς καὶ ἐφ' ἱκανὸν τούτους διαναπαύσας χαίροντας ἐξαπέστειλεν οἴκαδε. ὁ δὲ Γοντοφρὲ ῥὴξ Ἱεροσολύμων αὖθις ἀποκαταστὰς τὸν ἀδελφὸν αὐτοῦ Βαλδουῖνον εἰς Ἔδεσαν ἐκπέπομφε. τότε δὴ καὶ ὁ αὐτοκράτωρ τῷ*

6. *ἀπελθὼν* C. 18. *αὐτάδελφον* FA, *ἀδελφὸν* P. 19. *μεγαλούπολιν* C.

gnandum pergunt. est enim talis semper barbarorum consuetudo. verum Balduinus, quem supra dixi, capta a Francis oppida omnia circumiens haud paucis peditibus equitibusque collectis insignem exercitum congregavit, quocum egressus Babylonios graviter fudit. sed imperator audita Latinorum ad Ramel clade comitum captivitatem miseratus, quos et aetatis flore roboreque corporis et generis claritate priscis illis heroibus similes norat, non tulit eos captos in peregrina terra versari, sed Bardalen quendam ad redimendos eos multa cum pecunia misit Babylonem datis ad Amerimnen de comitibus litteris. quibus lectis ille lubentissime comites sine pretio dimisit excepto Gotofredo, quem iam ante Balduinus frater mercede redemerat. tum perhonorifice imperator comites Constantinopoli excepit eosque, cum sat vires refecissent, multa pecunia donatos laetos domum abire passus est. sed Gotofredus rex Hierosolymorum rursus constitutus Balduinum fratrem Edessam misit;

Ἰσαγγέλῃ ἐπέσκηψε τὴν μὲν Λαοδίκειαν Ἀνδρονίκῳ τῷ Τζιντζιλούκῃ ἀναθέσθαι, τὸ δέ γε Μαρακέως καὶ τὸ Βαλανέως τοῖς ὑπὸ τὸν Εὐμάθιον δοῦκα Κύπρου τῷ τότε ὑπάρχοντα, ἐκεῖνον δὲ προσωτέρω βαδίσαι καὶ περὶ τὴς τῶν λοιπῶν κάστρων 5 κατασχέσεως ὡς ἐνὸν διαγωνιεῖσθαι. ὅπερ δὴ καὶ πεποίηκε τοῖς γράμμασι τοῦ βασιλέως πεισθείς. μετὰ γοῦν τὸ παραδοῦναι τὰ κάστρα τοῖς ἀνωτέρω δηλωθεῖσιν ἀπῆλθεν εἰς B Ἀντάραδον καὶ ταύτην ἀμαχητὶ ἐχειρώσατο. τοῦτο ἐνωτισθεὶς ὁ Ἀταπάκας τῆς Δαμασκοῦ δυνάμεις συναθροίσας ἱκα- 10 νὰς κατ' αὐτοῦ ἐστρατεύσατο. ἐπεὶ δὲ ὁ Ἰσαγγέλης ἀποχρώσας δυνάμεις πρὸς τοσοῦτον πλῆθος οὐκ εἶχε, βουλὴν ἐβουλεύσατο οὐ τοσοῦτον ἀνδρείαν ὁπόσον συνετήν. θαρρήσας γὰρ τοῖς ἐντοπίοις ἔφη ὡς "ἐγὼ μὲν τοῦ κάστρου παμμεγέθους ὄντος ἔν τινι τόπῳ κρυβήσομαι· ὑμεῖς δέ, ὁπηνίκα ὁ Ἀτα- 15 πάκας καταλάβῃ, τὸ μὲν ἀληθὲς μὴ ὁμολογήσητε, πτοηθέντα δέ με φυγάδα γενέσθαι διαβεβαιώσατε". καταλαβὼν οὖν ὁ Ἀταπάκας καὶ ἐρωτήσας περὶ τοῦ Ἰσαγγέλη, ἐπεὶ ἀποδεδρακέναι τοῦτον ἐπίστευσε, κεκμηκὼς ἀπὸ τῆς ὁδοιπορίας ἀγχοῦ C τῶν τειχῶν τὴν σκηνὴν ἐπήξατο. τῶν δὲ ἐντοπίων πᾶσαν 20 φιλοφροσύνην εἰς αὐτὸν ἐνδεικνυμένων, τεθαρρηκότες οἱ Τοῦρκοι καὶ μηδὲν ἐναντίον ὑποτοπάσαντες τοὺς ἰδίους

1. Ἰσαγγέλῃ FAC, Σαγγέλῃ P: sic semper postea. 3. εὐμάθιον τὸν φιλοκάλην A. 5. διαγωνιεῖσθαι FC, διαγωνίσασθαι A, διαγωνεῖσθαι P. 6. γράμμασιν F. 8. ἀτάραδον A, Ἀτάρανδον C. 9. 14. 17. Ἀτάπακας P. 18. ἐπίστευσε κεκμηκὼς ἀπὸ τῆς ὁδοιπορίας F, ἐπίστευσεν ἀπὸ τῆς ὁδοιπορίας κεκμηκὼς C, ἐπίστευσεν, ἀπὸ τῆς κεκμηκὼς ὁδοιπορίας P.

eodemque tempore Isangeli imperator mandavit, ut Laodiceam traderet Andronico Tzintzilucae, Eumathii autem Cypri tum ducis militibus castra Maracei et Balanei: ipse pergeret et reliquas arces pro viribus occupare conaretur. id etiam fecit litteris imperatoris oboediens. nam postquam iis, quos supra nominavi, arces reddidit, Antarado admovens eam urbem sine certamine subegit. quo audito Atapacas Damascenus multis copiis adversus Isangelen processit, qui nequaquam se tantae multitudini parem sentiens consilium iniit non tam forte quam prudens. nam indigenas confidenter conveniens "Ego" inquit "in hac ampla arce alicubi latebo: vos Atapaca adventante veram rem neutiquam fatebimini, sed fugisse me territum affirmabitis." quocirca, cum adveniens Atapacas, ubi esset Isangeles, quaesivisset eumque trepide fugisse crederet, fessus via prope muros sibi tentorium fixit; omnemque ei benevolentiam incolis ostendentibus Turcae in securitate confirmantur ne-

V. 261 ἵππους πρὸς τὸ πεδίον ἔλυσαν. ὁ δὲ Ἰσαγγέλης μέσης ἡμέρας τοῦ ἡλίου κατὰ κορυφὴν τὰς ἀκτῖνας βάλλοντος καρτερῶς ὁπλισάμενος μετὰ τῶν ὑπ' αὐτὸν (εἰς τετρακοσίους δὲ περιΐσταντο) αἴφνης τὰς πύλας ἀνοίξας διὰ μέσης τῆς αὐτῶν παρεμβολῆς ὥρμησεν. ὁπόσοι μὲν οὖν ἐκθύμως εἰώθασι μάχεσθαι, τῆς ἑαυτῶν ζωῆς ἀφειδήσαντες τὸν μετ' αὐτῶν D ἱστάμενοι ἀνεδέξαντο πόλεμον· οἱ δὲ λοιποὶ φυγαδείᾳ τὴν ἑαυτῶν ἀπεπειρῶντο πραγματεύσασθαι σωτηρίαν. ἀλλὰ τὸ τῆς πεδιάδος εὐρὺ καὶ τὸ μή τι ἕλος παρακεῖσθαι ἢ βουνὸν ἢ φάραγγα ταῖς τῶν Λατίνων χερσὶν ἅπαντας παραδέδωκεν. ἔνθεν τοι καὶ παρανάλωμα ξιφῶν πάντες γεγόνασιν· ὀλίγοι δὲ καὶ κατεσχέθησαν. οὕτω γοῦν τῶν Τούρκων καταστρατηγήσας κατὰ τῆς Τριπόλεως χωρεῖ. ἄνεισι γοῦν κατευθὺ καὶ προκαταλαμβάνει τὴν ἀκρολοφίαν τοῦ ἀντικρὺ Τριπόλεως διακειμένου βουνοῦ, μέρους ὄντος τοῦ Λιβάνου, ἐφ' ᾧ καὶ ὡς ὀχύρωμα τοῦτον ἔχειν καὶ τὸ ἐκ τοῦ Λιβάνου καταρρέον ὕδωρ εἰς Τρίπολιν διὰ τοῦ πρανοῦς τοῦ τοιούτου βουνοῦ P. 330 ἐπισχεῖν. τηνικαῦτα δὲ πρὸς τὸν βασιλέα τὰ συμβάντα δηλώσας ᾔτεῖτο ἐρυμνότατόν τι ὀχύρωμα γενέσθαι πρὸ τοῦ καταλαβεῖν ἀπὸ τοῦ Χοροσὰν δυνάμεις πλείονας καὶ καταγωνίσασθαι αὐτούς. ὁ δὲ βασιλεὺς τῷ δουκὶ Κύπρου τὴν τοῦ τοιούτου πολιχνίου κτίσιν ἀνέθετο ἐπισκήψας, ἵνα διὰ

12. δὲ καὶ F, δὲ τούτων καὶ A, δὲ P. καταστρατηγήσας FA, καταστραγήσας P. 13. Τριπόλεως] πόλης C. 19. τι ὀχύρωμα F, τι om. PA. 21. αὐτοὺς C, αὐτοὶ F, αὐτῆς P.

que quidquam hostile suspicati equos ad pastum in campos dimittunt. Isangeles autem sole meridie instante verticibus armatus cum suis (erant autem circiter quadringenti) portis repente patefactis in media Turcarum castra irrumpit. ibi omnes, qui fortiter pugnare consueverant, vitae non parcentes pugna accepta Gallis restiterunt; ceteri fuga servari studebant. sed quia vasta patuit planities, non palude vel tumulo fossave intercepta, cunctos Latini in potestatem redegerunt paucisque in captivitatem deductis gladio reliquos absumpserunt. sic Turcis debellatis Tripolin Isangeles petiit primoque adventu verticem collis, quae est pars Libani montis, adversus urbem occupat, ut et castrorum situm munitissimum haberet et fontem, qui ducto per collis declivia opere Tripolin de Libano fluebat, interciperet. tum ab imperatore, cui, quae egerat, nuntiarat, petiit ut, priusquam maiores a Chorosane copiae venirent ipsosque devincerent, castrum ibi validissimum extrueret. itaque imperator Cypri duci talem arcem condendam tradidit eique negotium dedit, ut omnia quae

τοῦ στόλου πάντα τὰ συνοίσοντα ταχέως ἐξαποστέλλῃ καὶ τοὺς τὸ τοιοῦτον πολίχνιον οἰκοδομήσοντας ἐφ' ὃν ἂν ὁ Ἰσαγγέλης ὑποδείξειε τόπον. γέγονε τοῦτο τῷ τέως. καὶ ὁ μὲν Ἰσαγγέλης ἔξωθεν τῆς Τριπόλεως στρατοπεδευσάμενος
5 πάντα κάλων κινῶν περὶ τὴν ταύτης ἅλωσιν οὐκ ἐνεδίδου. ὁ δέ γε Βαϊμοῦντος τὴν τοῦ Τζιντζιλούκη εἰσέλευσιν εἰς B Λαοδίκειαν μεμαθηκὼς τὴν ἔχθραν, ἣν πάλαι κατὰ τοῦ αὐτοκράτορος ἐγκυμονήσας εἶχεν, εἰς τοὐμφανὲς ἐξαγαγὼν μετὰ δυνάμεως ἀποχρώσης τὸν ἀνεψιὸν αὐτοῦ Ταγγρὲ κατὰ
10 τῆς Λαοδικείας ἐκπέμπει ταύτην πολιορκήσοντα. τῆς δὲ περὶ τούτου φήμης μέχρι καὶ ἐς τὰς τοῦ Ἰσαγγέλη διαδραμούσης ἀκοάς, εὐθὺς μηδὲ μικρόν τι μελλήσας οὗτος καταλαμβάνει τὴν Λαοδίκειαν καὶ λόγους συνείρει πρὸς τὸν Ταγγρὲ διὰ παντοίων λόγων συμβουλεύων αὐτῷ τῆς τοῦ
15 κάστρου πολιορκίας ἀποσχέσθαι. ὡς δὲ πολλὰ μετ' αὐτοῦ κοινολογούμενος καταπειθῆ τοῦτον οὐχ εὕρισκεν, ἀλλ' ἄντικρυς ᾄδειν ἐδόκει παρὰ κωφῷ, ἐκεῖθεν παλινοστήσας κατα- C λαμβάνει αὖθις τὴν Τρίπολιν. ἐκεῖνος δὲ οὐδοπωσοῦν τῆς πολιορκίας ἀφίστατο. ἰδὼν οὖν ὁ Τζιντζιλούκης τὴν ὁρμὴν
20 τοῦ Ταγγρὲ καὶ ὡς ἐν στενῷ τὰ κατ' αὐτὸν συνελαύνεται, βοήθειαν ἐκεῖθεν ᾐτεῖτο. βραδυνόντων δὲ τῶν ἐν τῇ Κύπρῳ, εἰς ἀμηχανίαν ἐλθὼν τὸ μὲν ἀπὸ τῆς πολιορκίας, τὸ δὲ καὶ ὑπὸ τοῦ λιμοῦ πιεζόμενος προδοῦναι τὸ κάστρον ᾑρετίσατο.

2. οἰκοδομήσοντας ****** F. 3. τοῦτο τῷ F, τῷ om. P. 12. μέλησας F. 18. οὐδ' ὁπωσοῦν A, οὐδοποσοῦν P. 21. ἐκεῖθεν] Εὐμάθιον? 24. ᾑρετίσατο A, ἡρετίσατο P.

utilia futura essent et artifices illius operis navibus quam primum in eum locum importaret, quem Isangeles designaturus esset. quo facto, dum Tripoli Isangeles imminet et, quo eam subiciat, indefesso conatu omnem movet funem, Boëmundus cognito Laodiceam Tzintzilucae traditam esse odium, quo iam pridem in imperatorem flagrabat, non amplius dissimulaturus Tancredum nepotem cum sufficientibus copiis ad oppugnandam Laodiceam dimisit. cuius rei fama allata ne brevi quidem Isangeles moratus statim eo properat et agit cum Tancredo variisque sermonibus ei suadet, ut a castri oppugnatione desisteret; cumque multa cum eo egisset nec quod voluit impetrare posset surdoque adeo decantare videretur, Tripolin recessit. at illo minime ab oppugnatione desistente Tzintziluces impetu Tancredi perspecto in augustias redactus illinc auxilium petit. sed cum ii qui in Cypro erant cunctarentur, tandem et hostium obsidione et fame coactus deditionem castri praetulit.

8. Τούτων οὕτω τελουμένων, ἐπεὶ τετελευτηκότος τοῦ Γοντοφρὲ ἕτερον ἔδει πάλιν ῥῆγα γενέσθαι τὸν ἐκείνου ἀναπληροῦντα τόπον εὐθὺς οἱ ἐν Ἱεροσολύμοις Λατῖνοι μετ-
D εκαλοῦντο τὸν Ἰσαγγέλην ἀπὸ Τριπόλεως ῥῆγα τῶν Ἱεροσολύμων ποιῆσαι ἐθέλοντες. ὁ δὲ ἀνεβάλλετο τέως τὴν ἐκεῖσε ἀπέλευσιν. εἰσελθόντος οὖν εἰς τὴν μεγαλόπολιν, ἐπεὶ ἀναβαλλόμενον αὐτὸν οἱ ἐν Ἱεροσολύμοις ἐγνώκεσαν, μεταπεμψάμενοι τὸν Βαλδουῖνον περὶ τὴν Ἔδεσαν τότε ἐνδιατρίβοντα ῥῆγα Ἱεροσολύμων κατέστησαν. ὁ μὲν οὖν βασιλεὺς τὸν Ἰσαγγέλην ἀσμένως ἀποδεξάμενος, ἐπεὶ τὸν Βαλδουῖνον μεμαθήκει τὴν ἐν Ἱεροσολύμοις ἀρχὴν ἀναδέξασθαι,
V. 262 παρακατεῖχε μεθ' ἑαυτοῦ, ὁπηνίκα καὶ τὸ τῶν Νορμάνων φοσσάτον κατέλαβεν ἡγεμόνας ἔχον ἀδελφοὺς δύο Φλάντρας καλουμένους. οἷς πολλὰ πολλάκις ὁ βασιλεὺς συμβουλευόμε-
P. 331 νος τὴν αὐτὴν τοῖς προλαβοῦσι φοσσάτοις ὁδεῦσαι καὶ διὰ τῶν παραλίων τὰ Ἱεροσόλυμα καταλαβεῖν καὶ οὕτω τῷ λοιπῷ στρατεύματι τῶν Λατίνων ἑνωθῆναι, πειθομένους τούτους οὐχ εὕρισκεν, ἅτε τοῖς Φράγγοις ἑνωθῆναι μὴ βουλομένους, ἀλλ' ἑτέραν ὁδεῦσαι ὁδὸν διὰ τοῦ ἀνατολικοῦ καὶ κατευθὺ χωρῆσαι τοῦ Χοροσὰν οἰομένους κατασχεῖν τὸ τοιοῦτον. ὁ δὲ βασιλεὺς πάντῃ ἀσύμφορον τοῦτο γινώσκων καὶ τὴν ἀπόλειαν μὴ θέλων τοῦ τοσούτου λαοῦ (πεντήκοντα γὰρ ἦσαν χιλιάδες ἱπ-

1. τετελευτηκότος F, τελευτηκότος P. 3. τοῖς Ἱεροσολύμοις P, τοῖς om. F. 4. τῆς Τριπόλεως P, τῆς om. F. 9. ῥίγα F. 11. μεμαθήκοι F. 13. φοσσάτον FC, φόσατον P. 15. προκαταλαβοῦσι? φοσσάτοις FC, φοσάτοις P. 21. ἀπόλειαν F, ἀπώλειαν P.

8. Eodem tempore defuncto Gotofredo, cum alium regem succedere oporteret, statim Latini, qui Hierosolymis erant, Isangeli regnum Hierosolymitanum delaturi Tripoli eum arcessunt. at vero ille adventum suum tunc morabatur; quo factum est, ut, qui Hierosolymis erant, cum Constantinopolin eum profectum cunctari viderent, Balduinum Edessa, ubi tunc versabatur, advocarent et Hierosolymorum regem eligerent. Isangelen autem benigne imperator exceptum, ubi Balduinum Hierosolymorum imperium accepisse audivit, apud se retinuit. cumque Normannorum copiae tum forte advenirent, quibus fratres duo, Flantrae qui vocabantur, praeerant, magnopere iis imperator suasit, ut superiorum exercituum vestigia insequerentur perque maritimas regiones Hierosolyma profecti reliquo Latinorum exercitui se iungerent. nec tamen id iis persuasit, quia se iungere Francis nolebant, sed alia via per orientalem limitem Chorosanem recta petere studebant, quod expugnaturos se esse sperabant. verum imperator infeliciter ea consilia eventura intellegens nec cupiens

πέων ἀνδρῶν καὶ ἑκατὸν πεζῶν), ἐπεὶ μὴ πειθομένους τούτους ἑώρα, τὸν δεύτερον, ὅ φασι, πλοῦν ἐρχόμενος μεταπεμψάμενος τὸν Ἰσαγγέλην καὶ τὸν Τζίταν συνεκπέμπει τού- B τοις, ἐφ' ᾧ συμβουλεύειν τε τὰ συνοίσοντα καὶ τῶν παρα-5 λόγων ὁρμῶν ὡς ἐνὸν ἀνασειράζειν αὐτούς. διαπεραιωθέντες οὖν τὸν τῆς Κιβωτοῦ πορθμὸν καὶ πρὸς τὸν Ἀρμενιακὸν ἐπειγόμενοι τὴν Ἄγκυραν καταλαβόντες ἐξ ἐφόδου ταύτην κατέσχον. καὶ οὕτω τὸν Ἅλυν διαβάντες πολίχνιόν τι κατέλαβον. ἐπεὶ δὲ τοῦτο Ῥωμαῖοι κατεῖχον, θαρρήσαντες καὶ 10 τὰς ἱερὰς ἐπενδυθέντες οἱ ἱερεῖς στολὰς εὐαγγέλιόν τε καὶ σταυροὺς κομιζόμενοι ὡς Χριστιανοῖς τούτοις προσῄεσαν. οἱ δὲ ἀπανθρώπως καὶ ἀπηνῶς οὐ τοὺς ἱερεῖς μόνον, ἀλλὰ καὶ τοὺς λοιποὺς τῶν Χριστιανῶν ἀναιροῦσι καὶ ἀφροντίστως τοῦ λοιποῦ ὡς πρὸς Ἀμάσειαν ἀπονεύσαντες τὴν ὁδοιπορίαν C 15 ἐποιοῦντο. οἱ δὲ Τοῦρκοι ἐμπειροπόλεμοι ὄντες προκαταλαβόντες τὰς κώμας πάσας καὶ τὰ χορτάσματα πάντα ἐνέπρησαν, ἐφθακότες δὲ τούτους ὀξέως προσέβαλον. δευτέρα δὲ ἦν καθ' ἣν ὑπερίσχυσαν τούτων οἱ Τοῦρκοι. καὶ τηνικαῦτα αὐτοῦ που κατασκηνώσαντες χάρακά τε πηξάμενοι τὰς 20 σκευὰς ἐναπέθεντο. τῇ δὲ μετ' αὐτὴν αὖθις ἄμφω ἐμάχοντο τὰ στρατεύματα. οἱ δὲ Τοῦρκοι κυκλοτερῶς κατασκηνώσαντες οὐ χορταγωγίας χώραν τούτοις ἐδίδουν οὔτε μὴν τὰ ὑπο-

2. μεταπεμψάμενος τὸν F, μεταπεμψάμενος om. P. 10. τε F, τι P. 20. αὖθις om. C.

tantam multitudinem interire (erant autem quinquaginta millia equitum, peditum centum millia), quia obsequentes eos non vidit, alterum, ut dicunt, iter ingressus Isangelen et Tzitam arcessitos cum iis misit, ut et utilia suaderent et coercerent, quod eius fieri posset, intempestivos eorum impetus. itaque traiecto Ciboti freto Armeniam versus provecti Ancyram ex itinere capiunt; Halynque deinde transgressi oppidum aliquod accedunt, quod cum a Romanis incoleretur, cives nihil mali ab iis ut Christianis veriti et sacerdotes vestibus sacris induti evangeliumque ac cruces ferentes obviam iis fiunt; at vero inhumane et crudeliter isti non sacerdotes solum, sed ceteros quoque Christianos necant receptaque via Amaseam socordes procedunt. interea Turcae bellorum peritissimi cunctis vicis praeoccupatis omnique frumento incenso Latinorum aciem invadunt superioresque (erat autem secundus dies) recedunt: tum illi vallum ibi figunt deponuntque sarcinas. insequenti die iterum dimicatur tabernaculisque circumdatis ita eos Turcae concluserunt, ut nec commeatus causa prodire nec iumenta equosve potum ducere liceret. quare

ζύγια καὶ τοὺς ἵππους ἐς ποτὸν ἐξάγειν συνεχώρουν. τὴν ἑαυτῶν οὖν πανωλεθρίαν ἐπ' ὀφθαλμῶν ἤδη ὁρῶντες οἱ
D Κελτοὶ τῆς ἑαυτῶν ζωῆς ἀφειδήσαντες τῇ μετ' αὐτήν, τετρὰς δὲ ἦν, καρτερῶς ὁπλισάμενοι τὸν μετὰ τῶν βαρβάρων ἀνεδέξαντο πόλεμον. οἱ δὲ Τοῦρκοι εἰς χεῖρας τούτους 5 ἔχοντες οὐκέτι μετὰ τῶν δοράτων οὐδὲ διὰ τόξων πρὸς αὐτοὺς ἀπεμάχοντο, ἀλλὰ τὰ ξίφη σπασάμενοι καὶ τῶν κουλεῶν ἐξελκύσαντες ἀγχέμαχον τὴν μάχην ἐποιοῦντο καὶ παρευθὺ τρέπουσι τοὺς Νορμάνους. οἱ δὲ καταλαβόντες
P. 332 τὸν ἴδιον χάρακα σύμβουλον ἀνεζήτουν. ὁ δ' ἄριστος αὐτο- 10 κράτωρ ὁ τὰ λῷονα τούτοις ὑποτιθέμενος καὶ μὴ εἰσακουσθεὶς οὐ παρῆν. λοιπὸν ἐπὶ τὴν τοῦ Ἰσαγγέλη καὶ τοῦ Τζίτα γνώμην καταφεύγουσιν, ἅμα δὲ καί, εἰ χώρα τις τῶν ὑπὸ τὸν αὐτοκράτορα πλησίον παράκειται, ἐπυνθάνοντο ἀναζητοῦντες αὐτήν. καὶ δὴ τάς τε σκευὰς καὶ τὰς σκηνὰς καὶ 15 τὸ πεζὸν ἅπαν αὐτοῦ που καταλιπόντες τοῖς ἰδίοις ἵπποις ἐποχηθέντες ὡς εἶχον τάχους πρὸς τὰ παρὰ θάλασσαν τοῦ Ἀρμενιακοῦ καὶ τῆς Παυράκης ἔθεον. ἐπεισπεσόντες δ'
V. 263 ἀθρόον οἱ Τοῦρκοι τούτων τῷ χάρακι πάντα ἀφείλοντο·
B εἶτα κατόπιν τούτων διώξαντες τὸ πεζὸν ἅπαν ἐφθακότες 20 ἀνεῖλον· τινὰς δὲ καὶ κατασχόντες πρὸς τὸν Χοροσὰν δεῖγμα ἀπήγαγον. ἀλλὰ ταῦτα μὲν τὰ τῶν Τούρκων κατὰ τῶν Νορμάνων ἀνδραγαθήματα· ὁ δέ γε Ἰσαγγέλης καὶ ὁ Τζίτας μετὰ

2. οὖν om. F, sed add. ead. m. ὀφθαλμῶν C, ὀφθαλμοῖς P.
18. καὶ om. C. Παυράης F.

Galli in conspectu praesentis exitii suae ipsorum vitae non parcentes postero die (quartus autem erat) strenue armati pugnam cum barbaris committunt. nec iam arcubus hastisve in eos Turcae pugnant, sed de victoria securi strictis ensibus proelioque comminus facto Normannos cito vertunt, qui in castra sua compulsi consilii quaerunt auctorem. nec vero adfuit optimus imperator, qui spretus olim meliora iis suaserat. tandem ad Isangelis et Tzitae consilium confugiunt simulque exquirunt, num qua regio imperatoriae dicionis, quo se reciperent, prope adesset. relictis tunc sarcinis tabernaculis peditatu omni equisque conscensis celerrime ad maritimam partem Armeniae Pauracesque decurrunt. sed Turcae invadentes eorum subito castra cuncta diripiunt: mox ad insequendum versi peditatu omni ad internecionem deleto captos quosdam ad Chorosanem speciminis causa adducunt. hae Turcarum in Normannos res gestae fuere. Isangeles autem et Tzitas cum paucis equitibus, qui supererant,

τῶν καταλειφθέντων ὀλίγων ἱππέων τὴν βασιλεύουσαν κατα-
λαμβάνουσι. δεξάμενος δὲ τούτους ὁ αὐτοκράτωρ καὶ χρή-
ματα δοὺς ἱκανὰ καὶ διαναπαύσας ἤρετο, ὅπου τοῦ λοιποῦ
αἱρετὸν αὐτοῖς ἀπιέναι. οἱ δὲ τὰ Ἱεροσόλυμα ἐπεζήτουν.
5 φιλοτιμησάμενος οὖν αὐτοὺς δαψιλῶς διαποντίους ἐκπέμπει
τῇ αὐτῶν γνώμῃ τὸ πᾶν ἀναθέμενος. ὁ δέ γε Ἰσαγγέλης ἐκ
μεγαλοπόλεως ἐξελθὼν τὴν πρὸς τὸ οἰκεῖον στράτευμα ἀνε- C
ζήτει ἀπέλευσιν. καὶ δὴ καταλαμβάνει αὖθις τὴν Τρίπολιν
χειρώσασθαι ταύτην γλιχόμενος. μετὰ δὲ ταῦτα νόσῳ θανα-
10 σίμῳ περιπεσὼν καὶ πνέων τὰ ἔσχατα μεταπεμψάμενος τὸν
αὐτοῦ ἀνεψιὸν Γελίελμον ὥσπερ τινὰ κλῆρον ἅπαντα τὰ ὑπ'
αὐτοῦ κατασχεθέντα κάστρα τούτῳ ἀπεχαρίσατο ἡγεμόνα καὶ
ἀρχηγὸν τῶν αὐτοῦ ταγμάτων καταστήσας. τούτου τοίνυν τὴν
τελευτὴν μεμαθηκὼς ὁ αὐτοκράτωρ εὐθὺς πρὸς τὸν δοῦκα
15 Κύπρου διὰ γραμμάτων ἐδήλωσεν, ἵνα Νικήταν τὸν Χαλίντζην
μετὰ χρημάτων ἱκανῶν πρὸς τὸν Γελίελμον ἐκπέμψῃ, ἐφ' ᾧ D
ὑποποιήσασθαί τε αὐτὸν καὶ παρασκευάσαι ὀμωμοκέναι πρὸς
τὸν αὐτοκράτορα πίστιν βεβαίαν φυλάξαι εἰς αὐτὸν καὶ ὁποίαν
ὁ ἀποβεβιωκὼς θεῖος αὐτοῦ Ἰσαγγέλης μέχρι τέλους ἐτήρησεν.
20 9. Εἶτα μεμαθηκὼς ὁ αὐτοκράτωρ καὶ τὴν τῆς Λαο-
δικείας παρὰ τοῦ Ταγγρὲ κατάσχεσιν πρὸς τὸν Βαϊμοῦντον
γράμματα ἐκτίθεται οὑτωσὶ περιέχοντα "τὰ ὅρκια οἶδας καὶ
τὰς ἐπαγγελίας, ἃς οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ ἅπαντες πρὸς
τὴν βασιλείαν Ῥωμαίων ἐποιήσαντο. νῦν δὲ αὐτὸς πρῶτος

4. ἐπεζήτουν FC, ἐπιζήτουν P. 9. μετὰ δὲ ταῦτα F, μετὰ ταῦτα δὲ P. 10. πενθῶν C. 13. πραγμάτων C.

Constantinopolin redeunt: quos benignissime imperator exceptos pecuniisque donatos, ubi quiete se refecerunt, quem in locum proficisci vellent, rogavit. Hierosolyma se cupere dixerunt; quare iterum eos munifice donatos in naves imposuit omnia eorum arbitrio concedens. verum Isangeles Constantinopoli relicta exercitum suum revisurus Tripolin rursus tendit eamque subigere studet. post vero letalem morbum adeptus ac propemodum expirans advocat Gulielmum nepotem atque omnes a se captas arces ei velut quandam hereditatem donat praeficitque eum insuper cunctis quas habuerat copiis. eius morte comperta imperator statim ad Cypri ducem litteras dedit eumque iussit multis cum pecuniis Nicetam Chalintzen ad Gulielmum mittere, ut conciliaret sibi iuvenem eique persuaderet, ut iure iurando fidem suam imperatori obligaret pari modo servaturus, quo eam defunctus Isangeles patruus ad mortem usque servasset.

9. Iam vero imperator, cum Laodiceam a Tancredo teneri audiisset, has ad Boëmundum litteras misit: "Scis profecto, quid et ipse et vos omnes Romanorum imperio iurati promiseritis. nunc tamen tu pri-

παρασπονδήσας τὴν Ἀντιόχειαν κατέσχες καὶ ἄλλα τινὰ φρούρια ὑποποιησάμενος καὶ αὐτὴν δὴ τὴν Λαοδίκειαν. ἀπόστηθι τοίνυν τῆς πόλεως Ἀντιοχείας καὶ τῶν ἄλλων ἁπάν-
P. 333 των δίκαιόν τι πρᾶγμα ποιῶν καὶ μὴ θέλε πολέμους ἄλλους καὶ μάχας κατὰ σαυτοῦ ἐρεθίζειν." ὁ δέ γε Βαϊμοῦντος τὰς 5 βασιλικὰς ὑπαναγνοὺς γραφάς, ἐπειδὴ μὴ τῷ συνήθει ψεύδει χρήσασθαι οἷός τε ἦν τῶν πραγμάτων ἀριδήλως τὴν ἀλήθειαν ἐλεγχόντων, πρὸς τὰ γραφέντα τῷ φαινομένῳ κατένευσεν, αἰτίαν μέντοι τῶν κακῶς παρ' αὐτοῦ πραχθέντων εἶναι τὸν αὐτοκράτορα ἔλεγε γράψας ὡς "οὐκ ἐγὼ τούτων 10 αἴτιος, ἀλλὰ σύ. ὑποσχόμενος γὰρ κατόπιν ἡμῶν μετὰ δυνάμεως ἔρχεσθαι πολλῆς οὐκ ἠθέλησας τὴν ὑπόσχεσιν ἔργοις
B πιστώσασθαι. ἡμεῖς δὲ τὴν Ἀντιόχειαν καταλαβόντες καὶ ἐπὶ τρισὶ μησὶ πολλὰ μογήσαντες πρὸς πολεμίους ἀπεμαχόμεθα καὶ λιμόν, οἷον οὐδείς πως τῶν ἀνθρώπων τεθέαται, 15 ὡς τοὺς πλείστους ἡμῶν καὶ ἀπ' αὐτῶν τῶν ὑπὸ τοῦ νόμου ἀπηγορευμένων κρεῶν βεβρωκέναι· ἐφ' ἱκανὸν δὲ ἐγκαρτερούντων ἡμῶν καὶ αὐτὸς ὁ δοθεὶς ἡμῖν εἰς ἀρωγὴν πιστότατος οἰκέτης τοῦ σοῦ κράτους Τατίκιος οὕτω κινδυνεύοντας
V. 264 καταλιπὼν ἡμᾶς ᾤχετο. εἵλομεν δὲ τὴν πόλιν παραδόξως 20 καὶ αὐτὰς τὰς ἀπὸ τοῦ Χοροσὰν εἰς ἀρωγὴν τῶν Ἀντιοχέων καταλαβούσας δυνάμεις κατετροπωσάμεθα. καὶ πῶς δίκαιόν

1. παρασπονδίσας F. Ἀντιόχου A. ἀλλά τ F, ἄλλαττα A, ἀλλ' ἄττα P. 3. Ἀντιοχείας FAC, Ἀντιόχου P. 15. πως F, πω C, που P. 16. αὐτῶν των F, τῶν om. P. ὑπὸ C, ὑπὲρ P.

mus rupto foedere Antiochiam occupasti et cum alias arces tum etiam Laodiceam tibi subegisti. quare aequum iustumque colens Antiochiam urbem ceterasque arces redde nolique nova in te ipse bella proeliaque concitare." his Boëmundus perlectis, cum solita simulatione uti non posset rebus aperte veritatem probantibus, specie quidem scriptis annuit, culpam tamen eorum, quae ipse perperam egerat, in imperatorem conferens ita ei rescripsit: "Non ego, sed tu omnium es auctor. licet enim validis copiis secuturum te nos promiseris, factis tamen verborum fidem praestare noluisti. nos autem, ubi Antiochiam usque perreximus, multas aerumnas per tres menses perpessi cum hostibus pugnavimus; nec quisquam hominum similem famem expertus est, cum plurimi nostrum vetitis cibis vesci cogerentur. multum vero temporis haec tolerantes ipse quoque quem belli socium nobis tribuisti Taticius ille tuae maiestati fidissimus servus in tali discrimine nos deseruit. cepimus tamen miro modo urbem ac vel supervenientes a Chorosane in Antiochenorum opem copias proelio

ἐστιν, ἅπερ οἰκείοις ἱδρῶσι καὶ πόνοις ἐκτησάμεθα, ῥᾳδίως C οὕτως ἀποποιήσασθαι;" ὑποστρεψάντων δ' ἐκεῖθεν τῶν πρέσβεων, ὡς τὰς τοῦ Βαϊμούντου ὑπανέγνω γραφάς, διαγνοὺς αὐτὸν ἐκεῖνον αὖθις εἶναι τὸν Βαϊμοῦντον μηδοπωσοῦν ἐπὶ 5 τὸ βέλτιον μεταβληθέντα, δεῖν ἔγνω τῶν ὁρίων τῆς βασιλείας Ῥωμαίων ἀντέχεσθαι καὶ τὴν ἀκάθεκτον αὐτοῦ ὁρμὴν ὡς ἐνὸν ἀνακόπτειν. δυνάμεις τοίνυν πολλὰς μετὰ τοῦ Βουτουμίτου κατὰ τῆς Κιλικίας ἐξέπεμψε καὶ τὸ ἐλλογιμώτατον τοῦ στρατιωτικοῦ καταλόγου, ἄνδρας μαχιμωτάτους καὶ 10 Ἄρεως ὑπασπιστὰς ἅπαντας καὶ αὐτὸν δὴ τὸν Βάρδαν καὶ τὸν ἀρχιοινοχόον Μιχαήλ, ἀκμάζοντας καὶ ἀρτιφυεῖς τὸ γένειον. οὓς νηπιόθεν προσλαβόμενος ὁ αὐτοκράτωρ καὶ D τὰ στρατιωτικὰ ἐκπαιδεύσας ὡς εὐνουστέρους τῶν ἄλλων τῷ Βουτουμίτῃ παραδίδωσι μεθ' ἑτέρων χιλίων ἀνδρῶν 15 γενναίων Κελτῶν καὶ Ῥωμαίων, ἐφ' ᾧ συμπαρομαρτεῖν τε αὐτῷ καὶ ὑπείκειν ἐν ἅπασιν, ἅμα δὲ καὶ τὸ τυχὸν τῶν καθ' ὥραν ξυμπιπτόντων δι' ἀπορρήτων γραμμάτων δηλοῦν αὐτῷ. ἔσπευδε δὲ τὴν ἅπασαν χώραν τῆς Κιλικίας κατασχεῖν, ἵν ἐντεῦθεν ῥᾷον τὰ κατὰ τὴν Ἀντιόχειαν ἐξαρτύῃ. P. 334 20 ἀπάρας οὖν ὁ Βουτουμίτης σὺν ὅλαις δυνάμεσι καὶ περὶ τὴν Ἀττάλου ἐφθακώς, ἐπεὶ τὸν Βάρδαν καὶ τὸν ἀρχιοινοχόον Μιχαὴλ μὴ ὑπείκοντας ἑώρα τῷ τούτου θελήματι, ἵνα μὴ

10. Ἄρεως (ως in ras.) F, Ἄρεος P.

vicimus. ergo cui aequum videri possit, nos quae nostris laboribus sudoribusque comparavimus tam facile abicere?" reversis inde legatis cum imperator Boëmundi litteras perlegisset cognossetque, eundem eum esse Boëmundum nec ullo modo ad meliora conversum, Romani imperii limites muniendos indomitamque illius ferociam pro viribus frangendam censuit. quare multas cum Butumite copias in Ciliciam misit atque ipsum Romanae militiae florem, fortissimos viros Martisque satellites omnes; in quibus erant etiam Bardas et archipocillator Michael, florentes aetate iuvenes malasque lanugine signantes, quos a pueris imperator secum habuerat ac militari arte imbuerat. hos, quippe prae ceteris sui studiosissimos, cum aliis mille generosissimis militibus partim Gallis partim Romanis tradit Butumitae, qui eum comitarentur eique obtemperarent in omnibus rebus, et quaecumque acciderent arcanis statim litteris ad se deferrent. totius autem Ciliciae provinciae occupare possessionem cupiebat, quo, quae de Antiochia moliebatur, facilius exsequi posset. quamobrem Butumites omnibus copiis profectus, ubi ad Attali urbem venit ac Bardan et Michaelem archipocillatorem suae voluntati

καὶ τὸ ὁπλιτικὸν συμβαίη στασιάζειν κἀκ τούτου κενόσπου-
δος ἡ σπουδὴ τῷ Βουτουμίτῃ γένηται καὶ ἄπρακτος τῆς
Κιλικίας ἀποπεμφθείη, παραχρῆμα τὰ περὶ τούτου δηλοῖ
τῷ αὐτοκράτορι τὴν μετ' αὐτῶν συνδιατριβὴν παραιτούμενος.
ὁ δὲ τὰς ἐκ τῶν τοιούτων εἰωθυίας γίνεσθαι βλάβας γινώσκων 5
γοργῶς ἐφ' ἑτέραν ὑπόθεσιν τούτους τε καὶ ὁπόσους ὑπόπ-
B τους εἶχε διὰ γραμμάτων προὐτρέπετο, ἵνα τὴν Κύπρον
τάχιον καταλαβόντες τῷ Εὐφορβηνῷ Κωνσταντίνῳ τὴν δου-
κικὴν ἀρχὴν τηνικαῦτα τῆς νήσου Κύπρου ἀναδεξαμένῳ
συνόντες ἐν πᾶσιν ὑπείκωσιν. οἱ δὲ ἀσμένως τὰ γράμματα 10
δεξάμενοι θᾶττον πρὸς τὴν Κύπρον διαπλωΐζονται· μικρὸν
οὖν χρόνον μετὰ τοῦ δουκὸς Κύπρου ἐνδιατρίψαντες τῇ
συνήθει ἀναισχυντίᾳ καὶ πρὸς αὐτὸν ἐκέχρηντο. ἔνθεν τοι
καὶ λοξὸν αὐτοὺς ὑπεβλέπετο. οἱ δὲ νεανίαι τῆς τοῦ βασι-
λέως περὶ αὐτοὺς κηδεμονίας μεμνημένοι διὰ τῶν πρὸς τὸν 15
βασιλέα γραμμάτων τοῦ δουκὸς πολλὰ κατέτρεχον τὴν Κων-
C σταντίνου ἀνακαλούμενοι. ἀναπτύξας δὲ τὰς αὐτῶν γραφὰς
ὁ αὐτοκράτωρ, ἐπεὶ καί τινας τῶν τῆς μείζονος τύχης, ὅσους
ὑπόπτους ὁ αὐτοκράτωρ εἶχε, σὺν αὐτοῖς εἰς Κύπρον ἀπέσ-
τειλε, πτοηθεὶς μὴ καὶ αὐτοὶ ἐκ λύπης ἴσως συναπαχθῶσιν 20
ἐκείνοις, εὐθὺς τῷ Καντακουζηνῷ ἐπέσκηψεν ἀναλαβέσθαι
τούτους μεθ' ἑαυτοῦ. ὃς φθάσας εἰς Κυρήνειαν καὶ μετα-
καλεσάμενος τούτους μεθ' ἑαυτοῦ ἀνελάβετο. ἀλλὰ ταῦτα

21. *Κατακουζηνῷ* F.

minime obsequi vidit, veritus, ne ceteri quoque milites seditiosi fierent indeque perdita opera nullus Ciliciensis expeditionis fructus existeret, totam rem litteris statim imperatori exponit oratque, ne diutius se cum illis versari velit. tum imperator quantae noxae huiuscemodi dissensio esset intellegens et hos et quotquot e ceteris suspectos habuit statim alio per litteras convertit mandans, ut sine mora in Cyprum insulam se conferrent ducique eius provinciae Euphorbeno Constantino in omnibus praesto essent. quo iussu libenter excepto confestim iuvenes Cyprum navigant; mox vero cum Cypri duce brevi versati in hunc quoque solita impudentia utuntur; quare torvo is vultu eos aspicere coepit. at iuvenes veteris in se imperatoris amoris memores datis litteris graviter de duce questi sunt velle se Constantinopolin redire significantes; quibus epistulis resignatis imperator, quod etiam opulentiores quosdam sibi suspectos cum ipsis Cyprum relegaverat, timens, ne et hi irati cum illis ad seditionem abriperentur, Cantacuzeno celeriter praecepit, ut secum eos sumeret; qui simul Cyreneam venit, hos ad se arcessivit secumque duxit. hactenus

μὲν τὰ περὶ τοῦ Βάρδα φημὶ καὶ τοῦ ἀρχιοινοχόου Μιχαήλ· ὁ δέ γε Βουτουμίτης μετὰ τοῦ Μοναστρᾶ καὶ τῶν σὺν αὐτῷ καταλειφθέντων λογάδων ἡγεμόνων τὴν Κιλικίαν ἐφθακώς, ὡς τοὺς Ἀρμενίους εὗρε σπεισαμένους μετὰ τοῦ V. 265
5 Ταγγρέ, παραδραμὼν τούτους καὶ τὸ Μαράσιν καταλαβὼν κατέσχεν αὐτό, ἅμα δὲ καὶ τὰς παρακειμένας ἁπάσας κω- D μοπόλεις καὶ τὰ πολίχνια καὶ ἀποχρώσας δυνάμεις εἰς φρουρὰν τῆς χώρας ἁπάσης καὶ ἡγεμόνα τὸν μιξοβάρβαρον καταλιπὼν Μοναστρᾶν, περὶ οὗ ἐν πολλοῖς ὁ λόγος ἐμέμ-
10 νηντο, πρὸς τὴν βασιλεύουσαν ἐπανέστρεψεν.

10. Ἐπεὶ δὲ ἐξερχόμενοι οἱ Φράγγοι [πρὸς] τὰ Ἱεροσόλυμα πρὸς κατάσχεσιν τῶν πόλεων Συρίας ὑπέσχοντο τῷ P. 335 ἐπισκόπῳ Πίσσης ἱκανά, εἰ τούτοις συνάρηται πρὸς τὸν προκείμενον αὐτοῖς σκοπόν, ὁ δὲ καταπειθὴς τοῖς λόγοις
15 τούτων γεγονὼς καὶ ἑτέρους δύο τῶν παρὰ θάλατταν οἰκούντων ἐς αὐτὸ τοῦτο ἐρεθίσας οὐκ ἀνεβάλλετο, ἀλλ' ἐξοπλίσας διήρεις τε καὶ τριήρεις καὶ δρόμωνας καὶ ἕτερα τῶν ταχυδρόμων πλοίων εἰς ἐνακόσια περιϊστάμενα ἔξεισιν ὡς πρὸς αὐτοὺς ἀπερχόμενος. ἱκανὰ δὲ τούτων ἀποτεμόμενος εἰς
20 προνομὴν τῆς Κορυφοῦς, τῆς Λευκάδος, τῆς Κεφαληνίας καὶ τῆς Ζακύνθου ἀπέστειλε. ταῦτα μανθάνων ὁ βασιλεὺς ἐξ ἁπασῶν τῶν ὑπὸ τὴν τῶν Ῥωμαίων ἀρχὴν χωρῶν προσέταξε γενέσθαι πλοῖα. καὶ εἰς αὐτὴν δὲ τὴν βασιλεύουσαν B

1. περὶ τούτων, τοῦ? 11. πρὸς seclusi. 13. συνάρεται F. 14. λόγοις τούτων F, τούτων λόγοις P. 18. ἐνακόσια F, ἐννακόσια P. 20. Κορυφοῦς C, Κορυφῶ F, Κορυφῶς P. τῆς Λευκάδος τῆς Κεφαληνίας F, τῆς Κεφαληνίας, τῆς Λευκάδος P. 21. ἀπόστειλε P, correxi.

de Barda et Michaele archipocillatore. at Butumites cum Monastra ducibusque eximiis, qui remanserant, in Ciliciam profectus, cum iam pepigisse Armenios cum Tancredo audiisset, ipsos praeteriens Marasin castrum omnesque adiacentes vicos oppidaque occupavit et idoneis copiis ad totius regionis custodiam cum duce Monastra mixobarbaro, cuius iam saepius mentio facta est, relictis Constantinopolin rediit.

10. Interim Franci Hierosolymis egressi, ut Syriae urbes occuparent, Pisae episcopo magna praemia promiserunt, si ad finem propositum cum ipsis se iungeret. annuit is horum rogationi aliisque duobus ad mare incolentibus in eandem sententiam adductis nihil cunctatus biremes triremes dromones aliasque id genus veloces naves nongentas circiter instruxit cursumque ad eos intendit; idoneam vero eius numeri partem misit ad populandas Corypho Cephalleniam Leucadem Zacynthum. quo imperator audito in cunctis Romani imperii regionibus naves aedificari

ἱκανὰ κατασκευάζων, ἐκ διαλειμμάτων εἰς μονῆρες εἰσερχόμε-
νος ἐπέσκηπτε τοῖς κατασκευάζουσιν, ὅπως χρὴ ταῦτα ποιεῖν.
γινώσκων δὲ τοὺς Πισσαίους τοῦ περὶ τὴν θάλατταν πολέ-
μου ἐπιστήμονας καὶ δεδιὼς τὴν μετ' αὐτῶν μάχην, ἐν ἑκάστῃ
πρώρᾳ τῶν πλοίων διὰ χαλκῶν καὶ σιδήρων λεόντων καὶ 5
ἀλλοίων χερσαίων ζώων κεφαλὰς μετὰ στομάτων ἀνεῳγμένων
κατασκευάσας χρυσῷ τε περιστείλας αὐτά, ὡς ἐκ μόνης θέας
φοβερὸν φαίνεσθαι, τὸ διὰ τῶν στρεπτῶν κατὰ τῶν πολε-
μίων μέλλον ἀφίεσθαι πῦρ διὰ τῶν στομάτων αὐτῶν παρεσ-
κεύασε διϊέναι, ὥστε δοκεῖν τοὺς λέοντας καὶ τἆλλα τῶν 10
C τοιούτων ζώων τοῦτο ἐξερεύγεσθαι. οὕτω γοῦν ταῦτα κα-
τασκευάσας μετακαλεσάμενος τὸν Τατίκιον ἐξ Ἀντιοχείας
νεωστὶ παραγενόμενον αὐτῷ μὲν τὰ τοιαῦτα πλοῖα παραδε-
δωκὼς περιφανεστάτην κεφαλὴν ὠνόμασε· τῷ δέ γε Λαν-
τούλφῳ τὸν ἅπαντα στόλον ἀναθέμενος μέγαν δοῦκα προὐ- 15
βάλετο ὡς τῆς ναυμαχίας εἰδήμονα ἄριστον. ἐξελθόντες οὖν
τῆς μεγαλοπόλεως μηνὸς παριππεύοντος Ἀπριλλίου μετὰ
τοῦ Ῥωμαϊκοῦ στόλου τὴν Σάμον κατέλαβον, καὶ τὰ πλοῖα
τῇ χέρσῳ προσορμίσαντες ἐξῆλθον πρὸς τὴν ἤπειρον ἐπὶ
τῷ διὰ τῆς ἀσφάλτου ἐπὶ πλέον ἀσφαλισαμένους κατοχυρῶσαι 20
αὐτά. μεμαθηκότες δὲ τὴν τοῦ Πισσαϊκοῦ στόλου διέλευσιν
D τὰ πρυμνήσια λύσαντες καὶ αὐτοὶ ὄπισθεν αὐτῶν ἔθεον ὡς

15. προὐβάλετο F (m. 2 in ras.), προὐβάλλετο P. 17. μεγαλοπόλεως F, μεγαλουπόλεως P. 21. αὐτούς P, correxi.

iussit; multasque etiam Constantinopoli confecit, quas qua forma construi oporteret, interdum monere circumvehens fabros monebat; cumque navalium bellorum peritos esse Pisanos sciret pugnamque cum iis timeret, ita naves adornavit, ut cuiusvis in prora ex aere ferroque fabricata leonum aliarumque bestiarum terrestrium capita hiantibus late rictibus eminerent; faucesque inauratae solo adspectu horribiles erant. ignem autem, qui per tormenta in hostes mittendus erat, per fauces duxit, ita ut leones ceteraeque eius generis bestiae eum evomere viderentur. sic paratas naves tradit Taticio nuper ab Antiochia reduci eique illustrissimi capitis appellationem indit; omni vero classi praeficit Lantulphum titulo magni ducis honoratum, qui navalis belli peritissimus esset. itaque Aprili mense Constantinopoli cum classe Romana profecti, ubi Samum venerunt, navibus appulsis, quas asphaltis inunctione magis munituri et firmaturi erant, in terram escendunt. at postquam Pisanorum classem praeteriisse au-

πρὸς τὴν Κῶ. πρωΐας δὲ τῶν Πισσαίων ἐκεῖσε καταλαβόντων ἑσπέρας οὗτοι ταύτην κατέλαβον. μὴ ἐντετυχηκότες δὲ τοῖς Πισσαίοις ἀπῆλθον εἰς τὴν Κνίδον περὶ τὴν ἤπειρον τῆς ἀνατολῆς διακειμένην. κεῖθι δὲ παραγενόμενοι, ὡς τῆς 5 ἄγρας ἠστόχουν, ὀλίγους τινὰς ἐφευρηκότες τῶν Πισσαίων αὐτοῦ που καταλειφθέντας ἐπυνθάνοντο, ὅπου ὁ Πισσαϊκὸς ἐξώρμησε στόλος. οἱ δὲ πρὸς τὴν Ῥόδον ἔφασαν. καὶ πα- P. 336 ραχρῆμα λύσαντες τὰ πρυμνήσια θᾶττον τούτους κατέλαβον V. 266 μεταξὺ Πατάρων καὶ Ῥόδου. τούτους δ' οἱ Πισσαῖοι θεα-10 σάμενοι μόθου παραντίκα σχῆμα διατυπώσαντες πρὸς μάχην οὐ τὰ ξίφη μόνον, ἀλλὰ καὶ τὰς καρδίας ἔθηγον. ἐπικαταλαβόντος δὲ τοῦ Ῥωμαϊκοῦ στόλου κόμης τις Πελοποννήσιος Περιχύταν καλούμενος ναυλοχεῖν ἄριστα ἐπιστάμενος, ὡς τούτους ἐθεάσατο, ταῖς κώπαις τὸ ἴδιον πτερώσας μονῆρες 15 ὡς εἶχε κατ' αὐτῶν ἵεται. καὶ διὰ μέσου τούτων ὡς πῦρ διελθὼν εἰς τὸν Ῥωμαϊκὸν αὖθις ἐπανέστρεφε στόλον. ὁ μέντοι Ῥωμαϊκὸς στόλος οὐκ εὐτάκτως τῆς μετὰ τῶν Πισσαίων μάχης ἀπεπειρᾶτο, ἀλλ' ὀξέως καὶ ἀσυντάκτως τούτοις προσέ- B βαλε. καὶ αὐτὸς δὲ ὁ Λαντοῦλφος πρῶτος προσπελάσας ταῖς 20 Πισσαϊκαῖς ναυσὶν ἄστοχα τὸ πῦρ ἔβαλε καὶ οὐδέν τι πλέον εἰργάσατο τοῦ πυρὸς σκεδασθέντος. ὁ δὲ λεγόμενος Ἐλεήμων κόμης ἀναισχύντως μεγίστῳ πλοίῳ κατὰ πρύμναν προσβα-

9. Πατάρων F, Παττάρων P. 12. Πελλοποννήσιος P, correxi. 13. Περιχύταν FC, Περιχυτάνης P. 18. τούτοις FC, τούτους P. 19. προσέβαλε F, προσέβαλλε P. 20. ταῖς Πισσαικαῖς F, τοῖς Πισσαίοις P.

diverunt, solutis ancoris Coum insulam versus eos insequuntur. pervenerant eo Pisani eius diei mane, cuius sub vesperam Romani eodem appulerunt. nec vero assecuti Pisanos Cnidum abeunt prope orientalem continentem sitam. quo advecti, licet totius quidem praedae spe excidissent, aliquot tamen Pisanos relictos repererunt, quos percontati, quo iisset Pisanorum classis, Rhodum navigasse eam audiverunt navibusque extemplo solutis brevi eos inter Patara Rhodumque assequuntur. eos Pisani conspicati explicata celeriter classe et tela et animos ad pugnam acuerunt. accedente interim Romana classe Perichytan Peloponnesius comes navigandi artis peritissimus, ubi Pisanos conspexit, moneris suae remigio incitato veloci eos impetu petiit perque medios eos flammae instar pervolans ad classem Romanam rediit. ea vero minus idoneo ordine, sed acri ac tumultuario impetu pugnam cum Pisanis capessiverat. atque ipse Lantulphus primus Pisanorum navigiis se admovens ignem intempestive iaculatur eoque disperso proficit nihil; itemque Eleemon, qui dicebatur,

λὼν τοῖς πηδαλίοις τούτου περιπεσὼν καὶ μὴ εὐχερῶς ἔχων ἐκεῖθεν διαπλωΐσασθαι κατεσχέθη ἄν, εἰ μὴ γοργῶς πρὸς τὴν σκευὴν ἀπεῖδε καὶ πῦρ κατ' αὐτῶν ἀφεὶς οὐκ ἄστοχα ἔβαλεν· εἶτα τὴν ναῦν ἐπὶ θάτερα γοργῶς μεταφέρων καὶ ἑτέρας παραχρῆμα τρεῖς μεγίστας ἐπυρπόλει τῶν βαρβάρων 5 ναῦς. ἐπεὶ δ' ἅμα καὶ συστροφὴ ἀνέμου τὴν θάλατταν ἀθρόον C ἐπεισπεσοῦσα διετάραττε τάς τε ναῦς συνέτριβε καὶ μονονοὺ βυθίζειν ἠπείλει (ἐρρόχθει γὰρ τὸ κῦμα, ἐτετρίγεσαν αἱ κεραῖαι τά θ' ἱστία διερρήγνυντο), ἐκδειματωθέντες οἱ βάρβαροι τὸ μὲν διὰ τὸ πεμπόμενον πῦρ (οὐδὲ γὰρ ἐθάδες 10 ἦσαν τοιούτων σκευῶν ἢ πυρὸς ἄνω μὲν φύσει τὴν φορὰν ἔχοντος, πεμπομένου δ' ἐφ' ἃ βούλεται ὁ πέμπων κατά τε τὸ πρανὲς πολλάκις καὶ ἐφ' ἑκάτερα), τὸ δὲ ὑπὸ τοῦ θαλαττίου κλύδωνος συγχυθέντες τὸν νοῦν φυγαδείας ἥψαντο. οὕτω μὲν οὖν τὰ τῶν βαρβάρων· ὁ δέ τοι Ῥωμαϊκὸς στόλος νησι- 15 δίῳ τινὶ προσώκειλεν οὑτωσί πως καλουμένῳ Σεύτλῳ. αὐγαζούσης δὲ τῆς ἡμέρας ἐκεῖθεν ἀπάραντες τῇ Ῥόδῳ προσώρμισαν. τῶν πλοίων οὖν ἀποβάντες καὶ ἐξαγαγόντες ὅσους D ἔφθασαν κατασχεῖν καὶ αὐτὸν δὴ τὸν τοῦ Βαϊμούντου ἀδελφιδοῦν ἐξεδειμάτουν αὐτοὺς ὡς μέλλοντες τιμῆς πάντας 20 ἀπεμπολεῖν ἢ κατασφάττειν. ὡς δὲ ἀκαταπλήκτους πρὸς τοῦτο ἑώρων αὐτοὺς καὶ τὴν ἀπεμπόλησιν ἐν οὐδενὶ τιθεμένους, εὐθὺς ξίφους παρανάλωμα πεποιήκασιν. οἱ δέ γε

6. ἀθρόον ἐπεισπεσοῦσα F, ἐπεισπεσοῦσα ἀθρόον P. 8. ἐρρόχθει C, ἐρρόχθη P. 10. οὐδὲ F, οὐ P. 16. που P, correxi. 17. προσώρμισαν C, προσώρμησαν P.

comes maximam audacius navem aggressus, cum in gubernaculum eius incidisset nec facile inde recedere posset, captus esset utique, nisi praesenti animo ad machinas suas respiciens ignem in hostes feliciter iniecisset; quo facto velociter nave conversa tria quoque alia maxima barbarorum navigia incendit. subito interim orto turbine, cum mare agitari coepisset, conteri naves ac paene mergi undarum aestu, stridere antennarum cornua, vela frangi, barbari perterrefacti ob missilem ignem (neque enim norant talium machinarum flammarumque naturam, quas, recta plerumque igni adscendente, quocumque quis vult et in pronum et ad latera iaculatur) et maris tempestate turbati fugae se mandarunt. haec quidem barbari: Romana vero classis ad parvam insulam, cui Seutlo nomen erat, constitit; unde prima luce moventes ad Rhodum appellunt ibique facta escensione omnes captivos in his Boëmundi consobrinum metu servitutis aut caedis terrebant. cumque nihil moveri eos ac venditionem pro nihilo habere animadvertissent, omnes statim

περιλειφθέντες τοῦ Πισσαϊκοῦ στόλου πρὸς τὸ τὰς παρα-
τυχούσας νήσους καὶ τὴν Κύπρον ληΐζεσθαι ἀπέβλεψαν.
ἔνθα τυχὼν ὁ Φιλοκάλης Εὐμάθιος κατ' αὐτῶν ἵεται. οἱ
δὲ περὶ τὰς ναῦς δειλίᾳ συσχεθέντες μηδὲ τοῦ ἐξιόντος P. 337
5 προνομῆς χάριν ἀπὸ τῶν πλοίων αὐτῶν λαοῦ πεφροντικότες,
ἀλλὰ τοὺς πλείονας περὶ τὴν νῆσον ἐάσαντες, ἀσυντάκτως
οὕτω λύσαντες τὰ πρυμνήσια πρὸς τὴν Λαοδίκειαν ἀπέπλεον
τὸν Βαϊμοῦντον ἐπὶ νοῦν ἔχοντες. καὶ δὴ καὶ καταλαβόντες
προσεληλύθεσάν τε αὐτῷ καὶ τὴν μετ' αὐτοῦ ἀγάπην ἀσπά-
10 ζεσθαι ἔλεγον· ὁ δέ, ὁποῖος ἐκεῖνος, ἀσμένως αὐτοὺς ὑπο-
δέχεται. ἐπεὶ δ' οἱ περὶ τὴν ἠϊόνα καταλειφθέντες λαφυρα-
γωγίας ἕνεκα, ὑποστρέψαντες τὸν ἴδιον στόλον οὐχ ἑώρων,
ἔρριπτον ἀφειδῶς ἑαυτοὺς εἰς τὴν θάλασσαν καὶ ἀπεπνί-
γοντο. οἱ δὲ τοῦ Ῥωμαϊκοῦ στόλου θαλασσοκράτορες καὶ B
15 αὐτὸς δὴ ὁ Λαντοῦλφος καταλαβόντες τὴν Κύπρον συνεληλυ-
θότες περὶ εἰρήνης ἐπερωτᾶν ἐβουλεύοντο. πάντων οὖν
ὁμογνωμονησάντων πρὸς τοῦτο, στέλλεται ὁ Βουτουμίτης
πρὸς τὸν Βαϊμοῦντον. τοῦτον οὖν θεασάμενος καὶ παρα-
κατασχὼν ἐπὶ ὅλαις πέντε καὶ δέκα ἡμέραις, ἐπεὶ τὴν Λαο- V. 267
20 δίκειαν καὶ λιμὸς κατειλήφει καὶ ὁ Βαϊμοῦντος αὖθις Βαϊ-
μοῦντος ἦν καὶ οὐκ ἠλλοίωτο οὔτε μὴν εἰρηνεύειν ἐμεμα-
θήκει, μεταπεμψάμενος αὐτόν φησιν "οὐ διὰ φιλίαν ἢ
εἰρήνην αὐτὸς ἐνταυθοῖ παραγέγονας, ἀλλ' ἐφ' ᾧ τὰς ἐμὰς

8. καὶ δὴ καὶ] καὶ δὴ C. 9. προσεληλύθεσαν F, προσελη-
λύθησαν P. 13. ἀφειδῶς ἑαυτοὺς F, ἑαυτοὺς ἀφειδῶς P.

trucidarunt. verum superstites illius pugnae Pisani ad depopulandas insulas, in quas forte inciderunt, praesertim Cyprum animos adverterunt. sed proficiscente in eos Philocale Eumathio, qui forte ibi erat, nautici terrore perculsi oblitique suorum, qui pabulatum e navibus exierant, plurimos in insula relinquunt navibusque temere solutis Laodiceam tendunt ad Boëmundum, cuius amicitiam se amplecti profitentur quique laetus, ut erat eius mos, eos excepit. sed relicti isti in littore praedatores, ubi reversi classem non viderunt, desperantes se in mare proiecerunt demersique sunt. deinde duces Romanae classis una cum Lantulpho in Cyprum convenientes de pace agere decreverunt, omnibusque consentientibus Butumites ad Boëmundum mittitur. verum hic, cum eum vidisset quindecimque dies secum detinuisset ac fames tandem Laodiceam occupasset idemque semper Boëmundus esset nec mutatus esset nec pacis artes didicisset, Butumite arcessito "Non huc" inquit "amicitiae aut pacis causa venisti, sed ut naves meas

ἐμπρῆσαι ναῦς. ἄπιθι τοίνυν· ἀρκεῖ γάρ σοι αὐτὸ τοῦτο C τὸ ἀνακρωτηριάστον τῶν ἐνταῦθα ἀπολυθῆναι." ἀπάρας οὖν ἐκεῖθεν καταλαμβάνει τοὺς αὐτὸν ἀποστείλαντας περὶ τὸν λιμένα τῆς Κύπρου. καὶ τὴν Βαϊμούντου πονηρὰν γνώμην ἐπὶ πλέον ἐκ τῶν ἐκεῖθεν μηνυμάτων διαγνόντες καὶ ὡς ἀδύ- 5 νατον σπείσασθαι μετὰ τοῦ αὐτοκράτορος ἐκεῖθεν ἀπάραντες ὅλοις ἱστίοις τὴν πρὸς τὴν μεγαλόπολιν ὑγρὰν ἐπέπλεον κέλευθον. κατὰ δὲ τὴν Συκὴν τρικυμίας μεγάλης καὶ κλύδωνος διεγερθέντος σφοδροῦ τὰ πλοῖα τῇ χέρσῳ προσραγέντα ἡμίθραυστα πάντα γεγόνασι πλὴν τῶν νηῶν ὧν ἐξῆρχεν 10 ὁ Τατίκιος. ἀλλὰ τὰ μὲν κατὰ τὸν Πισσαϊκὸν στόλον ὧδέ πη προκεχωρήκει· ὁ δὲ Βαϊμοῦντος φύσει πονηρότατος D ὢν ἐδεδίει, μὴ τὸ Κούρικον ὁ βασιλεὺς προκατάσχῃ καὶ στόλον Ῥωμαϊκὸν τῷ λιμένι προσορμίσας φυλάττῃ μὲν τὴν Κύπρον, ἀπείργῃ δὲ καὶ τοὺς ἀπὸ Λογγιβαρδίας διὰ τῆς παρ- 15 αλίας τῆς ἀνατολῆς μέλλοντας ἰέναι πρὸς αὐτὸν συμμάχους. ταῦτα οὖν λογιζόμενος αὐτὸς τοῦτο ἀνοικοδομῆσαι καὶ τὸν λιμένα κατασχεῖν ἐβούλετο. πόλις γὰρ πρότερον οὖσα ἐρυμνοτάτη τὸ Κούρικον ἐν ὑστέροις ἔφθασεν ἐριπωθῆναι χρόνοις. ὁ δέ γε αὐτοκράτωρ ταῦτα προμηθευσάμενος καὶ 20 P. 338 τὰς ἐπινοίας αὐτοῦ προκαταλαβὼν πέμπει τὸν ἐκτομίαν Εὐστάθιον ἀπὸ τῆς τοῦ κανικλείου ἀξίας μέγαν δρουγγάριον τοῦ στόλου προχειρισάμενος ἐπισκήψας αὐτῷ σπεῦσαι

1. αὐτὸ τοῦτο F, αὐτὸ om. P. 7. ἐπέπλεον scripsi: ὑπέπλεον P. 8. κλύδωνος FC, κλυδώνου P. 10. νηῶν F, νεῶν P. 11. ὧδέ πη F, ὡδέπω P.

incendio deleres; abi et, quod integris membris hinc dimitteris, in lucro pone". reversus igitur eos, a quibus missus fuerat, in Cypri portu invenit. tum Boëmundi malitia ex recenti nuntio magis intellecta desperataque inter ipsum et imperatorem pace plenis velis profecti Constantinopolin redierunt. sed cum prope Sycen essent, gravi ac vehementi tempestate coorta omnes naves praeter eas, quibus Taticius praeerat, in terram eiectae et paene fractae sunt. hunc exitum habuit expeditio Pisana quaeque cum ea coniuncta fuerunt. iam Boëmundus pro sollertissima sua versutia metuit, ne Curicum imperator praeoccuparet Romanaque classe ad portum appulsa et Cyprum tueretur et omnes ad se e Longibardia per orientalem oram maritimam profecturos socios arceret. his de causis ipse urbem illam restituere portumque eius occupare statuit. nam Curicum erat oppidum olim munitissimum, post vero dirutum. sed imperator eandem rem curans, ut consilia eius praeverteret, mittit Eustathium eunuchum e caniclei praeposito magnum classis drunga-

καταλαβεῖν τὸ Κούρικον καὶ διὰ τάχους ἀνοικοδομῆσαί τε αὐτὸ καὶ τὸ κάστρον Σελεύκειαν στάδια ἓξ τούτου ἀφισταμένην καὶ δύναμιν ἀποχρῶσαν καταλιπεῖν ἐν αὐτοῖς, δοῦκα δὲ προχειρίσασθαι Στρατήγιον τὸν Στραβόν, ἄνδρα μικρὸν 5 μὲν τῷ σώματι, ταῖς δὲ πολεμικαῖς ἐμπειρίαις πολύν τε καὶ μέγιστον, ἀλλὰ καὶ εἰς τὸν λιμένα στόλον ἱκανὸν προσορμίσαι καὶ παραγγεῖλαι ἐγρηγορέναι καὶ ἐνεδρεύειν τοὺς ἀπὸ Λογγιβαρδίας εἰς ἀρωγὴν τοῦ Βαϊμούντου ἐρχομένους, ἐπαρήγειν δὲ καὶ τῇ Κύπρῳ. ἐξελθὼν οὖν ὁ ῥηθεὶς δρουγγά- B 10 ριος τοῦ στόλου καὶ προκαταλαβὼν τὰ τοῦ Βαϊμούντου διανοήματα ἀνεγείρει μὲν αὐτὸ καὶ εἰς τὴν προτέραν ἀποκαθιστᾷ κατάστασιν. παραχρῆμα δὲ καὶ τὴν Σελεύκειαν οἰκοδομήσας καὶ κατοχυρώσας διὰ τάφρων γυρόθεν δυνάμεις τε ἱκανὰς ἐν ἀμφοτέροις καταλιπὼν μετὰ τοῦ δουκὸς Στρα- 15 τηγίου κατελθὼν εἰς τὸν λιμένα καὶ στόλον ἀποχρῶντα ἐν αὐτῷ καταλιπὼν κατὰ τὰς τοῦ αὐτοκράτορος εἰσηγήσεις ἐπαναζεύγνυσι πρὸς τὴν μεγαλόπολιν. καὶ μεγάλως παρὰ τοῦ αὐτοκράτορος ἐπαινεθεὶς δαψιλῶς πεφιλοτίμηται.

11. Ἀλλὰ ταῦτα μὲν τὰ κατὰ τὸ Κούρικον· μετὰ δὲ 20 παραδρομὴν ἐνιαυτοῦ ἀναμαθὼν ὁ βασιλεὺς ὅτι καὶ Γε- C νούσιος στόλος εἰς συμμαχίαν τῶν Φράγγων ἐξελθεῖν ἑτοιμάζεται, στοχασάμενος ὅτι οὐ μικρᾶς βλάβης παραίτιοι καὶ

8. τὴν ἀρωγὴν P, τὴν om. F. 9. τῇ F, τὴν C, τῷ P. 14. τὲ F, τὰς P. 20. Θνούσιος C; sic semper. 22. παραίτιοι καὶ F, καὶ παραίτιοι P.

rium creatum eique mandat, ut Curicum occupare simulque et hoc et Seleuciam arcem sex stadiis inde distantem restituere properaret: tum idoneo praesidio imposito ducem praeficeret Strategium Strabum, pusilla quidem statura virum, sed ingenti belli usu: ad hoc idoneo numero bellicas naves in portu constitueret insidiaturas diligentissime Latinis navibus, quae ad Boëmundi auxilium ex Longibardia tenderent, Cyprique custodiae invigilaturas. itaque classis quem dixi drungarius profectus, ut Boëmundi consilia anteverteret, Curicum statim refectum in pristinum statum redegit Seleuciamque restituit ac fossis circummunivit sufficientesque copias cum duce Strategio in utraque arce reliquit. tum portum intravit ibique satis magna, uti mandaverat imperator, classe relicta Constantinopolin se retulit, ubi amplis ab imperatore laudibus honoribusque ornatur.

11. Haec circa Curicum acta sunt. anno post certior factus imperator etiam Genuensium classem in Francorum auxilium venire, sensit

αὐτοὶ τῇ τῶν Ῥωμαίων ἀρχῇ ἔσονται, τὸν μὲν Καντακουζηνὸν διὰ τῆς ἠπείρου μετὰ ἀποχρώσης δυνάμεως, τὸν δὲ Λαντοῦλφον γοργῶς ἐξοπλίσας μετὰ στόλου διὰ θαλάσσης
V. 268 ἀπέστειλε παρακελευσάμενος αὐτῷ τὸ τάχος καταλαβεῖν τὰ κατώτερα, ἐφ' ᾧ τὸν μετὰ τῶν Γενουσίων ἐκεῖσε διερχομένων ἀναδέξασθαι πόλεμον. τούτων οὖν ἀπελθόντων ἔνθα 5
καὶ προσετάχθησαν, χειμὼν βαρὺς ἐπιγέγονε καὶ ἀφόρητος, ὑφ' οὗ καὶ πολλὰς τῶν νηῶν συνέβη διαθραυσθῆναι. ἅσπερ
D πάλιν πρὸς τὴν χέρσον ἐξελκύσαντες ἐπιμελῶς τὴν διὰ τῆς ὑγρᾶς πίσσης ἐπίχρισιν ταύταις ἐπέφερον. τηνικαῦτα δὲ 10
καὶ ὁ Καντακουζηνὸς τὸν τῶν Γενουσίων στόλον περὶ τὰ κατώτερα διαπλέοντα ἐγγύς που εἶναι μεμαθηκὼς ὑποτίθεται τῷ Λαντούλφῳ ὀκτωκαίδεκα ναῦς ἀναλαβέσθαι (τοσαύτας γὰρ μόνας συνέβη τῷ τότε ἀποπλέειν τῶν ἄλλων ἐξελκυσθεισῶν τῆς θαλάσσης) καὶ ἀπελθόντα κατὰ τὸ ἀκρωτήριον 15
τοῦ Μαλέου προσοκεῖλαι αὐτὰς κατὰ τὰς τοῦ αὐτοκράτορος ὑποθήκας καὶ διερχομένων τῶν Γενουσίων, εἰ μὲν τὸν μετ' αὐτῶν ἀποθαρροίη πόλεμον, εὐθὺς τὴν μετ' αὐτῶν ἀναδέξασθαι μάχην, εἰ δ' οὔ, τὴν σωτηρίαν ἑαυτῷ καὶ ταῖς ὑπ' αὐτὸν νηυσὶ σὺν αὐτοῖς πλωτῆρσιν εἰς Κορώνην προσ- 20
οκείλαντι περιποιήσασθαι. ὁ δ' ἀπελθὼν καὶ τὸν πολὺν στόλον τῶν Γενουσίων θεασάμενος καὶ ἀπαγορεύσας τὴν
P. 339 μετ' αὐτῶν μάχην θᾶττον τὴν Κορώνην κατέλαβεν. ὁ δὲ

1. αὐτοὶ om. C. Καταχουζηνὸν F; sic fere semper. 3. θαλάσσης F, θαλάττης P. 6. τούτων οὖν F, οὖν om. P. 8. διαθραυθῆναι P, correxi. 10. ἐπίχρισιν F, ἐπίχρησιν P. 18. θαῤῥοίη C. 19. οὐ] οὖν?

ab his quoque non parva imperio Romano damna timenda esse. quare Cantacuzenum cum idoneis copiis per continentem, mari Lantulphum celeriter armata classe dimisit eumque confestim littora, unde transituram ibi Genuensium classem invaderet, occupare iussit. sic omnibus, quo iussi erant, profectis accidit, ut gravi et ineluctabili procella exorta plurimae naves frangerentur; quas in terram subductas humida pice studiose refecerunt. tum Cantacuzenus, ubi Genuensium classem per littora navigantem adventare comperit, auctor erat Lantulpho, ut cum duodeviginti navibus, quas ceteris in terram subductis solas in mari habuit, ad Maleae promontorium de imperatoris iussu subsideret indeque si pugnam cum iis committere auderet, transeuntes Genuensium naves aggrederetur; sin minus, classe Coronen deportanda suam naviumque cum classicis salutem peteret. is profectus, cum ingentem Genuensium classem videret, recusato proelio celerrime se Coronen recepit:

Καντακουζηνὸς τὸν ὅλον Ῥωμαϊκὸν στόλον ὡς ἔδει περιποιησάμενος καὶ τοὺς συνόντας αὐτῷ ἐκεῖσε συναγαγὼν ὡς εἶχε τάχους κατόπιν τῶν Γενουσίων ἐδίωκε. μὴ ἐφθακὼς δὲ τὴν Λαοδίκειαν κατέλαβε σπεύδων πρὸς τοὺς μετὰ τοῦ
5 Βαϊμούντου πολέμους ὅλῃ γνώμῃ καὶ χειρὶ ἀποδύεσθαι. καὶ μέντοι καὶ ἔργου ἁψάμενος τὸν λιμένα κατέλαβε καὶ διὰ πάσης νυκτὸς καὶ ἡμέρας τῆς τειχομαχίας οὐκ ἀφίστατο. ὡς δ' ἄπρακτος τοῦ λοιποῦ ἔμενε μυριάκις μὲν προσβαλὼν, τοσαυτάκις δ' ἀποτυχὼν καὶ πῇ μὲν ὑποποιούμενος τοὺς Κελ-
10 τοὺς οὐκ ἔπειθε, πῇ δὲ μαχόμενος ἀπετύγχανε, τειχίον τι B διὰ ξηρῶν λίθων κυκλοτερὲς δειμάμενος ἀναμεταξὺ τῆς ψάμμου καὶ τῶν τειχῶν Λαοδικείας ἐν τρισὶ νυχθημέροις κἄντεῦθεν ὡς ἔρεισμα τοῦτο κτησάμενος ἕτερον πολίχνιον δι' ἐγχορήγου ὕλης ἐντὸς τούτου θᾶττον ἀνήγειρεν, ἵν' ἐντεῦθεν
15 ὡς ἐξ ὁρμητηρίου τινὸς γενναιότερον τῆς τειχομαχίας ἀντέχοιτο. ἀλλὰ καὶ πύργους δύο διὰ τοῦ στομίου τοῦ λιμένος ἐφ' ἑκάτερα οἰκοδομήσας ἅλυσιν σιδηρᾶν διαμπερὲς τούτων εἰσελάσας δι' αὐτοῦ ἀπετάφρευε τὰς ἴσως ἐλπιζομένας εἰς βοήθειαν τῶν Κελτῶν ἐκ θαλάττης ναῦς. ἐν ταὐτῷ δὲ καὶ
20 πολλὰ τῶν περὶ θάλατταν πολιχνίων κατέσχε, τό τε Ἀργυ- C ρόκαστρον καλούμενον, τὸ Μαρχάπιν, τὰ Γάβαλα καὶ ἄλλα

5. πολέμους F, πολεμῆσαι P. 6. καὶ F, τοῦ P. 8. λοιποῦ C, λοποῦ P. 14. ἐγχωρήγου Ducangius. 19. ἐν ταὐτῷ FC, ἐνταῦθα P. 21. ἄλλά τ F, ἀλλ' ἄττα P.

Cantacuzenus autem cura quanta debuit maxima tota Romanorum classe collecta convocatisque omnibus, quos secum ibi habebat, celerrime Genuenses persecutus est; quos ubi assequi non potuit, Laodiceam deflexit omni inde vi et impetu contra Boëmundum bellum gesturus. ac manu operi statim admota portum expugnavit, cumque diem noctemque arcis oppugnationem continuasset, sexcenties assultu temptato repulsoque frustra rem gessit; nec blandis colloquiis Gallis persuadere nec infesta vi quidquam proficere potuit. tribus igitur diebus noctibusque inter littus murosque Laodiceae e saxis sine calce circularem maceriam aedificavit. quo munimento facto intra ambitum illum arcem ex enchorega materia extruxit, unde validius velut ex tuto receptaculo moenibus oppugnandis insistere posset; deinde duas ad portus ostium utrimque turres molitus ferream catenam inter eas suspendit, quae naves auxilio Gallis fortasse venturas prohiberet. eodemque tempore multa quoque ad maris oram oppida cepit, Argyrocastrum Marchapin Gabala aliaque usque ad

τινὰ μέχρις αὐτῶν συνόρων Τριπόλεως ἐφθακώς, ἅπερ πρότερον μὲν φόρους τοῖς Σαρακηνοῖς ἐδίδουν, ἐν ὑστέροις δὲ παρὰ τοῦ αὐτοκράτορος πολλοῖς ἱδρῶσι καὶ πόνοις τῇ Ῥωμαίων ἐπανεσώθησαν. ὁ μέντοι βασιλεὺς δέον λογισάμενος καὶ ἀπὸ τοῦ μέρους τῆς ξηρᾶς πολιορκῆσαι τὴν Λαοδίκειαν, 5 γινώσκων ἐκ μακροῦ τὸν δεινὸν Βαϊμοῦντον καὶ τὰς αὐτοῦ μηχανάς, ὁποῖος ἐκεῖνος δεξιὸς ἦθος ἀνθρώπου ἐν βραχεῖ καταμαθεῖν, καὶ τῆς αὐτοῦ δολερᾶς καὶ ἀποστατικῆς γνώμης κατάληψιν ἀκριβῆ ἔχων, τὸν Μοναστρᾶν μετακαλεσάμενος D μετὰ ἀποχρώσης δυνάμεως διὰ τῆς ἠπείρου ἀπέστειλεν, ὥστε 1 ἐν ταὐτῷ τὸν μὲν Καντακουζηνὸν ἐκ θαλάττης, αὐτὸν δὲ ἐκ V. 269 τοῦ μέρους τῆς ἠπείρου πολιορκεῖν τὴν Λαοδίκειαν. ἀλλ' ὁ Καντακουζηνὸς πρὸ τοῦ τὸν Μοναστρᾶν ἐφθακέναι τὸν λιμένα καὶ τὸ κάστρον αὐτὸ κατέσχε· τὴν μέντοι ἀκρόπολιν, ὅπερ κουλᾶ νῦν ἡ συνήθεια καλεῖν εἴωθεν, ἔτι Κελτοὶ κατ- 1 εῖχον πεζοὶ πεντακόσιοι καὶ ἱππεῖς ἑκατόν. τούτων οὖν τῶν πολιχνίων τὴν κατάσχεσιν ὁ Βαϊμοῦντος ἀκηκοώς, μεμαθηκὼς δὲ καὶ ἀπὸ τοῦ φυλάσσοντος κόμητος τὴν τῆς Λαοδικείας ἀκρόπολιν, ὅτι ἐπιδεής ἐστι χορτασμάτων, μετὰ P. 340 τῶν ὑπ' αὐτὸν δυνάμεων πασῶν τοῦ τε ἀνεψιοῦ αὐτοῦ Ταγγρὲ 2 καὶ τοῦ Ἰσαγγέλη ἑνωθεὶς καὶ βρώσιμα παντοῖα ἐπισάξας ἐν ἡμιόνοις καὶ τὴν Λαοδίκειαν καταλαβὼν τὰ μὲν χορτάσματα θᾶττον εἰσήγαγεν εἰς τὸ κουλᾶ, μετὰ δέ γε τοῦ Καντακουζηνοῦ εἰς ὁμιλίαν ἐλθὼν τοιαῦτα πρὸς αὐτὸν ἔφη "τίνα

2. ἐδίδουν F, ἐδίδου P. 9. κατάληψιν FC, κατάληψιν P. 17. ἀκηκοώς in ras. F. 20. ταῖς τοῦ? 21. ἐπισάξας F, ἐπισυνάξας P.

Tripolis confinia. quae quidem loca Saracenis antea tributaria multo deinde labore ac sudore ab imperatore Romanorum imperio restituta sunt. sed imperator Laodiceam a terra oppugnandam ratus, cum pro sua pernoscendorum brevi hominum sollertia callidum Boëmundum eiusque artes iamdiu nosset ac fraudulenti eius perfidique animi accuratam cognitionem haberet, Monastram arcessivit eumque iusto exercitu per continentem misit, ut eodem tempore Cantacuzenus a mari, ipse a terra Laodiceam obsideret. sed iam antequam Monastras advenit, Cantacuzenus portum urbemque occupaverat: arcem vero, quae cula vulgo nunc dici solet, adhuc Gallorum quingenti pedites, equites centum obtinebant. tum Boëmundus et harum arcium expugnatione audita et litteris a comite, qui Laodiceae arcem tenebat, acceptis, quae annonam ibi deesse nuntiarunt, cunctis suis copiis atque una cum Tancredi nepotis sui atque nepotis Isangelis exercitu Laodiceam flectit copiamque omne genus commeatuum, quos mulis imposuerat, in culam importat; tum Cantacuzenum conveniens "Quonam" inquit "consilio ad has

σκοπὸν ἔχων πρὸς οἰκοδομὰς καὶ κτίσεις ἀπέβλεψας;" ὁ δέ
"οἶδας ὅτι δουλείαν ὁμολογήσαντες τῷ αὐτοκράτορι καὶ τὰς
παρ' ὑμῶν αἱρουμένας πόλεις ἐνωμότως παραδοῦναι κατέ-
θεσθε. εἶτα αὐτὸς καταψευσάμενος τῶν ὁρκίων, ἀθετίσας
5 δὲ καὶ τὰς εἰρηνικὰς σπονδὰς καὶ ταυτηνὶ τὴν πόλιν ἑλὼν B
καὶ παραδοὺς ἡμῖν μεταγνοὺς αὖθις κατέσχες, ὥστε μάτην
αὐτὸς ἐνταυθοῖ παρεγενόμην ἐπὶ τῷ τὰς παρ' ὑμῶν αἱρουμέ-
νας πόλεις ἀναλαμβάνεσθαι." ὁ δὲ Βαϊμοῦντος "διὰ χρημά-
των ἢ διὰ σιδήρου ταύτας ἐλπίζων ἐξ ἡμῶν λαμβάνειν ἥκεις;" ὁ
10 δέ "τὰ χρήματα οἱ συνεφεπόμενοι ἡμῖν ἔλαβον ἐπὶ τῷ ἐκθύμως
ἀγωνίζεσθαι". ὁ δὲ Βαϊμοῦντος θυμοῦ πλησθεὶς ἔφη "ἄτερ
χρημάτων ἴσθι ὡς οὐδὲ φρούριον κατασχεῖν δυνηθῇς." καὶ
τηνικαῦτα τὰς ὑπ' αὐτὸν φάλαγγας παρέθηξε μέχρις αὐτῶν
πυλῶν τῆς πόλεως ἐξιππάσασθαι. οἱ δὲ τοῦ Καντακου- C
15 ζηνοῦ τὰ τείχη τηροῦντες δίκην νιφάδος τοὺς ὀϊστοὺς κατὰ
τῶν τοῖς τείχεσι προσπελαζόντων Φράγγων ἐπαφιέντες μι-
κρόν τι τούτους ἀπώσαντο. καὶ παραχρῆμα ὁ Βαϊμοῦντος
συναγαγὼν ἅπαντας εἰσῆλθεν ἐντὸς τῆς ἀκροπόλεως. ὑποπ-
τεύσας δὲ τὸν φυλάσσοντα κόμητα μετὰ τῶν ὑπ' αὐτὸν
20 Κελτῶν ἕτερον εἰς φυλακὴν τῆς πόλεως ἐπέστησεν ἐκείνους
ἐκεῖθεν ἀπελάσας. ἅμα δὲ καὶ τοὺς ἀγχοῦ τῶν τειχῶν ὄν-
τας ἀμπελῶνας ἠρίπωσεν, ὥστε μὴ ἐμποδὼν τοῖς ἱππά-

16. ἐπαφιέντες FC, ἐπαφέντες P. 17. ἀπώσαντο ... (p. 129, 7) χεῖρας om. F; scilicet unum folium in codice deest: in mg. m. 2: λείπει ἐντεῦθεν φύλλον ἕν. 19. αὐτῶν P, correxi.

molitiones structurasque te applicuisti?" tum vero Cantacuzenus "Scis" inquit "servitutem vos imperatori spopondisse ac quascumque urbes ceperitis reddituros ei sollemni iuramento confirmasse. at tu periurus pacis etiam foedera fregisti atque hanc ipsam urbem, quam occupaveras quamque tradidisse nobis te poenituit, denuo cepisti, ita ut captas a vobis urbes accepturus frustra huc venirem." interrogante ad hoc Boëmundo: "Pecuniane an ferro quas dicis arces recepturum a nobis te speras?" ille "Pecuniam" ait "comites illi nostri, ut fortiter dimicent, acceperunt". sed iratus tunc Boëmundus "Scito" inquit "ne unam quidem munitiunculam sine pecunia te a nobis recepturum"; ac sine mora ut portis urbis admoverentur equites suos incitavit. sed Cantacuzeni milites moenia tuentes telorum multitudine nivis instar in Francos, qui ad muros accedebant, emissa paulum eos repulerunt. tum Boëmundus copiis omnibus celerrime collectis in arcem penetravit remotoque praefecto cum Gallis qui ibi erant, quia suspectos illos habuit, atque alii urbis custodia imposita vi-

ζεσθαι μέλλουσι καθεστάναι Λατίνοις. ταῦτα μὲν οὕτω κατα-
D στήσας ἐκεῖθεν ἐξελθὼν τὴν Ἀντιόχου κατέλαβεν. ὁ δέ γε
Καντακουζηνὸς οὐκ ἠμέλει παντοίως πολιορκῶν τε καὶ διὰ μυ-
ρίων μηχανῶν τε καὶ ἐπιχειρημάτων καὶ ἑλεπόλεων συνταράσ-
σων τοὺς ἐντὸς τῆς ἀκροπόλεως Λατίνους. ἀλλὰ καὶ ὁ Μονασ- 5
τρᾶς διὰ τῆς ἠπείρου ἐρχόμενος μετὰ τοῦ ἱππικοῦ φοσσάτου
παραλαμβάνει τήν τε Λογγινιάδα, τὴν Ταρσόν, τὴν Ἄδαναν
καὶ τὴν Μάμισταν καὶ αὐτὴν δὴ τὴν Κιλικίαν ἅπασαν.

12. Πρὸς δὲ τὰς τοῦ αὐτοκράτορος ἀπειλὰς ὁ Βαϊμοῦντος
ὀρρωδήσας καὶ μὴ ἔχων ὅ τι καὶ χρήσαιτο πρὸς ἄμυναν 10
(οὔτε γὰρ κατ' ἤπειρον εἶχεν ἀξιόλογον στράτευμα οὔτε κατὰ
P. 341 θάλατταν στόλον· ἑκατέρωθεν γὰρ αὐτῷ ὁ κίνδυνος ἐπεκρέ-
V. 270 ματο) μηχανᾶταί τι τοιοῦτον σφόδρα μὲν ἀγεννές, σφόδρα
δὲ πανουργότατον. πρῶτον γὰρ τὴν Ἀντιόχου πόλιν κατα-
λείψας τῷ τοῦ Μαρκέση Ταγγρὲ καὶ τούτου ἀδελφιδῷ 15
αὐτὸς ἁπανταχόθεν φήμας πέμπει περὶ ἑαυτοῦ, ὡς ἄρα ὁ
Βαϊμοῦντος ἀποτεθνήκει, καὶ ζῶν ἔτι ὡς περὶ κατοιχομένου
αὐτοῦ τὴν οἰκουμένην διέθετο. καὶ ἡ φήμη διέτρεχεν ἁπαν-
ταχῇ πτερῶν ταχυτέρα καὶ τὸν Βαϊμοῦντον νεκρὸν ἐκήρυττε.
καὶ δῆτα ὡς ἑώρα τὰ τῆς φήμης ἀποχρώντως ἔχειν, λάρναξ * 20
τὸ ἐντεῦθεν ξυλίνη καὶ ναῦς διήρης, ἐν ᾗ κατατιθεμένη ἡ λάρ-
ναξ καὶ ὁ ἔμπνους οὗτος νεκρὸς ἀπὸ τοῦ Σουδεΐ, ὅπερ
B ἐστὶ τῆς Ἀντιοχείας ἐπίνειον, ἐπὶ τὴν Ῥώμην ἀπέπλει. καὶ

11. εἶχεν ἀξιόλογον A, εἶχε P. 15. μαρκέσση A. 20. τὰ τῆς C, τὰ om. P. ἀποχρόντως P, correxi. lacunam signavi: κατεσκευάζετο vel simile verbum deest. 21. κατατιθεμένη scripsi: καταθεμένη P. 22. σουδὲ A.

neas quoque, ne equitantes posthac Latinos impedirent, prope muros sitas excidit; quo facto rediit Antiochiam. verum Cantacuzenus haud segnius vario modo obsidionem instituit ac mille artibus machinisque bellicis adhibitis inclusos in arce Latinos terruit. simul Monastras per continentem profectus equestri agmine Longiniadem Tarsum Adanam Mamistam totamque ipsam Ciliciam occupavit.

12. Boëmundus autem imperatoris minis perterritus, quod, quo se defenderet, non habuit (defecit enim eum magnus et terrester et navalis exercitus, quamvis utroque ad periculum propulsandum opus esset), consilium capit valde illiberale, verum maxime versutum. ac primum quidem Antiochia Marcesis sororisque suae filio Tancredo commendata undique mortis suae famam dispersit: eumque etiam tum vivum orbis terrarum mortuum esse putabat; avibus enim celerior fama in omnes regiones manavit mortem Boëmundi nuntians. quam ubi sat firmatam esse sensit, en lignea arca profertur, quam cum spirante illo mortuo ponunt in biremi mox a Sudei, qui est Antiochiae

διαπόντιος ὡς νεκρὸς ἐκομίζετο τὰ μὲν ἔξωθεν νεκρὸς καὶ τῇ σορῷ καὶ τοῖς τῶν ἀμφ' αὐτὸν σχήμασιν (καὶ γὰρ ἑκασταχοῦ γινόμενοι ἀπέτιλλόν τε τὰς τρίχας οἱ βάρβαροι καὶ σαφῶς ἀνωλόλυζον), τὰ δ' ἔνδον ἐκεῖνος ἐκτάδην κείμενος μέχρι 5 τούτων νεκρὸς ἦν, τὰ δ' ἄλλα εἰσέπνει τε τὸν ἀέρα καὶ ἀπέπνει διά τινων κρυφίων ὀπῶν. ταῦτα μὲν ἐν τοῖς παραλίοις· ἐπειδὰν δὲ κατὰ πελάγους τὸ σκάφος γένοιτο, τροφῆς τε αὐτῷ μετεδίδοσαν καὶ ἐπεμελοῦντο· καὶ μετὰ τοῦτο πάλιν οἱ αὐτοὶ θρῆνοι καὶ τὰ αὐτὰ μαγγανεύματα. ἵνα δὲ καὶ δο- 10 κοίη ὁ νεκρὸς ἕωλος εἶναι καὶ ὀδωδώς, ἀλεκτρυόνα ἀποπνί- C ξαντες ἢ ἀποσφάξαντες ἐνέθηκαν τῷ νεκρῷ. καὶ εὐθὺς ἐκεῖνος εἰς τετάρτην ἢ καὶ πέμπτην ἡμέραν βαρυοδμότατος ἦν τοῖς ὄσφρησιν ἔχουσιν. καὶ ἐδόκει μὲν τοῦ χρωτὸς εἶναι τοῦ Βαϊμούντου τὸ βαρὺ τῆς ἀναπνοῆς τοῖς ἔξωθεν ἠπατημένοις· 15 πλέον δ' ἐκεῖνος ὁ Βαϊμοῦντος τοῦ ἐπιπλάστου κακοῦ συναπέλαυεν, ὥστε ἔγωγε θαυμάζω, πῶς τοσαύτην ὑπήνεγκε τῆς ῥινὸς πολιορκίαν ζῶν ἔτι μετὰ νεκροῦ συμφερόμενος σώματος. ἀλλ' ἐντεῦθεν μεμάθηκα, ὡς ἄρα πᾶν τὸ βάρβαρον γένος δυσανάκλητον, ἐφ' ὅπερ ἂν ἐφορμήσειε, καὶ οὐδὲν αὐτῷ 20 φορτικώτατον ὅ μὴ ἐνέγκοι καθάπαξ ἐμβάλλον ἑαυτὸ πρὸς D αὐθαιρέτους κακώσεις. καὶ γὰρ οὗτος μηδέπω ἀποθανών, ἀλλὰ σχήματι μόνῳ ἀποθανὼν οὐκ ἀπώκνησε ζῆν μετὰ

1. τὰ C, τῷ P. 2. καὶ C, ἡ P. 4. δ' A, δὲ P. 15. συναπέλαβεν A. 19. γένος] δύστροπόν τι καὶ A. ἐξορμήσειεν ἂν A. 20. καθάπερ A. 22. ἀλλὰ σχήματι μόνῳ ἀποθανὼν C, om. P.

portus, Romam navigatura. sic per mare Boëmundus velut mortuus vehitur; speciem enim mortui praebebat et sarcophagus eaque quae circum illum fiebant: nempe vellebant comam circumfusi barbari dominum magnopere lamentantes, dum ipse ille supinus iacet hactenus mortuus, sed occultis foraminibus spiritum reciprocans. haec quidem in littoribus; sed ubi altum tenuit navis, cibis appositis eum curant; tum vero iterum eadem lamenta easdemque praestigiae. quin etiam, ne fetentis iam cadaveris indicium deesset, gallinaceum, quem strangularant vel mactarant, cum mortuo condunt: qui quarto quintove die molestissimum naribus odorem exhalavit. ac fetor Boëmundi cadaveris videbatur iis esse qui externa specie fallebantur. sed magis ipse ficto suo malo fruebatur, ita ut maxime mirer, quomodo etiamtum sentiens nasi dolorem putrescens cadaver secum habens perferre potuerit. at vero hinc didici barbaros, quidquid susceperint, irrevocabiles nec quidquam tam difficile esse, quod non perferant, cum semel susceptis ultro laboribus se dederint. is

ἀποθανόντων σωμάτων. τέχνη μὲν οὖν τοῦ βαρβάρου αὕτη πρώτη καὶ μόνη κατὰ τὴν καθ' ἡμᾶς οἰκουμένην πέφηνεν εἰς καταστροφὴν ἀποβλέπουσα τῆς Ῥωμαίων ἡγεμονίας. οὐδὲ πρὸ ταύτης βάρβαρος ἢ Ἕλλην τοιαῦτα κατὰ πολεμίων ἐμηχανήσατο οὔτ' ἄν, οἶμαι, μετὰ ταῦτα ὁ καθ' ἡμᾶς θεάσαιτο βίος. ἐπεὶ δὲ τὴν Κορυφὼ καταλάβοι, ὥσπερ εἰς ἀκρώρειάν τινα γενόμενος καὶ κορυφὴν καὶ κρησφύγετον τὴν Κορυφὼ ταυτηνὶ καὶ ἐν τῷ ἀκινδύνῳ τυγχάνων ἀνήγερτό τε ἀπὸ τῶν ἐν δόξῃ νεκρῶν καὶ τὴν νεκροφόρον ἐκεῖσε λάρνακα καταλείψας ἡλίου τε ἐνεφορεῖτο πλείονος καὶ τοῦ ἀέρος ἀνέπνει καθαρωτέρου καὶ περιενόστει τὴν πόλιν τὴν Κορυφώ· ὃν ἑωρακότες ἐν ξένῃ καὶ βαρβαρικῇ στολῇ ἀνεπυνθάνοντο τό τε γένος καὶ τὴν τύχην καὶ τίς τε εἴη καὶ πόθεν ἥκει καὶ εἰς οὓς παραγίνεται. ὁ δὲ τῶν μὲν ἄλλων ὑπερεώρα πάντων, ἀνεζήτει δὲ τὸν δοῦκα τῆς πόλεως. ἦν δὲ ἄρα οὗτος Ἀλέξιός τις θέματος Ἀρμενιακοῦ γενόμενος. ὃν θεασάμενος μετὰ σοβαροῦ τοῦ βλέμματός τε καὶ σχήματος καὶ σοβαρᾷ τῇ φωνῇ χρώμενος καὶ ὅλως βαρβαρικῇ ἀπαγγεῖλαι προσέταττεν Ἀλεξίῳ τῷ αὐτοκράτορι ὅτι "σοὶ ἐγὼ Βαϊμοῦντος ἐκεῖνος ὁ τοῦ Ῥομπέρτου, ὃν ὁ ἀνέκαθεν χρόνος καὶ σὲ καὶ τὴν ὑπὸ σὲ βασιλείαν ἐδίδαξεν, ὁπόσος τίς εἰμι τὴν ἀνδρείαν καὶ τὴν ἔνστασιν. ἐφ' ᾧπερ ἂν καὶ τὴν ῥοπὴν λάβοιμι, ὡς οὐκ ἂν ἀνασχοίμην, ἴστω Θεός, τῶν

(Marginalia: line 5; P. 342 at line 8; line 10; line 15; B; V. 271 at line 20.)

8. ἀνέγρετο A. 16. Ἀρμενιακοῦ C, Ἀρμενικοῦ P. 20. ὃν ὁ scripsi: ὃν P. 21. ὑπὸ scripsi: ὑπὲρ P.

enim, etsi nondum mortuus sed specie tantum mortuus erat, ne cadaveris quidem societatem timuit. haec quidem princeps atque unica barbari in nostra terra machinatio fuit, quae manifesto ad Romani imperii perniciem spectabat; cui parem nemo ante in bello seu Graecus seu barbarus excogitavit nec postea credo nos similem visuros. ceterum simul Coryphum tenuit, quasi subductus in arcem quandam praesidiumque ac refugium et in tuto positus e mortuis, quibus adnumerabatur, surrexit feralique arca relicta puriore aere soleque affatim fruitus Coryphum urbem circumiit. quem indigenae conspicati peregrina ac barbarica veste indutum genus fortunamque interrogarunt, quis esset, unde et quo iret, quaerentes, at ceteris ille omnibus contemptis ducem urbis quaesivit. is tum Alexius quidam erat genere Armenius, quem superbo vultu modoque adspiciens superba planeque barbara voce Alexio imperatori nuntiare haec iussit: "Tibi ego Boëmundus ille, Roberti filius, qui quid fortitudine et assiduitate valeam, superiora tempora et te et imperium tuum docuerunt. deus ipse sciat, me quocumque verterim tot malis minorem fore. nam ex

πρὸς ἐμὲ γεγενημένων κακῶν. ἐξ ὅτου γὰρ διὰ τῆς Ῥωμαίων τὴν Ἀντιόχου κατέλαβον καὶ Συρίαν ὅλην ἠνδραποδισάμην τῷ ἐμῷ δόρατι, πολλῆς παρὰ σοῦ καὶ τῆς σῆς στρατιᾶς πικρίας ἀνεφορήθην ἐλπίσιν ἐξ ἐλπίδων παραπεμπόμενος
5 *καὶ εἰς μυρίας συμφορὰς καὶ πολέμους βαρβαρικοὺς ἐμβαλ-* C
λόμενος. ἀλλὰ νῦν γε ἴσθι με, κἂν ἀπέθανον, πάλιν ἐξ ὑπαρχῆς ἀναβεβιωκότα καὶ τὰς σὰς διαδεδρακότα χεῖρας. πάντα γὰρ ὀφθαλμὸν καὶ πᾶσαν χεῖρα καὶ γνώμην διαλαθὼν ἐν σχήματι ἀποτεθνηκότος νῦν καὶ ζῶν καὶ κινούμενος καὶ τὸν
10 *ἀέρα πνέων ἐκ τῆσδε τῆς Κορυφοῦς διαπέμπω πάνυ μεμισημένας ἀγγελίας τῇ σῇ βασιλείᾳ, ἃς καὶ ἀναμαθὼν οὐκ ἂν περιχαρῶς ἀποδέξαιο, ὡς μὲν τῷ Ταγγρὲ καὶ ἐμῷ ἀνεψιῷ τὴν Ἀντιόχου πόλιν παρακατεθέμην πρὸς τοὺς σοὺς στρατηγοὺς ἀντίμαχον ἀξιόμαχον καταλείψας αὐτόν, αὐτὸς δὲ* D
15 *πρὸς τὴν ἰδίαν ἄπειμι χώραν σοὶ μὲν νεκρὸς φημιζόμενος καὶ τοῖς σοῖς, ἐμοὶ δὲ καὶ τοῖς ἐμαυτοῦ καὶ ζῶν καὶ κατὰ σοῦ δεινὰ βουλευόμενος. ἐφ' ᾧ γὰρ τὴν ὑπὸ σὲ Ῥωμανίαν κλονήσειν, καὶ ζῶν ἀποτέθνηκα καὶ ἀποθανὼν ἔζησα. εἰ γὰρ τὴν ἀντιπέραν ἤπειρον καταλάβοιμι καὶ Λογγιβάρδους*
20 *καὶ πάντας Λατίν¬υς καὶ Γερμανοὺς καὶ τοὺς καθ' ἡμᾶς Φράγγους ὀψαίμην, ἄνδρας Ἄρεως μνήμονας, πολλῶν φόνων*

4. *ἀνεφύρθην?* 9. *καὶ κηνούμενος* sic A, *κινούμενος* P. 10. *Κορυφῷ* A. 13. *παρακατεθέμην* FA, *παρακαταθέμην* P. 15 sq. *σοὶ μὲν ... ζῶν καὶ* om. C. 17. *κατὰ σοῦ δεινὰ* F, *δεινὰ κατὰ σοῦ* C, *κατὰ δεινὰ σοῦ* P. 21. *ὀψοίμην* A. *Ἄρεως* F, *Ἄρεος* PA.

quo Romanorum terra peragrata Antiochiam perveni totamque Syriam hasta mea subegi, multas a te tuoque exercitu acerbitates pertuli novis semper delusus ostentationibus atque in innumeras calamitates bellaque cum barbaris proiectus. nunc autem scito, me quamvis mortuum revixisse tuasque manus effugisse. etenim omnium oculos ac manus suspicionemque mortui specie fallens nunc vivens movens spirans acerbissima tuo imperio ex hac Corypho denuntio, quibus quidem auditis non admodum laetaberis. nam nepoti meo Tancredo, fortissimo bellatori, Antiochiae custodia contra duces tuos tradita ipse domum abeo tua quidem tuorumque sententia mortuus, mihi autem meisque vivens ac gravissima in te moliens. nam ut Romaniam tibi oboedientem perturbem, et vivus mortuus sum et mortuus vivo. simul atque enim transmarinas regiones attigero, Longibardos omnesque Latinos et Germanos nostratesque Francos, bellicosissimos viros,

ἀποθανόντων σωμάτων. τέχνη μὲν οὖν
πρώτη καὶ μόνη κατὰ τὴν καθ' ἡμᾶς
εἰς καταστροφὴν ἀποβλέπουσα τῆς Ῥ
οὐδὲ πρὸ ταύτης βάρβαρος ἢ Ἕλλην τοι
ἐμηχανήσατο οὔτ' ἄν, οἶμαι, μετὰ ταῦτ
σαιτο βίος. ἐπεὶ δὲ τὴν Κορυφὼ κα
ἀκρώρειάν τινα γενόμενος καὶ κορυφὴν
P. 342 Κορυφοὶ ταυτηνὶ καὶ ἐν τῷ ἀκινδύνῳ
τε ἀπὸ τῶν ἐν δόξῃ νεκρῶν καὶ τὴν
λάρνακα καταλείψας ἡλίου τε ἐνεφορεῖτ
ἀέρος ἀνέπνει καθαρωτέρου καὶ περιεν
Κορυφώ· ὃν ἑωρακότες ἐν ξένῃ καὶ βαρβ
θάνοντο τό τε γένος καὶ τὴν τύχην κα
θεν ἥκει καὶ εἰς οὓς παραγίνεται. ὁ
ὑπερεώρα πάντων, ἀνεζήτει δὲ τὸν δοῦ
δὲ ἄρα οὗτος Ἀλέξιός τις θέματος Ἀρ
ὃν θεασάμενος μετὰ σοβαροῦ τοῦ βλέμ
Βτος καὶ σοβαρᾷ τῇ φωνῇ χρώμενος
ἀπαγγεῖλαι προσέταττεν Ἀλεξίῳ τῷ αὐ
V. 271 ἐγὼ Βαϊμοῦντος ἐκεῖνος ὁ τοῦ Ῥομπέ
χρόνος καὶ σὲ καὶ τὴν ὑπὸ σὲ βασιλείαν
εἰμι τὴν ἀνδρείαν καὶ τὴν ἔνστασιν.
ῥοπὴν λάβοιμι, ὡς οὐκ ἂν ἀνασχοίμ

8. ἀνέγρετο A. 16. Ἀρμενιακοῦ C,
ὃν ὁ scripsi: ὃν P. 21. ὑπὸ scrip

enim, etsi nondum mortuus sed specie tantum m
quidem societatem timuit. haec quidem prince
nostra terra machinatio fuit, quae manifesto a
ciem spectabat; cui parem nemo ante in bello s
excogitavit nec postea credo nos similem vis
ryphum tenuit, quasi subductus in arcem q
ac refugium et in tuto positus e mortuis,
surrexit feralique arca relicta puriore aere
Coryphum urbem circumiit, quem indigen
ac barbarica veste indutum genus fortunam
esset, unde et quo iret, ... at c
temptis ducem urbis qu... tum Al
nere Armenius, quem ... m
barbara voce Al...
...dus ille, Ro...
superiora t...
...at, me qu...

[illegible]

... πάλιν ἐξ
... χεῖρας.
... καὶ γνώμην διαλαθὼν
... καὶ τὸν
... πάνυ μεμι-
... καὶ ἀναμαθὼν οὐκ ἂν
... καὶ ἐμῷ
... πρὸς τοὺς σοὺς στρα-
... αὐτόν, αὐτὸς δὲ
... νεκρὸς
... ὑπὸ σὲ Ῥωμαίων

[illegible]

IB.

R XII.

...lique apparatus; capti ...erati in patriam remit- ...stae; imperator Monas- Alexius Thessalonicam ...ta Gallorum adventum ...assem armat. signum ...les in imperatorem con- ...niuntur. manus aeneae ...regorium Trapezuntium ...postea liberat (7). Con- . Galli vastant Illyrici ...iis. Boëmundi traiectio

τοῦ Βαϊμοῦντου δια- P. 345 V. 274
...ιατευσάμενος κατὰ τοῦ
...α τῶν Ῥωμαίων ἑαυτῷ
...εν ὑποχ... μετὰ δα-
...ἢ καὶ ...
...θαπερεὶ ...

...raiectione g...
imperium Ro...
...essus sordide ...
...a tamqu...

καὶ πολλῶν αἱμάτων τὰς σὰς ἐμπλήσω πόλεις καὶ χώρας, ἕως ἂν ἐπ' αὐτοῦ τοῦ Βυζαντίου τὸ δόρυ πηξαίμην." εἰς τοσοῦτον ἄρα ὁ βάρβαρος ἀλαζονείας ἐπῆρτο.

1. καὶ πόλεις P, καὶ om. AC. 3. ἀλαζονείας FAC, ἀλαζονίας P.

visam multorumque caede ac sanguine urbes et terras tuas implebo, donec in ipso Byzantio hastam fixero." eo usque barbarus arrogantiae processit.

ΑΛΕΞΙΑΣ ΙΒ.

ALEXIADIS LIBER XII.

ARGUMENTUM.

Boëmundi et imperatoris inimicitiae bellique apparatus; capti a Turcis Gallorum comites ab imperatore liberati in patriam remittuntur (1). *Tancredi res in Asia prospere gestae; imperator Monastrae subrogat Aspicten, virum luxuriosum* (2). *Alexius Thessalonicam petit comite uxore. huius laudes* (3). *cometa Gallorum adventum praenuntiat; Dyrrachio Alexius munito classem armat. signum Anthelii* (4). *Anemadae fratres aliique nobiles in imperatorem coniurant* (5). *coniuratione detecta auctores puniuntur. manus aeneae Cpoli fixae quid significent* (6). *Alexius Gregorium Trapezuntium ducem a Ioanne devictum in vincla conicit, postea liberat* (7). *Contostephani res minus bene in Gallos gestae* (8). *Galli vastant Illyrici oram. descriptio Dyrrachii et Drymonis amnis. Boëmundi traiectio imperatori nuntiatur* (9).

---

1. Τὰ μὲν οὖν τῆς πρώτης τοῦ Βαϊμούντου δια- P. 345 V. 274
περαιώσεως ἔργα καὶ ὁπόσα πραγματευσάμενος κατὰ τοῦ
αὐτοκράτορος φαίνεται τὰ σκῆπτρα τῶν Ῥωμαίων ἑαυτῷ
μνηστευόμενος καὶ ὅπως τὴν ἐκεῖθεν ὑποχώρησιν μετὰ ῥᾳ-
5 διουργίας προμηθευσάμενος καὶ δὴ καὶ τυχὼν τοῦ σκοποῦ
καὶ τοιαύτην τὴν ναυλοχίαν καθαπερεὶ νεκρὸς φερόμενος

1. Res in prima Boëmundi traiectione gestae omnesque in imperatorem machinationes, quibus imperium Romanorum sibi appetiverit, eiusdem porro inde recessus sordide quidem, sed feliciter confectus dolosaque illa navigatio, qua tamquam mortuus vectus

ποιησάμενος τὴν Κορυφὼ κατέλαβεν, ὧδέ πη περιγεγράφθω.
B ἐχέσθω δ' αὖθις ὁ λόγος τῶν μετ' ἐκεῖνα τούτου πράξεων.
καταλαβὼν δὲ ὁ νεκρὸς ὀδωδὼς τὴν Κορυφώ, καθά γε καὶ
εἴρηται, καὶ ἀπειλησάμενος διὰ τοῦ ἐκεῖσε δουκὸς τῷ αὐτο-
κράτορι, ὁπόσα ὁ λόγος φθάσας ἐδήλωσε, πρὸς τὴν Λογγι- 5
βαρδίαν τὸν ἀπόπλουν ποιησάμενος ἔργου ἥπτετο σκεπτό-
μενος αὖθις τὸ Ἰλλυρικὸν καταλαβεῖν καὶ συμμάχους διὰ
τοῦτο σπεύδων συναγηοχέναι πλείους τῶν πρὸ τοῦ. καὶ
P. 346 περὶ κήδους τῷ ῥηγὶ Φραγγίας ὁμιλήσας τὴν μὲν τῶν θυγα-
τέρων αὐτοῦ εἰς ἰδίαν αὐτῷ γυναῖκα ἐξέδοτο, τὴν δέ γε ἑτέ- 10
ραν διαπόντιον πρὸς τὴν Ἀντιόχου πόλιν ἐξέπεμψεν, ἐφ'
ᾧ συναφθῆναι τῷ ἀνεψιῷ αὐτοῦ Ταγγρέ. εἶτα δυνάμεις
ἁπανταχόθεν μυριοπληθεῖς συλλεξάμενος ἐκ πάσης τε χώ-
ρας καὶ πόλεως τοὺς κόμητας μεταπεμψάμενος μετὰ τῶν
ὑπ' αὐτοὺς στρατευμάτων τὴν πρὸς τὸ Ἰλλυρικὸν διαπεραίω- 15
σιν ἐπετάχυνεν. ὁ γοῦν βασιλεὺς τὰ διὰ τοῦ Ἀλεξίου πρὸς
αὐτὸν μηνυθέντα ἀκηκοὼς εὐθὺς κατὰ πάσας τὰς χώρας,
B Πίσσαν τε καὶ Γένουαν καὶ Βενετίαν γράμματα ἐπέστελλε
προπαρασκευάζων αὐτοὺς μὴ συναπαχθέντας τοῖς ἀπατη-
λοῖς τοῦ Βαϊμούντου λόγοις ἐκείνῳ συνεφέψεσθαι. καὶ γὰρ 20
περιϊὼν ἁπάσας τὰς χώρας καὶ πόλεις πολλὴν τὴν κατὰ τοῦ αὐ-
τοκράτορος καταδρομὴν ἐποιεῖτο παγάνον ὀνομάζων αὐτὸν καὶ

10. αὐτῷ FC, αὐτοῦ P. 18. Θνούαν C. ἀπέστειλε A. 21. χώρας καὶ πόλεις F, πόλεις καὶ χώρας P. 22. ἐποιεῖτο F, ἐπεποίητο P. ὀνομάζων αὐτὸν A, αὐτὸν om. P.

tandem Coryphum pervenerit, hac ratione exposita sunto. nunc vero operam dabimus narrandis iis, quae postea evenerunt. fetens igitur mortuus Coryphum pervectus, prout dictum est, per illius urbis ducem minis supra relatis imperatorem insecutus atque in Longibardiam nave traiectus rem aggressus est. Illyricum rursus occupare meditans cum pluribus properavit quam quot antea habuerat sociis sese copulare. quare cum Francorum rege iungere affinitatem cupiens unam filiarum eius ipse in matrimonium duxit, alteram vero mari in urbem Antiochiam misit, ut Tancredo nuberet ipsius consobrino. collectis deinde innumeris undecumque copiis comitibusque ex quavis regione et civitate convocatis cum omnibus quibus praeerant copiis in Illyricum traiectionem summa ope urgebat. at vero imperator audito quem Alexius miserat nuntio extemplo ad omnes civitates, Pisam Genuam Venetias literas misit, quibus praemunire eos enitebatur, ne fallacibus Boëmundi circumventi argumentis in partes eius se abstrahi sinerent. ille enim urbes omnes provinciasque circumiens magnis imperatorem calumniis petiit paganum vocans

τῶν Χριστιανῶν πολέμιον. ἐπεὶ δὲ καὶ ὁ Βαβυλώνιος τριακοσίους φθάσας κατέσχε τότε κόμητας, ὁπότε τὰ ἄπειρα πλήθη τῶν Κελτῶν διὰ τῆς ἑσπέρας διαπεραιωσάμενα τὴν Ἀσίαν τήν τε Ἀντιόχου πόλιν καὶ τὴν Τύρον καὶ τὰς πα-
5 ρακειμένας ἁπάσας πόλεις καὶ χώρας ἐμάστιζον, καὶ δεσμώτας ἐμφρούρους εἶχεν, ἡ δὲ φρουρὰ δεινὴ τῶν πάλαι γεγενημένων, καὶ τὰ περὶ τῆς τούτων ἁλώσεως καὶ τὰ ἐντεῦθεν C συμπεσόντα τούτοις δεινὰ μεμαθηκὼς ὁ αὐτοκράτωρ ἐδάκνετο τὴν ψυχὴν καὶ ὅλος τῆς ἐκείνων ἀναρρύσεως ἐγεγόνει.
10 καὶ μεταπεμψάμενος Νικήταν τὸν Πανουκωμίτην μετὰ χρημάτων πρὸς τὸν Βαβυλώνιον ἐξαπέστειλε γραφὰς πρὸς αὐτὸν ἐγχειρίσας, δι' ὧν τοὺς δορυαλώτους ἐκείνους ᾔτεῖτο κόμητας πολλὰς ὑποσχόμενος αὐτῷ τὰς χάριτας, εἰ τούτους λύσας τῶν δεσμῶν ἀπολύσει. ὁ δὲ Βαβυλώνιος τὸν Πανουκωμίτην V. 275
15 θεασάμενος καὶ ἀκούσας, ἅττα δὴ παρὰ τοῦ αὐτοκράτορος πρὸς αὐτὸν διεμηνύθη, ἀνελίξας δὲ καὶ τὰς γραφὰς λύει μὲν D παραχρῆμα τοὺς κόμητας τῶν δεσμῶν, ἐξάγει δὲ καὶ τῆς φρουρᾶς· οὐ μέντοι γε παντελῶς ἐλευθερίας αὐτοὺς ἀξιοῖ, ἀλλὰ τῷ Πανουκωμίτῃ παραδίδωσι πρὸς τὸν αὐτοκράτορα τού-
20 τους ἐξαποστείλας μηδ' ὁτιοῦν τῶν ἀποσταλέντων χρημάτων ἀναλαβόμενος· εἴτε δὲ ὡς μὴ ἀποχρώντων πρὸς τοσούτους

3. πρὸς τὴν? 5. ἐμάστιζον F, ἐμάστιζεν sententiis perperam distinctis P. 7. τὰ addidi. τὰ ἐντεῦθεν συμπεσόντα τούτοις δεινὰ F, τῶν ἐντεῦθεν συμπεσόντων τούτοις δεινῶν P. 9. τε τὴν P, τε om. F. 10. Πανουκομίτην C; sic semper. 17. καὶ addidi. 19. παραδίδωσι F, παραδίδωσιν P. 21. ἀποχρῶντα F. τοσούτους scripsi: τοσούτων P.

eum et Christianorum adversarium. cum vero sultanus Babylonius antea trecentos eo tempore cepisset comites, quo innumerabiles Gallorum exercitus per occidentem in Asiam traiecti Antiochiam urbem Tyrumque et adiacentes cunctas civitates ac regiones vastabant, duraque homines custodia retineret in carcere ad antiquae crudelitatis usum taeterrimo, imperator, ubi eos captos esse acerbissimaque mala perpeti audivit, misericordia graviter commotus totus in eo fuit, ut eos liberare studeret. quam ob rem arcessitum Nicetam Panucomitam cum pecuniis ad Babylonium misit literis datis, quibus captos illos comites expeteret maximis gratiis promissis, si vinculis solutos pretio accepto in libertatem eos restituisset. viso igitur Panucomita auditisque iis quae ab imperatore perferebantur ac lectis etiam litteris Babylonius statim comites vinculis liberatos e carcere eduxit nec tamen plenam iis libertatem concessit, verum eos Panucomitae tradidit deducendos ad imperatorem repudiatis quae offerebantur pecuniis, sive

λύτρων, εἴτε καὶ δωροληψίας ἐκφεύγων ὑπόνοιαν καὶ ὡς μὴ
P. 347 φαίνοιτο τιμῆς τούτους ἀποδόμενος, ἀλλὰ καθαρὰν τὴν
χάριν ἀπονέμων τῷ βασιλεῖ καὶ ἀκίβδηλον, εἴτε καὶ πλειόνων
ἐφιέμενος, Θεὸς ἂν εἰδείη. τούτους ὁ βασιλεὺς καταλαβόν-
τας θεασάμενος ὑπερηγάσθη μὲν τὴν τοῦ βαρβάρου γνώμην 5
καὶ τεθαύμακεν, ἐπιπόνως δὲ τούτους περὶ τῶν συμβεβηκό-
των αὐτοῖς ἐπερωτήσας καὶ μεμαθηκώς, ὅπως ἐπὶ τοσοῦτον
χρόνον καὶ τοσούτων κύκλων περιόδους ἔμφρουροι ὄντες
οὐδὲ ἅπαξ ἥλιον ἐθεάσαντο οὐδὲ τῶν δεσμῶν ἐλύθησαν,
ἀλλὰ καὶ τροφῶν παντοίων ἄγευστοι τὸ παράπαν ἐπὶ το- 10
σοῦτον διαμεμενήκεσαν μόνου ἄρτου καὶ ὕδατος μεταλαμ-
B βάνοντες, οἰκτείρας τοῦ πάθους καὶ θερμὸν καταστάξας
δάκρυον πολλῆς παραχρῆμα ἠξίου φιλοφροσύνης χρήματά τε
ἐπιδοὺς καὶ ἄμφια παντοῖα παρασχὼν ἐς βαλανεῖά τε προ-
τρεπόμενος καὶ παντοίως τῆς τοσαύτης κακότητος ἀνακτή- 15
σασθαι τούτους μηχανώμενος. οἱ δὲ ἔχαιρον ἐφ' οἷς παρὰ
τοῦ αὐτοκράτορος εὖ πεπόνθασιν, οἱ πρὶν ἐχθροὶ καὶ πο-
λέμιοι, οἱ παραβάται τῶν πρὸς αὐτὸν ὁρκίων καὶ ὑποσχέ-
σεων, τὴν τοσαύτην ἐς αὐτοὺς κατανοοῦντες ἀνεξικακίαν. ὁ
δὲ μεθ' ἡμέρας μεταπεμψάμενος τούτους ἔφη "ἄδειαν ὑμῖν 20
τοῖ λοιποῦ δίδωμι, ἵνα ὁπόσον βούλεσθε κατὰ ταύτην τὴν
C πόλιν ἐγκαρτερήσητε μεθ' ἡμῶν. ὁπηνίκα δέ τις τῶν οἰκείων

1. λύτρων scripsi: λυτρὸν P. 2. ἀποδόμενος F, ἀποδιδόμενος P. 11. μεταλαμβάνοντος F. 14. ἐς F, εἰς P.

quod non sufficiebant redemptionis pretia, sive quod avaritiae suspicionem fugiebat, ne videretur pretio eos reddere puram potius imperatori veramque gratiam tributurus; sive denique quod plura se beneficia recepturum sperabat: deus id sciat. quos ubi conspexit imperator, valde admiratus est barbari facilitatem. tum diligenter ipsos quas perpessi essent calamitates percontatus, postquam comperit tamdiu eos totque cyclorum solarium periodos in carcere retentos ne semel quidem solem vidisse neque e vinculis fuisse expeditos nec quidquam omnino per diuturnum tempus cibi potusque gustasse, nisi panem et aquam, commiseratus tantas aerumnas profudit lacrimas et omni statim benignitatis genere eos cumulavit datis insuper pecuniis vestimentisque; ad balneas quoque eos adduxit omnique opera id egit ut tantae illius miseriae memoriam extingueret. ipsi vero valde gaudebant imperatoris beneficiis quique antea eius inimici et hostes fuerant, periuri illi ac promissionum suarum immemores, nunc tantam eius in se clementiam suspiciebant. ille vero aliquot diebus interiectis arcessitos ad se ita allocutus est: "Liberum nunc vobis arbitrium permitto hac in urbe quamdiu libet no-

ἐπιμνησθεὶς ἐθελήσοι ἀναχωρεῖν, ἀκωλύτως καὶ τῆς πρὸς τὰ οἴκοι φερούσης ἅψαιτο συνταξάμενος ἡμῖν καὶ οὕτω διὰ χρημάτων καὶ παντοίας ἄλλης οἰκονομίας ἐφοδιασθεὶς καλῶς διευθετηθείη. καὶ ἁπλῶς καὶ παρεῖναι καὶ ἀπεῖναι ἄδειαν
5 ἔχειν ὑμᾶς βούλομαι καὶ τὸ βουλητὸν ὡς ἐλευθέρους κατὰ τὴν οἰκείαν γνώμην πράττειν." ἦσαν μὲν οὖν τέως οἱ κόμητες μετὰ τοῦ αὐτοκράτορος παντοίας, ὡς εἴρηται, θεραπείας ἀξιούμενοι καὶ δυσαποσπάστως αὐτοῦ ἔχοντες. ἐπεὶ δὲ τὴν Λογγιβαρδίαν ὁ Βαϊμοῦντος καταλαβών, ὡς ὁ λόγος φθάσας
10 ἐδήλωσε, πλείω τῶν προτέρων στρατευμάτων σπεύδων συναγαγεῖν πολλὰ τοῦ αὐτοκράτορος κατέτρεχε κατὰ πᾶσαν πόλιν καὶ χώραν περιϊὼν καὶ παγάνον αὐτὸν λαμπρᾷ τῇ φωνῇ D ἀνακηρύττων καὶ τοῖς παγάνοις ὅλῃ γνώμῃ ἐπαρήγοντα, τοῦτο ὁ αὐτοκράτωρ μεμαθηκὼς τοὺς ῥηθέντας κόμητας τὸ
15 μέν τι καὶ αὐτῶν προθυμουμένων ἤδη πρὸς τὰς σφῶν ἀπιέναι χώρας, τὸ δέ τι καὶ πρὸς ἔλεγχον τῶν κατ' αὐτοῦ παρὰ τοῦ Βαϊμούντου διακηρυκευομένων δαψιλεῖς τὰς δωρεὰς ἐπιχορηγήσας αὐτοῖς οἴκαδε ἐξαπέστειλεν. αὐτὸς δὲ πρὸς τὴν P. 348 Θετταλοῦ πόλιν σπουδαίως ἔξῄει, ἅμα μὲν καὶ τοὺς νεήλυ-
20 δας τὰ στρατιωτικὰ παιδεύειν, ἅμα δὲ καὶ τὸν Βαϊμοῦντον V. 276 ἐκ τῆς περὶ αὐτοῦ φήμης ἀπείργεσθαι τῆς ἀπὸ Λογγιβαρδίας πρὸς τὴν ἡμεδαπὴν διαπεραιώσεως. ἀπελθόντες τοίνυν

2. οὕτως F. 15. τι FC, τοι PA.

biscum remanendi. si quis vero suorum captus desiderio hinc discedere cupiat, sine ullo impedimento nec invitis nobis in patriam revertatur, et sic sint omnia ei parata, ut pecuniis ceteroque viatico largiter instructus iter suscipiat. liberam denique seu manendi seu abeundi vobis potestatem esse volo et quidquid placebit liberorum instar vos ex lubitu vestro facere." manebant interea comites apud imperatorem tanta, ut dictum est, eius liberalitate ornati, aegre ut ab eo discederent. verum Boëmundus in Longibardiam transgressus maioremque, ut supra diximus, sibi quam antea habuerat cogere exercitum enitens, cum multis in imperatorem contumeliis invectus est urbes cunctas regionesque obiens, tum clara voce paganum eum firmumque paganorum praesidium esse pronuntiavit. quo imperator cognito comites, quos supra commemoravi, non solum quod flagrabant iam desiderio in patriam redeundi, sed etiam ut, quae contra ipsum a Boëmundo vulgarentur, refellerent, amplis datis muneribus domum remisit. ipse confestim sese Thessalonicam contulit, ut et tirones nuper delectos in armis exerceret et prohiberet Boëmundum, quominus, ut fama erat, ex Longibardia in nostros fines traiceret. illi interim

ζεσθαι μέλλουσι καθεστάναι Λατίνοις. ταῦτα μὲν οὕτω κατα-
D στήσας ἐκεῖθεν ἐξελθὼν τὴν Ἀντιόχου κατέλαβεν. ὁ δέ γε
Κανταχουζηνὸς οὐκ ἠμέλει παντοίως πολιορκῶν τε καὶ διὰ μυ-
ρίων μηχανῶν τε καὶ ἐπιχειρημάτων καὶ ἑλεπόλεων συνταράσ-
σων τοὺς ἐντὸς τῆς ἀκροπόλεως Λατίνους. ἀλλὰ καὶ ὁ Μονασ- 5
τρᾶς διὰ τῆς ἠπείρου ἐρχόμενος μετὰ τοῦ ἱππικοῦ φοσσάτου
παραλαμβάνει τήν τε Λογγινιάδα, τὴν Ταρσόν, τὴν Ἄδαναν
καὶ τὴν Μάμισταν καὶ αὐτὴν δὴ τὴν Κιλικίαν ἅπασαν.

12. Πρὸς δὲ τὰς τοῦ αὐτοκράτορος ἀπειλὰς ὁ Βαϊμοῦντος
ὀρρωδήσας καὶ μὴ ἔχων ὅ τι καὶ χρήσαιτο πρὸς ἄμυναν 10
(οὔτε γὰρ κατ' ἤπειρον εἶχεν ἀξιόλογον στράτευμα οὔτε κατὰ
P. 341 θάλατταν στόλον· ἑκατέρωθεν γὰρ αὐτῷ ὁ κίνδυνος ἐπεκρέ-
V. 270 ματο) μηχανᾶταί τι τοιοῦτον σφόδρα μὲν ἀγεννές, σφόδρα
δὲ πανουργότατον. πρῶτον γὰρ τὴν Ἀντιόχου πόλιν κατα-
λείψας τῷ τοῦ Μαρκέση Ταγγρὲ καὶ τούτου ἀδελφιδῷ 15
αὐτὸς ἁπανταχόθεν φήμας πέμπει περὶ ἑαυτοῦ, ὡς ἄρα ὁ
Βαϊμοῦντος ἀποτεθνήκει, καὶ ζῶν ἔτι ὡς περὶ κατοιχομένου
αὐτοῦ τὴν οἰκουμένην διέθετο. καὶ ἡ φήμη διέτρεχεν ἀπαν-
ταχῇ πτερῶν ταχυτέρα καὶ τὸν Βαϊμοῦντον νεκρὸν ἐκήρυττε.
καὶ δῆτα ὡς ἑώρα τὰ τῆς φήμης ἀποχρώντως ἔχειν, λάρναξ * 20
τὸ ἐντεῦθεν ξυλίνη καὶ ναῦς διήρης, ἐν ᾗ κατατιθεμένη ἡ λάρ-
ναξ καὶ ὁ ἔμπνους οὗτος νεκρὸς ἀπὸ τοῦ Σουδεῖ, ὅπερ
B ἐστὶ τῆς Ἀντιοχείας ἐπίνειον, ἐπὶ τὴν Ῥώμην ἀπέπλει. καὶ

11. *εἶχεν ἀξιόλογον* A, *εἶχε* P. 15. *μαρκέσση* A. 20. *τὰ τῆς* C, *τὰ* om. P. *ἀποχρόντως* P, correxi. lacunam signavi: *κατεσκευάζετο* vel simile verbum deest. 21. *κατατιθεμένη* scripsi: *καταθεμένη* P. 22. *σουδὲ* A.

neas quoque, ne equitantes posthac Latinos impedirent, prope muros sitas excidit; quo facto rediit Antiochiam. verum Cantacuzenus haud segnius vario modo obsidionem instituit ac mille artibus machinisque bellicis adhibitis inclusos in arce Latinos terruit. simul Monastras per continentem profectus equestri agmine Longiniadem Tarsum Adanam Mamistam totamque ipsam Ciliciam occupavit.

12. Boëmundus autem imperatoris minis perterritus, quod, quo se defenderet, non habuit (defecit enim eum magnus et terrester et navalis exercitus, quamvis utroque ad periculum propulsandum opus esset), consilium capit valde illiberale, verum maxime versutum. ac primum quidem Antiochia Marcesis sororisque suae filio Tancredo commendata undique mortis suae famam dispersit: eumque etiam tum vivum orbis terrarum mortuum esse putabat; avibus enim celerior fama in omnes regiones manavit mortem Boëmundi nuntians. quam ubi sat firmatam esse sensit, en lignea arca profertur, quam cum spirante illo mortuo ponunt in biremi mox a Sudei, qui est Antiochiae

δεσπόντιος ὡς νεκρὸς ἐκομίζετο τὰ μὲν ἔξωθεν νεκρὸς καὶ τῇ σορῷ καὶ τοῖς τῶν ἀμφ' αὐτὸν σχήμασιν (καὶ γὰρ ἑκασταχοῦ γινόμενοι ἀπέτιλλόν τε τὰς τρίχας οἱ βάρβαροι καὶ σαφῶς ἀνωλόλυζον), τὰ δ' ἔνδον ἐκεῖνος ἐκτάδην κείμενος μέχρι
5 τούτων νεκρὸς ἦν, τὰ δ' ἄλλα εἰσέπνει τε τὸν ἀέρα καὶ ἀπέπνει διά τινων κρυφίων ὀπῶν. ταῦτα μὲν ἐν τοῖς παραλίοις· ἐπειδὰν δὲ κατὰ πελάγους τὸ σκάφος γένοιτο, τροφῆς τε αὐτῷ μετεδίδοσαν καὶ ἐπεμελοῦντο· καὶ μετὰ τοῦτο πάλιν οἱ αὐτοὶ θρῆνοι καὶ τὰ αὐτὰ μαγγανεύματα. ἵνα δὲ καὶ δο-
10 κοίη ὁ νεκρὸς ἕωλος εἶναι καὶ ὀδωδώς, ἀλεκτρυόνα ἀποπνίξαντες ἢ ἀποσφάξαντες ἐνέθηκαν τῷ νεκρῷ. καὶ εὐθὺς ἐκεῖνος εἰς τετάρτην ἢ καὶ πέμπτην ἡμέραν βαρυοδμότατος ἦν τοῖς ὄσφρησιν ἔχουσιν. καὶ ἐδόκει μὲν τοῦ χρωτὸς εἶναι τοῦ Βαϊμούντου τὸ βαρὺ τῆς ἀναπνοῆς τοῖς ἔξωθεν ἠπατημένοις·
15 πλέον δ' ἐκεῖνος ὁ Βαϊμοῦντος τοῦ ἐπιπλάστου κακοῦ συναπέλαυεν, ὥστε ἔγωγε θαυμάζω, πῶς τοσαύτην ὑπήνεγκε τῆς ῥινὸς πολιορκίαν ζῶν ἔτι μετὰ νεκροῦ συμφερόμενος σώματος. ἀλλ' ἐντεῦθεν μεμάθηκα, ὡς ἄρα πᾶν τὸ βάρβαρον γένος δυσανάκλητον, ἐφ' ὅπερ ἂν ἐφορμήσειε, καὶ οὐδὲν αὐτῷ
20 φορτικώτατον ὃ μὴ ἐνέγκοι καθάπαξ ἐμβάλλον ἑαυτὸ πρὸς αὐθαιρέτους κακώσεις. καὶ γὰρ οὗτος μηδέπω ἀποθανών, ἀλλὰ σχήματι μόνῳ ἀποθανὼν οὐκ ἀπώκνησε ζῆν μετὰ

C

D

1. τὰ C, τῷ P. 2. καὶ C, ἡ P. 4. δ' A, δὲ P. 15. συναπέλαβεν A. 19. γένος] δύστροπόν τι καὶ A. ἐξορμήσειεν ἂν A. 20. καθάπερ A. 22. ἀλλὰ σχήματι μόνῳ ἀποθανὼν C, om. P.

portus, Romam navigatura. sic per mare Boëmundus velut mortuus vehitur; speciem enim mortui praebebat et sarcophagus eaque quae circum illum fiebant: nempe vellebant comam circumfusi barbari dominum magnopere lamentantes, dum ipse ille supinus iacet hactenus mortuus, sed occultis foraminibus spiritum reciprocans. haec quidem in littoribus; sed ubi altum tenuit navis, cibis appositis eum curant; tum vero iterum eadem lamenta easdemque praestigiae. quin etiam, ne fetentis iam cadaveris indicium deesset, gallinaceum, quem strangularant vel mactarant, cum mortuo condunt: qui quarto quintove die molestissimum naribus odorem exhalavit. ac fetor Boëmundi cadaveris videbatur iis esse qui externa specie fallebantur. sed magis ipse ficto suo malo fruebatur, ita ut maxime mirer, quomodo etiamtum sentiens nasi dolorem putrescens cadaver secum habens perferre potuerit. at vero hinc didici barbaros, quidquid susceperint, irrevocabiles nec quidquam tam difficile esse, quod non perferant, cum semel susceptis ultro laboribus se dederint. is

ὤφθη πρὸς στρατιώτην φερεπονώτατον τὸν Ταγγρέ. καὶ
B οὔτε πρὸς τὰς βροντὰς ἐκείνου τῶν ἀπειλῶν κατεκροτήθη
V. 277 τὴν ἀκοὴν οὔτε κεραυνοφόρου τούτου ἐληλυθότος διὰ τῶν
κατὰ Κιλικίαν πορθήσεων πρὸς τὰς ἀστραπὰς ἐνητένιζεν.
ὁ μὲν γὰρ Ταγγρὲ ἀθρόον ἐξ Ἀντιοχείας στρατεύσας στρα- 5
τὸν μυρίανδρον καὶ διχῇ τούτους διελόμενος τοὺς μὲν διὰ
τῆς ἠπείρου πέμπει ταῖς Μόψου πόλεσι, τοὺς δὲ ναυσὶ
τριήρεσιν ἐμβαλὼν διὰ τῆς θαλάττης ἄγει τῷ ποταμῷ Σά-
ρωνι. ῥεῖ δὲ ἄνωθεν οὗτος ἀπὸ τῶν τοῦ Ταύρου ὀρῶν καὶ
διὰ μέσου παραρρέων τῶν δυεῖν πόλεων Μόψου, τῆς τε 10
C καταλελυμένης καὶ τῆς ἱσταμένης, ἐς τὸ Συριακὸν ἐκδίδωσι
πέλαγος. ἀφ' οὗ αἱ νῆες ἀναπλεύσασαι τοῦ Ταγγρὲ καὶ τῷ
στόματι πελάσασαι τούτου τοῦ ποταμοῦ πρὸς τὰς γεφύρας
ἀνήχθησαν, αἳ τὰς ἀμφοτέρας πόλεις ξυνάπτουσι. περιερ-
ρεῖτο τοίνυν ἡ πόλις ἑκατέρωθεν τῷ στρατεύματι βαλλο- 15
μένη. ἔνθεν τοι καὶ ῥᾳδίως εἶχον διαναυμαχεῖν πρὸς τὴν
πόλιν οὗτοι καὶ πεζομαχεῖν ἐκ θατέρου οἱ ἀπὸ τῆς γῆς
αὐτὴν ἐπιθλίβοντες. ὁ δὲ ὥσπερ μηδεμιᾶς καινοτομίας
ὑπούσης μηδὲ τοσούτου σμήνους στρατιωτῶν περιβομβοῦντος
κύκλῳ τὴν πόλιν ὀλίγα τούτων ἐφρόντιζεν οὐκ οἶδ' ὅ τι 20
παθὼν καὶ ἀναξίως τότε τῆς αὐτοῦ γενναιότητος διατεθείς.
D τοῦτο εὐμισητότατον τὸν ἄνδρα τῷ βασιλικῷ στρατεύματι

7. πύλαισι C. 10. δυεῖν F, δύο P. 11. ἐς F, εἰς P.
12. τῷ στόματι F, τὰ στόματα P.

tionis tempore adversus Tancredum militem illum impigerrimum animo prorsus deficeret. nec minarum tonitru aures eius obstrepuit neque cum ille Iovis tonantis instar venisset, Cilicia devastata adductus est ut ad fulmina attenderet. Tancredus enim subito Antiochia profectus cum decem millibus armatorum bipartito distributis unam copiarum partem terrestri itinere ad Mopsi urbes misit, alteram in triremes impositam maritimo cursu ad Saronem amnem duxit, qui ex Tauri profluens montibus inter duas Mopsi urbes, alteram olim destructam, recens aedificatam alteram, in Syriacum mare effunditur; unde Tancredi classis illius fluminis ostia advecta usque ad ipsos, qui duas conectunt civitates, pontes pervenit. hinc iam utrimque urbs ab exercitu premitur, classe a fluvio urbem facile aggrediente, terrestribus vero copiis ab altera parte urgentibus. interea ille, quasi nihil eveniret insoliti nec tantum militum examen urbem circumstreperet, nescio quomodo sua certe ipsius virtute ipse plane indignus minimam eorum rationem habuit; quae res incredibile ei odium in imperatorio exercitu concitavit. quanta

πεποίηκε. τί οὖν ἔδει παθεῖν τὰς Κίλικας πόλεις ὑπὸ τη-
λικούτου καταστρατηγουμένας ἀνδρός; τά τε γὰρ ἄλλα ὁ
Ταγγρὲ ῥωμαλεώτατος τῶν κατ' αὐτὸν ἐγεγόνει καὶ εἰς στρα-
τηγικὴν ἐμπειρίαν τῶν σφόδρα θαυμαζομένων, πολιορκῆσαι
5 δὲ πόλεις ἀφυκτότατος στρατηγός. καὶ θαυμάσειέ τις ἐνταυ-
θοῖ γεγονώς, πῶς τὸν αὐτοκράτορα διέλαθε τὸ τοῦ Ἀσπιέτου
ἀπειροπόλεμον. ἐγὼ δ' ἂν ὑπεραπολογησαίμην τοὐμοῦ πατρός,
ὅτι τὸ τοῦ γένους ἐπίσημον τὸν αὐτοκράτορα πέπεικεν, ὡς ἥ τε P. 350
τοῦ γένους λαμπρότης καὶ τὸ τοῦ ὀνόματος περιβόητον πολλὰ
10 συνεισενεγκεῖν ἔχοι τῇ τοῦ Ἀσπιέτου ἀρχῇ. ἦν γὰρ τῶν Ἀρσα-
κιδῶν τὰ πρῶτα φέρων ἐκεῖνος καὶ ἐκ βασιλικοῦ καταγόμενος
αἵματος. ἔνθεν τοι καὶ στρατοπεδάρχην αὐτὸν ἠξιώκει πάσης
ἀνατολῆς καὶ εἰς ὑπερηφάνους βαθμίδας ἀνήνεγκεν ἄλλως
τε καὶ πεῖραν τῆς ἀνδρείας ἐκείνου λαβών. καὶ γὰρ ὁπόταν
15 τῷ Ῥομπέρτῳ συνεκρότησε πόλεμον ὁ αὐτοκράτωρ καὶ ἐμὸς
γενέτης, καθάπερ ἐμνημόνευσα, κατὰ τὴν τοῦ πολέμου ἐκεί-
νου σύρραξιν Κελτός τις ὑπερωμίας ἰθύνας τὸ δόρυ καὶ B
μυωπίσας τὸν ἵππον καθάπερ τις σκηπτὸς ἐμπίπτει τῷ
Ἀσπιέτῃ. ὁ δὲ τοῦ ξίφους ἐπιδραξάμενος δέχεται τὴν τοῦ
20 Κελτοῦ βιαίαν φορὰν καὶ τιτρώσκεται μὲν καιριωτάτην πλη-
γὴν τοῦ δόρατος τὸν πνεύμονα μὲν παραμείψαντος, ἐκεῖθεν
δὲ διὰ τῆς ῥάχεως διενεχθέντος· ὁ δὲ μήπω συγχυθεὶς τῇ

3. ῥωμαλεώτατος F, ῥωμαλαιώτατος P. 7. τοῦ μοῦ P, correxi.
10. συνεισενεγκεῖν FC, συνεισενεγκεῖναι P. ἔχοι F, ἔχει P.

igitur Ciliciae urbibus perpetienda fuere ab eiusmodi viro expugnatis, qui et ipse omnium fortissimus fuit et admirandam cum ceterarum rei bellicae artium tum imprimis oppugnandarum urbium peritiam sibi paraverat? ac si quis forte miretur, quomodo imperator istam Aspietae rei militaris imperitiam ignoraverit tantamque ei commiserit provinciam, ad patrem defendendum sat argumenti eximia affert Aspietae nobilitas nominisque fama. principem enim locum inter Arsacidas obtinebat regio genere natus. quare ad eum stratopedarchae totius Orientis dignitate ornatum amplissimos omnium honores detulerat, praesertim cum perspectam illius viri fortitudinem haberet. nam imperatore, patre meo, adversus Robertum bellum gerente, quod supra enarravimus, in proelio Gallus quidam altis humeris omnes superans infesta hasta subditisque equo calcaribus turbinis instar in Aspieten incidit, qui, licet gravem Galli impetum stricto gladio excepit, saevissimo vulnere affectus est cuspide praeter pulmonem ad dorsi spinam penetrante. neque vero ob

πληγῇ μηδὲ τῆς ἕδρας ἐκκυλισθείς, ἀλλ' ἑδράσας ἑαυτὸν ἰσχυρότερον παίει τὸν βάρβαρον κατὰ τῆς κόρυθος καὶ δίχα διαιρεῖ καὶ τὴν κεφαλὴν καὶ τὴν κόρυθα. καὶ πίπτουσι καὶ
C ἄμφω τῶν ἵππων, ὁ μὲν νεκρὸς ὁ Κελτός, ὁ δ' Ἀσπιέτης ἔτι ἐμπνέων. ὃν οἱ ἀμφ' αὐτὸν ἀνελόμενοι γεγονότα παν- 5
V. 278 τάπασιν ἔξαιμον καὶ καλῶς ἐπιμεληθέντες πρὸς τὸν αὐτοκράτορα ἤνεγκαν δεικνύντες καὶ τὸ δόρυ καὶ τὴν πληγὴν καὶ τὸν θάνατον τοῦ Κελτοῦ διηγούμενοι. ταύτης τῆς οὐκ οἶδ' ὅπως ἀνδρείας καὶ τόλμης τὸ τηνικαῦτα τῷ Ἀσπιέτῃ μεμνημένος ὁ αὐτοκράτωρ καὶ τούτοις ἐπισυνάψας τὸ γένος καὶ 10
τὴν ἀπὸ τοῦ γένους εὔκλειαν * ἀξιόμαχον στρατηγὸν ἀποστέλλει κατὰ τὴν Κιλικίαν πρὸς τὸν Ταγγρὲ στρατοπεδάρχην τοῦτον προχειρισάμενος, καθάπερ φθάσασα γέγραφα.

3. Ἀλλὰ ταῦτα μὲν περὶ τούτων· πρὸς δέ γε τοὺς
D κατὰ τὴν ἑσπέραν ἐνδιατρίβοντας ἡγεμόνας ἑτέρας ἐκπέμπει 15 γραφὰς κατευθὺς Σθλανίτζης τὴν πορείαν ἐντειλάμενος ποιεῖσθαι. τί δέ; τοὺς μὲν προμάχους μετεκαλεῖτο, αὐτὸς δὲ ἀναπεπτώκει ῥᾳστώνης ἀπολαύων καὶ βαλανείοις χρώμενος, ὁποῖα εἰώθασιν οἱ τὸν βοσκηματώδη βίον προελόμενοι βασιλεῖς; οὐμενοῦν, ἀλλ' οὐδὲ περὶ τὰ ἀνάκτορα ὅλως ἐν- 20
P. 351 διατρίβειν ἔτι ἠνέσχετο. ἐξεληλυθὼς δὲ τοῦ Βυζαντίου, ὡς ἄνωθεν εἴρηται, κατὰ τὸ μέσον τῶν ἑσπερίων ἐληλύθει χω-

1. ἐκκυλυσθεὶς F. 7. τὸ addidi. 9. τῷ ἀσπιέτῃ F, om. P. 11. τοῦ γένους F, τοῦ om. P. τετιμηκὼς ὡς ἀξιόμαχον στρατηγὸν? 12. τοῦτον προχειρισάμενος C, τετιμηκώς P. 17. Τί (ὁ m. 2) F.

id perturbatus, sed firmiter equo insidens tali ictu barbarum ferit, ut et caput ei et galeam discinderet. quo facto uterque de equo cecidit, Gallus exanimis, Aspietes adhuc spirans. quem plane exsanguem qui circumstabant erigunt benigneque curatum ad imperatorem pertulerunt ostendentes hastam et vulnus Gallique necem referentes. cuius virtutis et audaciae mirae recordatus imperator, reputato etiam generis illius splendore, ut peritissimum pugnandi ducem strato pedarchae, ut supra dixi, honore insignitum in Ciliciamque missum Tancredo opposuit.

3. Sed de his satis. imperator vero duces, qui per universum sparsi erant occidentem, litteris datis quam primum cum copiis iussit ad Sthlanitzam contendere. quid igitur? propugnatores quidem arcessivit, ipse interea cessavit et regum more beluinam vitam praeferentium otio balnearumque deliciis usus est? immo ne in regia quidem morari sustinuit, sed relicto, ut supra narravi, Byzantio per

ρῶν τὴν Θετταλοῦ πόλιν καταλαβὼν εἰς μῆνα Σεπτέμβριον
ἐπινεμήσεως τεσσαρεσκαιδεκάτης εἰκοστοῦ ἔτους ὄντος, ἐξ
οὗ τὰς τῆς βασιλείας ἡνίας περιεζώσατο. καὶ τὴν Αὔ-
γουσταν δὲ παρεβιάσατο συνεξεληλυθέναι μετ' αὐτοῦ. ὁ γὰρ
5 τρόπος ἐκείνης τοιοῦτός τις ἦν. οὐ πάνυ τι δημοσιεύεσθαι
ἤθελεν, ἀλλὰ τὰ πολλὰ μὲν οἰκουροῦσα ἦν καὶ τὰ ἐκείνης
ἔργα ἐποίει, λέγω δὲ βίβλων τε ἀνελίξεις τῶν μακαρίων
ἀνδρῶν καὶ τὸ πρὸς ἑαυτὴν ἐπιστρέφειν καὶ εὐποιΐας καὶ
χάριτας εἰς ἀνθρώπους, μάλιστα δὲ εἰς ἐκείνους, οὓς οἶδεν B
10 ἀπό τε τοῦ σχήματος ἀπό τε τοῦ βίου θεραπεύειν Θεὸν
καὶ προσευχῇ προσανέχειν καὶ καταλλήλοις ᾠδαῖς. ἐπειδὰν
δὲ μέλλοι δημοσιεύσειν ἑαυτὴν κατά τινα χρείαν ἀναγκαιοτά-
την ὡς βασιλίδα, αἰδοῦς τε ὑπεπίμπλατο καὶ ἐρύθημα εὐθὺς
ἐξηνθήκει ταῖς παρειαῖς. καὶ ἡ μὲν φιλόσοφος Θεανὼ τοῦ
15 πήχεως αὐτῆς γυμνωθέντος, ἐπειδή τις παίζων εἰρήκει πρὸς
ταύτην "καλὸς ὁ πῆχυς", "ἀλλ' οὐ δημόσιος" εἶπεν ἐκείνη·
ἡ δὲ βασιλὶς καὶ μήτηρ ἐμή, τὸ τῆς σεμνότητος ἄγαλμα, τὸ
τῆς ἁγιότητος καταγώγιον, μὴ ὅτι γε πῆχυν ἢ βλέμμα δημο- C
σιεύειν ἠγάπα, ἀλλ' οὐδὲ φωνὴν ἐκείνης ἤθελεν εἰς ἀσυνή-
20 θεις παραπέμπεσθαι ἀκοάς. τοσοῦτον ἦν ἐκείνη χρῆμα

2. τεσσαρεσκαιδεκάτης εἰκοστοῦ F, ιδʹ. κʹ. P: cf. Ducang. ad h. l. ὄντος FC, οὗτος P. 4. συνεξεληλυθέναι AC, συνεξηληλυθέναι P. 6. ἐκείνης] ἐγκλείστης? 12. δημοσιεύσειν F, δημοσιεύειν PA. 13. ὑπεπίμπλατο FA, ὑπεμπίπλατο P. 15. πήχεως F, πήχεος PA.

medias occidentales terras Thessalonicam urbem petiit Septembri mense indictione decima quarta vicesimo ab eo tempore anno, quo imperium capessiverat, Augustam secum ducens quamvis invitam. neque enim ea illius indoles fuit, ut in publicum libenter prodiret, sed ut plerumque domi manens suis fungeretur officiis, veluti ut sanctorum patrum evolveret libros, mente intueretur semet ipsam, operam daret beneficentiae ac munificae in eos praesertim homines liberalitati, quos et ex habitu et ex ipso vitae specimine deo servire intellegebat et precibus vacare cantibusque alternare. quotiens autem prodeundi in publicum ei praecipua ut reginae erat necessitas, pudore tenebatur magnoque statim rubore suffundebantur eius genae. Theano quoque ferunt philosophiae studiosam, cum quis forte nudato eius brachio conspecto iocans dixisset "o pulcrum brachium", sic respondisse "at non publicum". itaque regina et mater mea, gravitatis simulacrum, sanctitatis domicilium, adeo non cubitum oculumve in publicum proferre solebat, ut ne vocem quidem insuetis vellet auribus immittere. tam mirabile igitur illa verecun-

θαυμάσιον εἰς αἰδῶ. ἐπεὶ δὲ ἀνάγκῃ οὐδὲ θεοί, φησι, μάχονται, ἀναγκάζεται πρὸς τὰς συχνὰς τοῦ αὐτοκράτορος ἐκστρατεύσεις αὐτῷ παρακολουθεῖν. κατεῖχε μὲν γὰρ αὐτὴν ἡ σύμφυτος αἰδὼς ἔνδον τῶν βασιλείων, τὸ δὲ πρὸς τὸν αὐτοκράτορα φίλτρον καὶ ἡ διάπυρος πρὸς ἐκεῖνον ἀγάπη 5 ἐξῆγεν αὐτὴν καὶ μὴ βουλομένην τῶν ἀνακτόρων διὰ ταυτασὶ τὰς αἰτίας, πρῶτον μὲν ὅτι τὸ συμπεσὸν αὐτῷ νόσημα τῶν D ποδῶν ἐπιμελείας ἐδεῖτο πλείστης. καὶ γὰρ ἀλγηδόνας εἶχε V. 279 δριμείας ὁ αὐτοκράτωρ ἐκ τῆς ποδαλγικῆς διαθέσεως καὶ οὐδεμίαν ἐπαφὴν οὕτω προσίετο ὡς τῆς ἐμῆς δεσποίνης 10 καὶ μητρός. ἐμμελῶς τε γὰρ αὐτῷ προσεφέρετο καὶ προσψαύουσα δεξιῶς τὰς ὀδύνας τῶν ποδῶν ὑπεκούφιζέ πως. ὁ γάρ τοι βασιλεὺς ἐκεῖνος (καὶ μοὶ μηδεὶς τῆς περιαυτολογίας ἐπιμεμφέσθω· τὰ γὰρ οἰκεῖα θαυμάζω· μηδ' ὡς καταP. 352 ψευδομένην τοῦ αὐτοκράτορος ὑφοράσθω· τὰ γὰρ ἀληθῆ 15 λέγω) πάντα τὰ ἑαυτοῦ καὶ τὰ κατ' αὐτὸν κατόπιν ἐποιεῖτο τῆς σωτηρίας τῶν πόλεων. οὐδὲν γὰρ ἐχώριζεν αὐτὸν τῆς τῶν Χριστιανῶν ἀγάπης, οὐκ ἀλγηδόνες, οὐχ ἡδοναί, οὐ πολέμων κακώσεις, οὐκ ἄλλο οὐδέν, οὐ μικρὸν οὐ μέγα, οὐχ ἡλίου φλογώσεις, οὐ χειμώνων δριμύτητες, οὐ προσβο- 20 λαὶ βαρβάρων παντοδαπαί· ἀλλ' ἀκλινῶς εἶχε πρὸς ἅπαντα ταῦτα καὶ ὤκλαζε μὲν πρὸς τὴν φύρσιν τῶν νοσημάτων, ἀντανέθορε δὲ πρὸς τὴν βοήθειαν τῶν πραγμάτων. δεύτερον

1. φησὶ F, φασὶ P. 11. ψαύουσα AC. 17. πολλῶν?
22. φύρσιν scripsi: φύσιν P.

diae erat exemplar. verum quoniam necessitati ne dii quidem, ut dicitur, resistere queunt, euntem saepissime in expeditiones imperatorem comitari cogitur. quamvis enim innatus eam pudor in regia retineret, caritas tamen fervensque in imperatorem amor ex aula illam licet invitam hasce ob causas eduxit. primum is, quo imperator affligebatur, pedum morbus, cum acerbissimis eum afficeret doloribus, cura indigebat vel diligentissima. neque quemquam tam desiderabat pedes suos contrectare quam dominam matremque meam, quae curiose ac perite fricando tractandoque pedum dolores aliquantum permulcebat. imperator vero ille (mihi sane nemo magniloquentiam obiciat: domestica enim admiror; neve me mentiri de imperatore suspicetur: vera enim loquor) sua ipsius commoda urbium saluti postponebat: nihil enim eum a Christianorum amore seiunxit, non dolores neque voluptates neque bellorum aerumnae neque aliud quidquam aut parvum aut magnum neque solis ardores aut frigora hiemis neque cuiusvis generis adversus barbaros proelia. sed constanter ea omnia pertulit, et quamquam morbis defatigabatur corpus, tamen succurrebat, quocumque vocaverat salus publica. altera deinde eaque

δὲ καὶ μέγιστον αἴτιον τοῦ τὴν βασιλίδα συνοπαδὸν εἶναι
τῷ αὐτοκράτορι, ὅτι τοι πολλῶν ἐπιβούλων ἀναφυομένων B
ἀπανταχόθεν πολλῆς ἐδεῖτο τῆς ἐπιβλέψεως καὶ ὡς ὄντως
πολυομμάτου δυνάμεως. καὶ γὰρ καὶ νὺξ αὐτῷ ἐπίβουλος
5 ἦν καὶ τὸ μεσαίτατον τῆς ἡμέρας, καὶ ἡ ἑσπέρα προσαν-
έφυέ τι κακὸν καὶ ἡ πρωΐα ἐξέκταινε χείριστα· μάρτυς τού-
των Θεός. ἆρ' οὖν οὐκ ἔδει τὸν βασιλέα ὑπὸ τοσούτων
κακῶν ἐπιβουλευόμενον ὑπὸ μυρίων ὀμμάτων φρουρεῖσθαι,
τῶν μὲν ἐπιτοξαζόντων αὐτῷ, τῶν δὲ τὸ ξίφος παραθηγόν- C
10 των, τῶν δ' ἀφιέντων, ὁπόταν οὐκ ἐνῆν τι δρᾶσαι, λοίδορον
γλῶτταν καὶ τὸ κακῶς εἰπεῖν; τίνα τοίνυν ἔδει παρεῖναι τῷ
βασιλεῖ σύμμαχον παρὰ τὴν σύμφυτον σύμβουλον; τίς μᾶλ-
λον ἐκείνης πλέον ἐπεσκέπτετο μὲν τὸν αὐτοκράτορα, ὑπε-
βλέπετο δὲ τοὺς ἐπιβουλεύοντας, [τίς] ὀξεῖα μὲν τὸ συμφέρον
15 ἐκείνῳ ἰδεῖν, ὀξυτέρα δὲ τὸ παρὰ τῶν ἐχθρῶν σκευωρούμενον
κατιδεῖν; διὰ ταῦτα καὶ πάντα ἐν πᾶσιν ἦν ἡ ἐμὴ μήτηρ τῷ D
δεσπότῃ μου καὶ πατρί, καὶ νύκτωρ ἄγρυπνον ὄμμα καὶ ἡμέρας
περιφανέστατος φυλακτὴρ καὶ τραπέζης καιροῖς ἀντίδοτος
ἀγαθὴ καὶ τῆς ἀπὸ τροφῶν ἀδικίας φυγαδευτήριον φάρμα-
20 κον. ταῦτα τοίνυν τὰ αἴτια τὴν σύμφυτον αἰδῶ τῆς γυναι- P. 353
κὸς ἐκείνης παρηγκωνίζετο, καὶ ἐθάρρει τοὺς ἄρρενας ὀφθαλ-

3. ὡς om. C. 5. ἡ ἑσπέρα F, ἡ om. P. 13. ἐπεσκέπτετο F, ὑπεσκέπτετο P. 14. τίς P, seclusi. 15. ὀξύτερον C. 18. ἀντίδοτος ἀγαθὴ F, ἀντίδοτον ἀγαθὸν P. 19. θεραπευτήριον C.

gravissima reginae fuit imperatoris comitandi causa tot insidiarum, quae parabantur ubique, periculum, id quod singularem requirebat curam tutelamque vere cautissimam. etenim et nox ei insidias tendebat et meridies, vesperque novum semper exitium moliebatur; matutinum denique tempus infaustissima struebat; quorum omnium testis est deus. quid ergo? nonne a tot nefariis hominibus circumventum principem sexcentis custodiri oculis oportebat, cum alii eum arcu peterent, alii gladium contra eum acuerent, alii tale quid moliri prohibiti verborum iniurias calumniasque iacerent? quemnam tum regi adesse oportuit praeter uxorem natura ad ipsi auxiliandum destinatam? quis ipsa melius consulebat imperatori eiusque insidiatores suspicabatur? sagax quippe fuit ad ea quae utilia erant providenda, sagacior ad perscrutandos inimicorum animos. itaque erat unica omnino in omnibus rebus domini et parentis mei spes in matre collocata, quae noctu quidem velut vigil oculus, die custos illustrissima, inter cenae pericula antidotum optimum et contra ciborum iniurias salutare remedium fuit. hae igitur causae innatam matronae illius verecundiam summovebant eamque de virorum oculis haud sollicitam

μούς· καίτοι οὐδὲ τότε τῆς συνήθους εὐκοσμίας ἐπελανθάνετο, ἀλλὰ καὶ βλέμματι καὶ σιγῇ καὶ τῇ περὶ αὐτὴν θεραπείᾳ
V. 280 τοῖς πλείοσι μὲν ἀγνωστοτέρα ἐτύγχανε· καὶ τοῦτο μόνον, ὅτι βασιλὶς παρέπεται τῷ στρατεύματι, ὁ φερόμενος ταῖν ἡμιόνοιν οἰκίσκος ἐδείκνυ καὶ τὸ ἄνωθεν βασιλικὸν καταπέ- 5 τασμα, τὰ δ' ἄλλα ἐπηλυγάζετο τὸ θεῖον ἐκείνης σῶμα. μόνον ὅτι πρόνοιά τις ἀρίστη τὰ κατὰ τὴν νόσον τοῦ βασιλέως διεξάγοι καὶ φρουρὰ βασιλέως ἀκοίμητος παρὰ πᾶσι
B διεγινώσκετο καὶ ὄμμα ἐγρηγορὸς καὶ μὴ ἐπινυστάζον τοῖς πράγμασι. καὶ ἡμεῖς δέ, ὅσοι περὶ τὸν αὐτοκράτορα εὖνοι, 10 περὶ τὴν ἐκείνου φρουρὰν διεπονούμεθά τε καὶ συνηρόμεθα τῇ δεσποίνῃ καὶ μητρὶ ἕκαστος ὡς εἶχεν ὅλῃ ψυχῇ καὶ γνώμῃ μηδ' ἐπινυστάζοντες ὅλως. ταῦτα πρὸς τοὺς φιλοσκώμμονας καὶ τὰς φιλολοιδόρους γλώττας γεγράφαται. τόν τε γὰρ ἀναίτιον ὑπ' αἰτίασιν ἄγουσι (καὶ τοῦτον οἶδε τὸν 15 ἀνθρώπινον τρόπον καὶ ἡ Ὁμήρου Μοῦσα) καὶ τὰ καλῶς πεπραγμένα διαφαυλίζουσι καὶ ὑπὸ μέμψιν ποιοῦσι τὸ
C ἄμεμπτον. καίτοι ἐκείνη κατὰ τὴν ἐκστρατείαν τὴν κατ' ἐκεῖνο καιροῦ γεγονυῖαν (κατὰ γὰρ τοῦ Βαϊμούντου τὴν ὁρμὴν ὁ βασιλεὺς ἐπεποίητο) τὸ μέν τι ἄκουσα, τὸ δ' ἑκου- 20 σίως συνείπετο. οὐ γὰρ συνεισβαλεῖν ἔδει τὴν βασιλίδα τῷ

1. *συνήθους* om. C. 3. *ἀγνωστότερον* C. 8. *διεξάγοι* F, *διεξάγει* P. 13. *ἐπινυστάζοντες* F, *ἐπινυστάζοντος* sententiis perperam distinctis P. 20. *τι* F, *τοι* P.

esse adduxerunt. quamquam ne tunc quidem consuetae modestiae umquam oblita est, verum tam oculorum obtutu quam silentio et cultus modestia plerisque fuit occultior. unum hoc, imperatricem castra sequi, indicavit lectica duabus mulabus vecta et imperatorio desuper tapete cooperta: ceterum divinum eius corpus latebat. id solum omnibus notum erat, insignem quandam curam omnia morbo imperatoris necessaria suppeditare, custodem regis numquam dormire, oculo vigili esse nec umquam connivente in officiis. sed etiam nos, quicumque imperatori bene volebamus, ei custodiendo laborabamus coniunctis cum domina et matre viribus pro se quisque tota mente totoque animo neque umquam defatigati. haec adversus obtrectatores linguasque maledicas a me scripta sunt. innocentes enim probris obnoxii esse solent; quod quidem humanae naturae vitium nec Homeri Musa ignorabat; praeclare facta calumniantur resque inreprehensibiles in reprehensionem ducunt. illa igitur expeditionis tum temporis adversus Boëmundum ab imperatore susceptae partim invita partim prompta sese comitem dedit. nec utique conflictura imperatrix fuit cum barbaris

βαρβαρικῷ στρατεύματι. πῶς γὰρ ἄν; Τομύριδος ταῦτα καὶ Σπαρέθρας τῆς Μασσαγέτιδος, ἀλλ' οὐχὶ τῆς ἐμῆς Εἰρήνης. ἄλλοσε γὰρ ἐτρέπετο τὸ ταύτης ἀνδρεῖον καὶ ἄλλως ἐξώπλιστο, ἀλλ' οὐ τῷ τῆς Ἀθηνᾶς δόρατι οὐδὲ τῇ κυνέῃ τοῦ
5 Ἄϊδος· ἀλλ' ἀσπὶς μὲν ἐκείνῃ καὶ θυρεὸς καὶ ξίφος ἐς τὸ πρὸς τὰς συμφορὰς καλῶς ἀντιπαρατάσσεσθαι καὶ τὰς τοῦ D βίου ἐπαναστάσεις, ἃς οἶδεν ἡ βασίλεια τοῖς βασιλεῦσιν ἐπικειμένας, ἡ περὶ τὰ πράγματα δραστηριότης καὶ τὸ κατὰ τῶν παθῶν ἐπιπληκτικώτατον καὶ ἡ ἀνυπόκριτος πίστις, ὡς
10 Σολομῶντι δοκεῖ. οὕτως ἡ ἐμὴ μήτηρ καὶ πρὸς τοιούτους P. 354 πολέμους ἐσκεύαστο, τὰ δ' ἄλλα εἰρηνικωτάτη ἦν κατὰ τοὔνομα. ἀλλ' ἐπειδὴ τὰ μὲν τῆς συμπλοκῆς τῶν βαρβάρων ἔμελλε, πρὸς δὲ παρασκευὴν τῶν τῆς συμπλοκῆς ὁ βασιλεὺς ἀφεώρα καὶ τὰ μὲν ἀσφαλίσασθαι τῶν φρουρίων σκοπὸν εἶχε, τὰ δὲ
15 κατοχυρῶσαι καὶ ὅλως εὔοδα πάντα τὰ κατὰ τοῦ Βαϊμούντου καταστήσασθαι ἔσπευδε, συνεξυπήγετο καὶ τὴν βασιλίδα τὸ μέν τι καὶ ἑαυτοῦ ἕνεκα καὶ δι' ἃς αἰτίας εἰρήκειμεν, τὸ δέ τι καὶ ἐν τῷ ἀκινδύνῳ τῶν πραγμάτων ἔτι καθεστηκότων καὶ μήπω καιροῦ πολέμου ἐπιδεδημηκότος. ἀναλαβομένη τοίνυν ὁπόσον B
20 διὰ χρυσοῦ καὶ ἄλλης ποιότητος προσῆν αὐτῇ χάραγμα καὶ ἕτερά τινα τῶν χρημάτων ἔξεισι τῆς πόλεως. καὶ τοῦ λοιποῦ ἐν τῷ διϊέναι τὰς ὁδοὺς πᾶσι τοῖς ἐπαίταις καὶ τοῖς

2. σπαρέθας C. τῆς ἐμῆς μητρός? 5. ἐς addidi. 9. ἐπιεικτικώτατον A. 12. ἔμελε F. 17. τι F, τοι P. 18. τῷ ἀκινδύνῳ FC, τῷ om. P. 20. αὐτῇ] τῇ in ras. F.

copiis. quid enim? Tomyridis id fuerit et Sparethrae Massagetidis, non Irenes meae, quae in alias prorsus res virtutem conferebat armisque erat instructa aliis quam hasta Palladis galeave Plutonis. sed parma ei et scutum gladiusque, quo fortiter resisteret rebus adversis et vitae vicissitudinibus, quibus imperatrix reges norat expositos, strenua in agendo erat virtus, in cupiditates summa severitas, fides denique sincerissima, ut Solomoni videtur. his igitur mater mea ad eiusmodi bella armata fuit, cetera pro nomine suo moribus pacatissimis. sed quamvis nondum instante barbarorum impetu, omnia tamen ad eum imperator parare studebat. quare arces tutiores firmioresque reddidit providitque res omnes, quae adversus Boëmundum necessariae videbantur. coniugem vero secum duxit et sua ipsius causa ac propter rationes supra expositas et quod nondum periculum imminebat neque belli tempus aderat. sumptis igitur omnibus, quos tum habuit, nummis aureis et ex alio metallo et aliis praeterea rebus pretiosis ex urbe profecta per totam deinde viam

σισυροφόροις καὶ γυμνοῖς δαψιλῆ τὴν χεῖρα παρεῖχε· καὶ οὐδεὶς ὁ αἰτησάμενος καὶ κενὸς ἀπελθών. ἐπὰν δὲ τὴν
V. 281 ἀποτεταγμένην σκηνὴν κατειλήφει, οὐ πρὸς ῥᾳστώνην εὐθὺς ἀπέκλινεν εἴσω ταύτης γεγονυῖα, ἀλλ' ἀναπεταννῦσα ταύτην ἄνετον τοῖς αἰτοῦσι παρεῖχε τὴν εἴσοδον. τοῖς τοιούτοις 5
C γὰρ καὶ μάλα εὐπρόσιτος ἦν καὶ παρεῖχεν ἑαυτὴν ὁρᾶσθαί τε καὶ ἀκούεσθαι. οὐ χρημάτων δὲ μετεδίδου τοῖς πένησι μόνον, ἀλλὰ καὶ τὰ λῷονα συνεβούλευε. καὶ ὁπόσους μὲν εὐρώστους τὰ σώματα κατενόει, ῥᾳθύμως δὲ περὶ τὸν βίον ἔχοντας, πρὸς ἔργα καὶ πράξεις προὐτρέπετο, ἵν' ἐν- 10 τεῦθεν τὰ πρὸς χρείαν κομίζοιντο, καὶ μὴ δι' ἀμέλειαν ἀναπεπτωκότας θύραν ἐκ θύρας ἐπαιτοῦντας περινοστεῖν. καιρὸς δὲ οὐδεὶς τῆς τοιαύτης ἐργασίας ἀπεῖργε τὴν βασιλίδα. ὁ μὲν οὖν Δαυὶδ μετὰ κλαυθμοῦ τὸ πόμα κιρνῶν φαίνεται· ἡ δέ γε βασιλὶς αὕτη καὶ τροφὴν καὶ ποτὸν ἐλέῳ συγκεραν- 15
D νῦσα καθ' ἑκάστην ἐδείκνυτο. καὶ πολλὰ ἂν εἶχον εἰπεῖν περὶ ταύτης τῆς βασιλίδος, εἰ μὴ τὸ θυγάτριον εἶναι ψείδους παρεῖχεν ὑπόνοιαν καὶ ὅτι μητρὶ χαριζόμεθα. πρὸς δὲ τοὺς ταῦτα ὑπονοοῦντας παρέξομαι τοῖς λόγοις συνεπιμαρτυροῦντα τὰ πράγματα. 20

P. 355 4. Τὸν δέ γε αὐτοκράτορα τὴν Θεσσαλονίκην καταλαβόντα μεμαθηκότες οἱ ἐκ τῶν ἑσπερίων λήξεων, καθάπερ

3. ἀποτεταγμένην F, ἐπιτεταγμένην P. 4. ταύτης F, τούτης P. ἀλλ' F, ἀλλὰ P. 22. μεμαθηκότες μεμα F; μεμα ead. m. expunxit. ἑσπερίων λήξεων καθ in ras. F.

omnibus mendicis et pellibus tectis seu prorsus nudis largissimam manum porrigebat, adeo ut omnino nullus, qui petiisset ab ea, inanis abiret. postquam vero destinatum sibi tabernaculum occupavit, non hic otio sese dedit, sed eo aperto petitoribus aditum praebuit. his enim semper affabilis erat ac videndam audiendamque se libenter praebebat. neque pecuniam pauperibus largiri contenta meliora etiam iis suadebat; et quos forte viribus valentes vitam agere videbat otiosam, eos ad opera laboresque impulit, ut inde sibi peterent ad vitam necessaria neu languore oppressi ostiatimque mendicantes vagarentur. nec ullum umquam tempus ab illa beneficentia imperatricem detinuit. itaque David quidem potum fletu miscuisse constat, imperatricem vero et escam quamlibet et potum cum misericordia habere cotidie commixta patebat. multa hercle sunt, quae de hac imperatrice mihi tradere liceret, nisi filiae testimonium mendacii suspicionibus obnoxium foret, quasi in matris gratiam confictum esset. equidem sane adversus eos, qui talia suspicantur, verbis meis actiones ipsas testes proferam.

4. Ad imperatorem autem, ubi Thessalonicam eum pervenisse cognitum est, occidentis partium milites, veluti centrum gravia cor-

τὰ βαρέα τῶν σωμάτων ἐπὶ κέντρα φέρεται, οὕτω δὴ καὶ
ἅπαντες πρὸς αὐτὸν ἐφοίτων. ἀκρὶς μὲν οὖν οὐ προηγή-
σατο τῶν Κελτῶν καθαπερεὶ τῶν πρότερον διελθόντων· ἐν
οὐρανῷ δὲ κομήτης ἐφάνη μέγας καὶ τῶν πάλαι φανέντων ὁ μέ-
5 γιστος, ὃν οἱ μὲν δοκίδα, οἱ δ' ἀκοντίαν ἔφασαν εἶναι. ἔδει γὰρ
τῶν μελλόντων καινισθῆναι ξενοπρεπῶν πραγμάτων προοίμιά
τινα προκαταγγελτικὰ τούτων μηνυθῆναι ἄνωθεν. καὶ γὰρ ἦν B
τοῦτον θεᾶσθαι ἐπὶ τεσσαράκοντα νυχθημέροις ὅλοις παμ-
φαίνοντα· ἐφαίνετο δὲ ἀπὸ τῶν δυτικῶν μερῶν ἐξιὼν καὶ
10 πρὸς ἀνατολὰς ἡλίου διήκων. ὃν οἱ θεώμενοι ἅπαντες ἐκ-
δειματούμενοι ἐζήτουν, τίνων ὁ ἀστὴρ ἄγγελός ἐστιν. ὁ δὲ
αὐτοκράτωρ μηδὲ πάνυ τοῖς τοιούτοις προσέχων, ἀλλὰ φυ-
σικῆς τινος ἐξηρτῆσθαι τὰ τοιαῦτα αἰτίας δοξάζων, ὅμως
ἠρώτα τοὺς περὶ τὰ τοιαῦτα δεινούς· μεταπεμψάμενος δὲ
15 καὶ τὸν τῆς ἐπαρχίας τοῦ Βυζαντίου τὴν ἀξίαν πρώην εἰληφότα
Βασίλειον (ἀνὴρ δὲ οὗτος πολλὴν τὴν περὶ τὸν αὐτοκράτορα C
εὔνοιαν ἐνδεικνύμενος) περὶ τοῦ φανέντος ἀστέρος ἐπυνθά-
νετο. ὁ δὲ ἐς νέωτα φυλάξειν ἐπηγγείλατο τὴν ἀπόκρισιν
καὶ ἀπελθὼν οὗ κατέλυε (τέμενος δὲ τοῦτο ἐπ' ὀνόματι
20 τοῦ εὐαγγελιστοῦ Ἰωάννου πάλαι ἀνοικοδομηθέν), ἐπεὶ πρὸς
δυσμὰς ὁ ἥλιος ἦν, περιεσκόπει τὸν ἀστέρα. διαπορουμένῳ
δὲ καὶ καμόντι τοῖς λογισμοῖς ὑπνῶσαι ξυμβεβήκει καὶ τηνι-

1. κέντρῳ A. 6. ξενοπρεπῶν F, ξενοπρεπῶς P. 8. θεᾶσθαι F, θεάσασθαι P. νιχθημέροις P, correxi. ἡμέρας καὶ νύκτας ὅλως A. 15. τὸν C, om. P. βυζωτοῦ A. τὴν A, om. P. πρώην FC, πρώτην P. 20. ἀποστόλου εὐαγγελιστοῦ F. 22. ξυμβεβήκει A, ξυμβέβηκεν F, ξυμβέβηκε P.

porum petunt, undique confluunt. Gallorum tunc adventus non praeiens, ut antea, locusta indicio fuit, sed in caelo apparens cometes magnus vel potius omnium, qui olim visi sunt, maximus, quem alii ad genus trabalium, alii vero iacularium pertinere contendebant. oportuit enim nova atque insolita quae eventura erant caelestibus quibusdam indiciis praenuntiari. nam oculis ille pleno lumine sese praebebat quadraginta dierum noctiumque spatio atque ab occiduis partibus ortus in orientem solem tendebat. quo viso obstupefacti omnes, cuius ille rei afferret nuntium, sciscitabantur. imperator vero, etsi talibus rebus minime addictus, sed naturalibus eas assignandas causis ratus, peritos tamen tunc huiusmodi rerum viros, quin etiam arcessitum ad se Basilium, Byzantii praefectura nuper donatum, quem imperatori maxime deditum esse constabat, ea de re consuluit. ille proximo die se responsurum esse dixit et in locum, ubi deverterat, reversus (templum id fuit in honorem Ioannis evangelistae olim extructum) post solis occasum astrum intuebatur.

καῦτα τὸν ἅγιον θεάσασθαι ἱερατικῶς ἐσταλμένον. ὁ δὲ περιχαρὴς γεγονὼς οὐκέτ' ὄναρ ἐδόκει, ἀλλ' ὕπαρ ὁρᾶν.
D ἔνθεν τοι καὶ γνωρίσας τὸν ἅγιον ἔμφοβος γενόμενος μεθ' ὑποστολῆς ᾐτεῖτο, τίνων ἀγγελτικὸς ὁ ἀστήρ ἐστι, γνωρίσαι οἱ. ὁ δὲ Κελτῶν κίνησιν προσημαίνειν τοῦτον ἔφη· "τὸ 5
V. 282 δὲ σβέννυσθαι τὴν τούτων αὐτοῦ που κατάλυσιν δηλοῖ." ἀλλὰ περὶ μὲν τοῦ φανέντος ἀστέρος τοιαῦτα· ὁ δὲ βασιλεὺς τὴν Θεσσαλονίκην καταλαβών, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, ἡτοιμάζετο πρὸς τὴν τοῦ Βαϊμούντου διαπεραίω-
P. 356 σιν ἐκπαιδεύων μὲν τοὺς νεολέκτους τόξον τε τείνειν καὶ 10 βέλη κατὰ σκοποῦ πέμπειν καὶ περιφράττεσθαι θυρεῷ, ἀλλὰ καὶ ξενικὰς ἐξ ἀλλοδαπῶν διὰ γραμμάτων παρασκευάζων δυνάμεις, ἵν' ὁπηνίκα καιρὸς καλοίη, θᾶττον παραγένωνται. πολλὴν δὲ καὶ τὴν τοῦ Ἰλλυρικοῦ ἐπεποίητο πρόνοιαν. τήν τε πόλιν τὸ Δυρράχιον ἀσφαλισάμενος καὶ ἡγεμόνα 15 ταύτης τὸν δεύτερον υἱὸν Ἰσαακίου τοῦ σεβαστοκράτορος Ἀλέξιον καταστησάμενος. ἅμα δὲ κἀκ τῶν Κυκλάδων νήσων καὶ τῶν παρὰ θάλασσαν τῆς Ἀσίας πόλεων καὶ αὐτῆς τῆς
B Εὐρώπης στόλον παρεκελεύσατο ἀπαρτίσαι· πολλῶν δὲ παρεμποδιζόντων τὴν τοῦ στόλου κτίσιν διὰ τὸ μήπω τὴν τοῦ 20 Βαϊμούντου κατεπείγειν διαπεραίωσιν, ὁ δ' ὅμως οὐκ ἐπείθετο λέγων δεῖν εἶναι τὸν στρατηγὸν ἀνύστακτον φύλακα

4. ἀγγελικὸς A. 18. θάλασσαν F, θάλατταν P.

ita laborans et computationibus defatigatus accidit ut somno caperetur et sanctum illum sacerdotali toga ornatum conspiceret. ipse, licet maxime gauderet non somnium, sed veram videre visionem ratus, agnito tamen sancto obstupefactus animo demisso ab eo petiit, ut, quorumnam stella eventuum nuntia esset, sibi indicaret. cui ille Gallorum motus astro praenuntiari dixit, "quo extincto" inquit "eo ipso in loco eorundem exitium significatur." hactenus de astri apparitione. at imperator Thessalonicam profectus omnia, ut supra expositum est, contra Boëmundi traiectionem parabat cum tirones nuper delectos ad arcum strenue intendendum, ad feriendum telis scopum et ad corpus scuto tuendum exercens tum missis litteris auxilia ex exteris gentibus evocans, ut quamprimum tempus posceret, illuc advolarent. singularem vero curam de Illyrico adhibuit; nam Dyrrachium urbem firmavit eique Isaacii sebastocratoris alterum filium Alexium imposuit praefectum. eodem tempore ex insulis Cycladibus maritimisque Asiae et ipsius Europae urbibus instrui classem iussit. ac licet multi, ne naves cogerentur, intercederent, quia nondum immineret Boëmundi traiectio, ipse tamen ut his

καὶ μὴ πρὸς τὰ ἐν ποσὶ μόνον παρασκευάζεσθαι, ἀλλὰ καὶ τὰ πόρρω ὁρᾶν μήτε μὴν φειδοῖ χρημάτων καιροῦ καλοῦντος ἀνέτοιμον φαίνεσθαι καὶ μᾶλλον, ὁπηνίκα ἔφοδον ἐχθροῦ αἴσθηται. ταῦτα τοίνυν δεξιώτατα διαθέμενος ἐκεῖθεν μετ-
5 αναστὰς καταλαμβάνει τὴν Στρούμπιτζαν κἀκεῖθεν αὖθις ἄχρι τοῦ Σλοπίμου. μεμαθηκὼς δὲ καὶ τὴν Ἰωάννου τοῦ υἱοῦ τοῦ σεβαστοκράτορος ἧτταν κατὰ τῶν Δαλματῶν προ- C αποσταλέντος δυνάμεις ἀποχρώσας ἐκπέμπει εἰς ἀρωγήν. ὁ μὲν οὖν Βολκάνος εὐθὺς πονηρότατος ὢν ἐρωτᾷ πρὸς
10 τὸν βασιλέα τὰ περὶ εἰρήνης καὶ τοὺς ζητηθέντας ὁμήρους ἐκπέμπει. ἐκεῖνος δὲ ἐγκαρτερήσας ἐπὶ ἐνιαυτὸν ἕνα καὶ μῆνας δύο, ὡς τὸν Βαϊμοῦντον ἔτι ἐν τοῖς τῆς Λογγιβαρδίας μέρεσι διατρίβοντα ἐπεπληροφόρητο, τοῦ χειμῶνος ἐπικαταλαμβάνοντος ἤδη, τοὺς στρατιώτας πρὸς τὰς σφῶν οἰκίας
15 ἐξέπεμψεν, αὐτὸς δὲ τὴν Θεσσαλονίκην καταλαμβάνει. ἐν δὲ τῷ τὴν πρὸς Θεσσαλονίκην ἀνύειν ἐτέχθη ὁ πρωτότοκος τῶν υἱῶν τοῦ πορφυρογεννήτου καὶ βασιλέως Ἰωάννου κατὰ D τὴν Βαλαβίσταν συνεπαγόμενος ἐν τῷ τίκτεσθαι καὶ ἕτερον θῆλυ. ἐκεῖσε γοῦν τὴν μνήμην τοῦ μεγαλομάρτυρος Δημη-
20 τρίου ἐκτελέσας εἰσέρχεται εἰς τὴν μεγαλόπολιν. γέγονε δὲ καί τι τοιοῦτον. περὶ τὰ μέσα τοῦ Κωνσταντινίου φόρου

5. Στρούμπιτζον C. 7. υἱοῦ τοῦ F, τοῦ om. P. 12. ἔτι τοῖς F, τοῖς om. P. ἐν addidi. 19. μνήμην τοῦ F, τοῦ om. P. 21. μέσα F, μετὰ P. Κωνσταντίνου C.

cederet, nequaquam adductus est esse ducis dicens, nullum ad vigilantiam tempus intermittere neque ad ea solum, quae essent ante pedes, intendere, verum etiam futura cogitare nec denique intempestiva parsimonia inparatum deprehendi, si necessitas urgeret, cum adeo hostium impetus nuntiaretur. his igitur optime dispositis Strumpitzam se confert indeque progreditur usque ad Slopimum. ubi audita clade, quam Ioannes sebastocratoris filius adversus Dalmatas paulo ante missus acceperat, sufficientes ei copias auxilio misit. quare fraudulentissimus Bolcanus statim ad imperatorem delegavit, qui pacem rogarent, petitosque obsides dedit. ille annum unum et menses duos ibi moratus, cum Boëmundum commorari etiamtum in Longibardiae partibus resciret, instante hieme milites domum dimisit. quo facto dum Thessalonicam versus proficiscitur, natus est ad Balabistam porphyrogeniti imperatorisque Ioannis filius primogenitus sororem secum geminam in partu ducens. deinde memoria ibi magni martyris Demetrii celebrata in caput regni sese recepit, ubi tum temporis hoc accidit. collocata erat in medio Constantini foro

χαλκοῦς τις ἀνδριὰς ἵστατο καὶ πρὸς ἀνατολὰς ἀπέστραπτο
ἐπὶ πορφυροῦ κίονος περιόπτου σκῆπτρον μὲν κατέχων τῇ
δεξιᾷ, τῇ δὲ λαιᾷ σφαῖραν ἀπὸ χαλκοῦ κατασκευασθεῖσαν.
P. 357 ἐλέγετο δ' οὖν εἶναι οὗτος Ἀπόλλωνος ἀνδριάς· Ἀνθήλιον
δέ, οἶμαι, οἱ τῆς Κωνσταντίνου οἰκήτορες αὐτὸν προσηγό- 5
ρευον. ὃν ὁ μέγας ἐν βασιλεῦσι Κωνσταντῖνος ἐκεῖνος καὶ
τῆς πόλεως καὶ πατὴρ καὶ δεσπότης εἰς τὸ ἑαυτοῦ μετέθη-
κεν ὄνομα Κωνσταντίνου αὐτοκράτορος ἀνδριάντα αὐτὸν
προσειπών. ἐπεκράτησε δὲ ἡ ἀρχῆθεν τεθεῖσα προσηγορία
τῷ ἀνδριάντι καὶ ἤτοι Ἀνήλιος ἢ Ἀνθήλιος ὑπὸ πάντων 10
V. 283 ἐλέγετο. τοῦτον τὸν ἀνδριάντα ἐξ αἰφνιδίου πνεύσαντες
ἄνεμοι πλατύτατοι λίβες ἐκεῖθέν τε ὦσαν καὶ εἰς γῆν ἔρρι-
B ψαν περὶ τὸν ταῦρον τοῦ ἡλίου τότε ὁδεύοντος. ὅπερ οὐκ
ἀγαθὸς οἰωνὸς τοῖς πλείοσιν ἔδοξε καὶ μᾶλλον, ὁπόσοι μὴ
καλῶς πρὸς τὸν αὐτοκράτορα εἶχον· ὑπεψιθύριζον γὰρ τὸν 15
τοῦ βασιλέως θάνατον τὸ συμβὰν προμηνύειν. ὁ δὲ "ζωῆς
καὶ θανάτου ἕνα κύριον ἐπίσταμαι," ἔλεγε "πτώσεις δὲ εἰ-
δώλων θάνατον ἐπάγειν οὐδόλως πιστεύειν ἔχω. ὁπηνίκα
γὰρ Φειδίας τις, φέρε εἰπεῖν, ἤ τις τῶν λιθοξόων λί-
θον ἀποξέσας εἴδωλον ἀπεργάσοιτο, ἀναστήσει μὲν καὶ 20
νεκρούς, παράξει δὲ καὶ ἔμψυχα; καὶ εἰ ταῦτα, τῷ τῶν
ἁπάντων δημιουργῷ τί καταλειφθήσεται; ἀποκτενῶ γὰρ καὶ

9. ἐπεκράτει C. 12. πλατύτερον C. 20. ἀπεργάσοιτο F, ἀπειργάσοιτο P. 21. interrogationis signum posui.

aenea statua in orientem conversa, quae columnae porphyreticae late conspicuae imposita sceptrum tenuit dextra, laeva globum ex aere factum. ferebatur esse illud Apollinis simulacrum, Anthelium, opinor, a Constantinopolitanis vocatum, quod Constantinus magnus ille imperator, urbis pater ac dominus, in suum ipsius nomen transtulit et Constantini imperatoris statuam appellavit. at vicit nomen illud statuae antiquitus impositum, ita ut ab omnibus Anelius vel Anthelius vocaretur. quam statuam exorti subito saevissimi Africi venti, sole tum in Tauro posito, deturbatam humi prostraverunt. quod non faustum plerisque augurium visum est; et quotquot minus imperatori favebant, adeo subsusurraverunt, imperatoris mortem isto eventu praenuntiari. at ille "equidem" inquit "unum vitae mortisque dominum agnosco; ut vero casus simulacrorum necem inferre credam, numquam ego adducar. quando enim Phidias quidam verbi causa vel alius quis artificum, quotiescumque statuam e saxo scalpro conficit, vel excitabit mortuos vel vivos creabit? quod si esset, quid iam conditori omnium esset reliqui? hic enim: ego,

ζῆν ἐγὼ ποιήσω φησὶ καὶ οὐχὶ τοῦδε ἢ τοῦδε εἰδώλου C
πτῶσις ἢ ἀνέγερσις." καὶ γὰρ τὰ πάντα τῇ μεγίστῃ τοῦ Θεοῦ
ἀνετίθει προνοίᾳ.

5. Κυκεὼν δὲ κατὰ τοῦ αὐτοκράτορος ἄλλος αὖθις
5 κακῶν ἐξεγήγερτο, ὃς οὐχ ὑπὸ τῶν τυχόντων ἐξηρτύετο ἤδη.
ἄνδρες γάρ τινες ἐπ' ἀνδρείᾳ καὶ γένους εὐκλείᾳ μεγάλα
αὐχοῦντες κατὰ τοῦ βασιλικοῦ ἐμελέτησαν σώματος φόνιον
πνέοντες. καὶ θαυμάζω ἐνταῦθα τῆς ἱστορίας γεγονυῖα,
πόθεν τοσοῦτον πλῆθος κακῶν τὸν βασιλέα περιεστοίχισεν.
10 οὐδὲν γάρ, οὐδὲν ἦν οὐδ' ὁποθενοῦν, ὃ μὴ κατ' αὐτοῦ ἐκε-
κίνητο. τά τε γὰρ ἔνδον ἀποστασίας ἦσαν μεστὰ καὶ τὰ
ἔξωθεν ἐπαναστάσεως ἔγεμε. καὶ μήπω πρὸς τὰ ἔνδον τοῦ D
αὐτοκράτορος ἀντικαταστάντος τακτὸς πάντα περιεφλέγμαινε,
βαρβάρους ἅμα καὶ τοὺς ἔνδον τυράννους τῆς Τύχης αὐτῆς
15 ὥσπερ τινὰς Γίγαντας αὐτοφυεῖς ἀναβλαστανούσης, καίτοι
τοῦ βασιλέως ἅπαντα πρὸς τὸ ἡμερώτερον καὶ φιλανθρω-
πότερον ἐπιτροπεύοντος καὶ διοικονομουμένου τὰ πράγματα
καὶ οὐκ ἔστιν ὅντινα μὴ τοῖς ἀγαθοῖς κατακλύζοντος. τοὺς
μὲν γὰρ καὶ ἀξιωμάτων τιμαῖς κατεκύδαινε καὶ δωρεαῖς με-
20 γάλαις καταπλουτίζων ἀεὶ οὐκ ἀνῆκε· τοὺς δὲ ὁπουδήποτε P. 358
βαρβάρους, ἀφορμὰς μὴ διδοὺς πολέμων μηδ' ἀνάγκην ἐπάγων
αὐτός, ἀνασοβοῦντας ὅμως ἀνέστελλεν, ὡς ἔστι κακῶν στρα-

2. τοῦ θεοῦ FC, τοῦ om. P. 7. αὐχοῦντες F, εὐτυχόντες P. 9. περιεστοίχισεν F, περιεστοίχησεν P. 10. οὐδὲν ἦν F, ἦν οὐδὲν P: οὐδέποτε ἦν? 13. περιεφλέγμαινε F, περιεφλέγμηνε P.

inquit, occidam et ego vivere faciam, at non huius illiusve simulacri lapsus aut constitutio." nempe omnia ad summam providentiam dei referebat.

5. Iam vero nova tendebatur in imperatorem pernicies eaque non a plebe parata, sed consiliis virorum et fortitudine et nobilitate generis insignium ipsam adeo principis caedem anhelantium. ac miror in conscribenda rerum memoria ad hoc tempus progressa, unde tanta malorum copia principem invaserit. undique enim contra eum ingentes extiterunt motus: domi seditionis, foris tumultus plena erant omnia. cumque imperator nondum iis quae intus parabantur se opposuisset, iam foris ardebant omnia, barbaros una cum intestinis tyrannis ipsa Fortuna veluti quosdam Gigantes terrae filios excitante, quamvis semper imperator et clementia humanitateque et ratione administrandae rei publicae moderatissima uteretur nec esset, quem beneficiis non obstrinxisset. illos enim ad amplissimos evexit honores magnisque semper locupletavit donis: nec usquam barbaris causam belli praebuit nec bellandi necessitatem imposuit; provocantes quidem et tumul-

τηγῶν, τῶν πραγμάτων ἡσυχαζόντων αὐτοὺς ἐξεπίτηδες ἀνερεθίζειν τοὺς πέριξ εἰς πόλεμον. εἰρήνη μὲν γὰρ τέλος ἐστὶ πολέμου παντός, τὸ δ' ἀνθελέσθαι ἀεὶ αὐτόθεν τὸ ἕνεκά του * καὶ τοῦ ἀγαθοῦ τέλους ἀεὶ ἀμελεῖν, τοῦτο ἀνοήτων ἐστὶ στρατηγῶν καὶ δημαγωγῶν καὶ ὄλεθρον πραγματευομένων 5 τῆς πόλεως. ἀλλ' ὁ βασιλεὺς Ἀλέξιος τοὐναντίον ἅπαν ἐποίει καὶ τοῦ εἰρηνεύειν ἐκτόπως ἐπεμελεῖτο καὶ * παροῦ-
B σαν ἀεὶ πανταχόθεν συνεῖχε καὶ ἀπούσης ἐπηγρύπνει πολλάκις, ὅπως ἐπανέλθοι. καὶ ἦν ὁ αὐτὸς κατὰ φύσιν μὲν εἰρηνικός, ἀναγκαζόντων δὲ τῶν πραγμάτων πολεμικώτατος. 10 καὶ ἔγωγ' ἂν φαίην θαρρούντως περὶ τοῦ ἀνδρὸς ἐκείνου, ὡς
V. 284 ἄρα τοῦ βασιλικοῦ χαρακτῆρος πολλοῦ χρόνου καταλελοιπότος τὰ τῶν Ῥωμαίων βασίλεια, ἐπ' αὐτοῦ καὶ μόνου ἐπανεληλυθέναι τρόπον τινὰ τότε πρώτως τῇ Ῥωμαίων ἡγεμονίᾳ ἐπιξενουμένου *** ἀλλ' ὅπερ ἔλεγον τοῦ λόγου ἀρχομένη, ὅτι θαυμάζειν 15 ἔχω τὴν τοσαύτην τῶν πραγμάτων τῶν πολεμικῶν ἐπίχυσιν.
C τά τε γὰρ ἔξω καὶ τἄνδον πάντα ἦν ἰδεῖν κυμαινόμενα πανταχόθεν. ἀλλ' ὅ γε βασιλεὺς Ἀλέξιος καὶ τὰ ἀφανῆ τῶν ἐχθρῶν καὶ κρύφια καὶ προῃσθάνετό τε καὶ παντοδαποῖς μηχανήμασι πόρρω τὰς βλάβας ἀπήλαυνε καὶ πρὸς τοὺς ἔνδοθεν 20 τυράννους καὶ πρὸς τοὺς ἔξωθεν βαρβάρους ἀνταγωνιζόμενος

1. αὐτοὺς F, αὐτὸς P. 4. lacunam signavi: πολεμεῖν vel simile verbum intercidit. 7. lacunam signavi. 9. ἐπανέλθοι F, ἐπανέχθοι P. 11. ἔγωγε F. 14. πρώτως F, πρῶτος P. 15. ἐπιξενουμένου. ἀλλ'] inter haec verba unius fere versus rasura in F est: lacunam signavi. 17. τἄνδον FC, τὰ ἔνδον P.

tuantes summovebat. malorum est enim ducum, rebus omnibus pacatis ultro gentes finitimas ad bellum incitare. pax cuiusque belli finis est; sed belli causas temere quaerere salute communi posthabita est imprudentium ducum et hominum seditiosorum omniumque, qui civitatis perniciem moliuntur. sed Alexius imperator contra prorsus faciebat. namque pacis erat vel maxime studiosus, quam, simul ac conciliavit, omni ope servabat, turbatam vero ut redintegraret, semper invigilabat. atque natura erat pacis amantissimus, at cum tempora postulabant, idem bellicosissimus. quare equidem de viro illo affirmare haud dubitaverim, maiestatem regiam, quae per longum tempus a regia Romana afuerit, in ipso solo quodammodo comparuisse et quasi hospitem Romanum imperium tum primum visitasse *** sed ut redeam, unde exorsa sum: merito miror tantam bellicorum tumultuum abundantiam, cum et domi et foris cuncta fluctuaverint. Alexius autem imperator omnes hostium machinationes occultas et clandestinas praevidit eaeque ne nocerent varia arte cavit, ita ut intestinis tyrannis exterisque bar-

ἀεὶ προφθάνων ὀξύτητι νοῦ τὰς τῶν ἐπιβουλευόντων ἐπιβουλὰς καὶ ἀνακόπτων τὰς τούτων ὁρμάς. καὶ ἔγωγε στοχάζομαι ἀπὸ τῶν πραγμάτων αὐτῶν τὴν Τύχην * * τῆς βασιλείας, ὅτι πανταχόθεν συνέρρευσε τὰ δεινὰ καὶ ἐτετάρακτο αὐτό τε
5 τὸ σῶμα τῆς πολιτείας καὶ πᾶν ἀλλότριον ἐμεμήνει κατὰ τῆς βασιλείας Ῥωμαίων, ὡς εἴ τις οὕτως ἔχοι κακῶς, ὥστε καὶ D ὑπὸ τῶν ἀλλοδαπῶν πολεμεῖσθαι καὶ ὑπὸ τῶν οἰκείων κατατρύχεσθαι τὰς σάρκας διαμασσώμενον, τοῦτον δὲ ἀνεγεῖραι P. 859 τὴν πρόνοιαν, ἵνα πρὸς τὰ πανταχόθεν κακὰ ἀντιμηχανῷτο,
10 ὥσπερ δὴ καὶ τὸ τηνικαῦτα συνιδεῖν ἔδει. ὅ τε γὰρ Βαϊμοῦντος ὁ βάρβαρος ὁ πολλάκις ἡμῖν εἰρημένος ἐξηρτύετο κατὰ τῶν σκήπτρων Ῥωμαίων βαρύτατον στράτευμα ἐπαγόμενος καὶ τὸ τυραννικὸν τοῦτο πλῆθος ἑτέρωθεν ἀντεπηγείρετο, καθάπερ ἄνωθεν τοῦ λόγου πεπροοιμίασται. τέσ-
15 σαρες μὲν ἦσαν οἱ ξύμπαντες οἱ τῆς βουλῆς καταρχόμενοι, Ἀνεμάδες τὴν ἐπωνυμίαν, τὰς κλήσεις ὁ μὲν Μιχαήλ, ὁ δὲ Λέων, ὁ ἕτερος . . . ., ὁ ἄλλος . . . . . . προσηγορεύετο. ἀδελφοὶ δ' ἦσαν καὶ τὰ σώματα πρότερον καὶ τότε τὴν γνώμην· εἰς ταὐτὸ γὰρ ἅπαντες συνεφρόνησαν, ἀποκτεῖναί τε τὸν αὐτο- B
20 κράτορα καὶ τῶν βασιλικῶν ἐπιλήψεσθαι σκήπτρων. συνυπήγοντο δὲ αὐτοῖς καὶ ἕτεροι τῶν εὐγενῶν, οἵ τε Ἀντίοχοι γένους ὄντες περιφανοῦς καὶ οἱ Ἐξαζηνοὶ καλούμενοι, ὅ τε

3. lacunam signavi. 4. συνέρρευσε F, συνέρευσε P. 7. ὑπὸ τῶν οἰκείων in F m. 2 in ras. 13. τοῦτο scripsi: τούτου P. 17. ἕτερος ** ὁ ἄλλος * P: spatia lacunarum ex F dedi.

baris resistens insidiantium insidias animi sollertia semper praeveniret eorumque impetus propulsaret. equidem ex rebus ipsis conicio ipsam tum praesentem adfuisse Fortunam imperio, siquidem adversis rebus undecumque concurrentibus reipublicae corpus turbabatur atque omnes omnino hostes in Romanum imperium saeviebant, pariter ac si quis et ab externis hostibus impugnaretur et a suis gravissimis dolorum tormentis discruciaretur, hunc vero providentia divina excitaret ut calamitates undecumque coortas repelleret; id quod tunc quidem dilucide cognosci oportebat. cum enim Boëmundus, barbarus ille saepe commemoratus, adversus Romanorum imperium ingentem colligeret exercitum, tyrannica haec multitudo ab altera parte, ut supra praefata sum, excitata est. coniurationis auctores fuerunt fratres quattuor, Anemades cognominati, quorum unus Michael, alter Leo, tertius *, postremus denique * vocabatur. qui quidem fratres cum corporis tum consiliorum necessitate coniuncti id unum omnes convenerunt, ut occiso imperatore regnum occuparent. quibus et alii nobiles sese socios adiunxerunt, velut Antiochi generis nobilitate florentes et qui Exazeni

Δούκας καὶ ὁ Ὑαλέας, ἄνδρες ἐκθυμότατοι τῶν πώποτε γεγενημένων πρὸς μάχας, πρὸς δὲ καὶ Νικήτας ὁ Κασταμονίτης καὶ Κουρτίκιός τις καὶ ὁ Βασιλάκιος Γεώργιος. οὗτοι μὲν οὖν ἦσαν τοῦ στρατιωτικοῦ καταλόγου πρωτεύοντες, τῆς δέ γε συγκλήτου ὁ Σολομὼν Ἰωάννης. ὃν διὰ πλούτου 5 *περιουσίαν καὶ γένους λαμπρότητα βασιλέα χρίσειν ὁ* C *Μιχαὴλ ὁ καὶ κορυφαῖος τῆς τετρακτύος τῶν Ἀνεμάδων σχηματιζόμενος ἐπηγγέλλετο. ὁ δὲ Σολομὼν οὗτος τῆς συγκλήτου λογάδος τὰ πρῶτα φέρων οὐ μόνον τῶν ἄλλων, ἀλλὰ καὶ τῶν συνεξηπατημένων αὐτῷ βραχύτατος μὲν ἦν* 10 *τὴν ἡλικίαν, κουφότατος δὲ τὴν γνώμην. Ἀριστοτελικῶν τε καὶ Πλατωνικῶν μαθημάτων ᾤετο εἰς ἄκρον ἐληλυθέναι· οὐ μὴν εὖ ἧκε τῆς φιλοσόφου εἰδήσεως, ἀλλ᾽ ὅμως ἐτετύφωτο διὰ περιουσίαν κουφότητος. λοιπὸν πρὸς τὴν βασιλείαν ὅλοις ἱστίοις ἀπένευε καθάπερ ὑπὸ τούτων τῶν Ἀνε-* 15 *μάδων ἐμπνεόμενος. ἀλλ᾽ ἦσαν ἄρα τὰ πάντα πλάνοι.. οὐ* V. 285 *γὰρ εἶχον ἐν νῷ τοῦτον οἱ ἀμφὶ τὸν Μιχαὴλ ἐς τὸν βασιλικὸν θρόνον ἐναγαγεῖν, πολλοῦ γε καὶ δεῖ, ἀλλὰ τῇ κουφότητι* D *τοῦ ἀνδρὸς καὶ τῷ πλούτῳ πρὸς τὴν ἰδίαν ἐπιχείρησιν ἀπεχρῶντο. ἀεί τι ἐκεῖθεν τοῦ χρυσοῦ ῥεύματος ἐπισπῶντες* 20 *καὶ ταῖς ἐλπίσι τῆς βασιλείας ποιοῦντες ὑπότυφον ὅλον ἑαυτοῖς τιθασσὸν ἐποιήσαντο γνώμης τοιαύτης ἔχοντες, ὡς*

1. *ὑαλέας* F, *Υελέας* P. 7. *ὁ καὶ* FC, *ὁ* om. P. 8. *δὲ δὴ* P, *δὴ* om. C. 10. *συνεξηπατημένων* F, *ξυνε.* P. *βραχύτατος* scripsi: *βραχὺς* libri. 11. *τὴν ἡλικίαν* F, *τῇ ἡλικίᾳ* P. *δὲ* addidi. 16. *πλάνοι* C, *πλάνη* P. 21. *ποιοῦντες* FC, *ποιοῦντος* P.

vocabantur Ducas et Hyaleas, viri omnium qui umquam fuerunt in proeliis fortissimi; praeterea Nicetas Castamonites ac Curticius quidam et Basilacius Georgius. hi principes facile in catalogo militari erant, e senatorum autem numero eorum socius fuit Solomon Ioannes, quem ob divitiarum copias et generis splendorem Michael quatuor Anemadum princeps simulavit se sacro oleo imperatorem esse inauguraturum. is enim Solomon senatorii ordinis princeps cum aliis tum iis qui eadem cum ipso fraude decepti erant et statura erat brevior et levioris ingenii: videbatur sibi Aristotelis Platonisque disciplinam una cum pulvisculo exhausisse, re vera aberravit a recta philosophiae scientia torpuitque insigni levitate. ceterum ad imperium passis velis pervehebatur Anemadibus quasi adspirantibus. hi scilicet erant omnino praestigiatores. multum enim aberat, quominus Michael eiusque fratres deferre illi regnum in animo haberent, sed levitate istius hominis divitiisque ad suam ipsius ambitionem callide abutebantur: semper inde velut ex aureo flumine haurientes illum regni spe elatum totum in suam

εἰ εὔοδα πράξαιεν καὶ ἡ Τύχη αὐτοῖς εὐνούστερόν πως ἐνατενίσειε, τὸν μὲν παραγκωνίσαιντο ἀφέντες ψαίρειν ἐπὶ P. 360 πελάγους, αὐτοὶ δὲ τῶν σκήπτρων ἀνθέξοιντο μικράν τινα δόξαν καὶ εὐετηρίαν αὐτῷ ἀπονείμαντες. οἱ μέντοι γε πρὸς 5 ἐκεῖνον λόγοι τῆς ἐπιβουλῆς οὐ φόνον τοῦ αὐτοκράτορος ἐπηγγέλλοντο οὐδὲ ξιφουλκίας ἐμέμνηντο, οὐ μάχης οὐδὲ πολέμων, ἵνα μὴ καταπτοήσαιεν τὸν ἄνδρα πάλαι τοῦτον εἰδότες πρὸς ἅπαν εἶδος πολέμου δειλότατον. τοῦτον τοίνυν τὸν Σολομῶντα ὥσπερ δὴ κορυφαιότατον τῶν ἄλλων 10 ἐνηγκαλίσαντο. συνυπήχθησαν δὲ τῇ τούτων βουλῇ καὶ ὁ Σκληρὸς καὶ ὁ τὴν ἐπαρχίαν τῆς Κωνσταντίνου τῷ τότε διηνυκὼς Ξηρός. ὁ μέντοι Σολομῶν κουφοτέρας ὢν γνώμης, B καθάπερ ἄνωθεν εἴρηται, καὶ μηδὲν τῶν παρὰ τοῦ Ἐξαζηνοῦ καὶ τοῦ Ὑαλέα καὶ αὐτῶν δὴ τῶν Ἀνεμάδων μελετω-15 μένων συνεὶς ἐν χερσὶν ἤδη τὴν βασιλείαν Ῥωμαίων κατέχειν οἰόμενος προσωμίλει τισὶ καὶ ὑπεποιεῖτο ὑποσχέσεσι δωρεῶν καὶ ἀξιωμάτων τούτους ὑπαγόμενος. φοιτήσας δέ ποτε πρὸς αὐτὸν ὁ τοῦ δράματος κορυφαῖος Μιχαὴλ ὁ Ἀνεμᾶς καὶ θεασάμενος ὁμιλοῦντά τινι ἐπυνθάνετο, τί ἂν εἴη τὸ 20 λεγόμενον. ὁ δὲ Σολομῶν μετὰ τῆς συνήθους ἁπλότητός φησιν ὡς "ἀξίωμα αἰτήσας ἡμᾶς καὶ λαβὼν τὴν ὑπόσχεσιν

2. ψαίρειν F, χαίρειν P. 11. τῆς Κωνσταντίνου τῷ τότε F, τῷ τότε τῆς Κωνσταντίνου P. 14. ὑαλέα F, Υελέα P. 17. δέ ποτε F, ποτε om. P. 20. Σαλομῶν P, correxi.

potestatem redegerunt eo consilio ut, si felici uterentur successu atque Fortuna ipsis arrideret, extrusum tamquam in mari eum relinquerent, ipsi vero rerum potirentur gloriolam illi quandam exiguamque felicitatem concedentes. in sermonibus eo praesente de coniuratione habitis imperatoris caedes non commemorabatur neque ulla de ferro aut de pugna bellisve mentio fiebat, ne homini, quem ad omne bellum ignavissimum sciebant, terrorem inicerent. hunc igitur Solomonem tamquam ceterorum principem amplectebantur. praeterea eiusdem consilii participes facti sunt Sclerus et Xerus, qui Constantinopolis praefectura tum functus fuerat. Solomon vero, homo, ut dixi, levioris ingenii omniumque ignarus, quae ab Exazeno et Hyalea ipsisque Anemadibus parabantur, quasi iam imperium Romanorum teneret, adiit quosdam eosque munera dignitatesque pollicitus conciliare studuit. convenit eum forte aliquando dramatis coryphaeus Michael Anemas, qui, cum eum nescio quocum confabulantem vidisset, quid inter se conferrent, sciscitatus est. tum consueta simplicitate Solomon "hic" inquit "qui dignitatem a nobis petiit accepta

συνέθετο κοινωνὸς ἡμῖν τῆς βουλῆς τῶν πάντων ἔσεσθαι."
C ὁ δὲ μωρίαν τούτου καταψηφισάμενος καὶ περίφοβος γεγονώς, ὡς μηδόλως ἐχεμυθεῖν πεφυκότα διαγνούς, οὐκέθ' ὡς τὸ πρότερον πρὸς αὐτὸν ἐφοίτα.

6. Οἱ μὲν οὖν στρατιῶται, τοὺς Ἀνεμάδας φημὶ καὶ Ἀντιόχους καὶ τοὺς τούτων συνωμότας, κατὰ τοῦ βασιλικοῦ τὴν σκαιωρίαν ἐποιοῦντο σώματος, ἵν' ὁπηνίκα καιροῦ εὐθέτου τύχοιεν, παρευθὺ τὸν μελετώμενον κατὰ τοῦ αὐτοκράτορος φόνον εἰς ἔργον προάξωσιν. ὡς δὲ παρὰ τῆς προνοίας ἄδεια οὐδεμία τούτοις ἐδίδοτο καὶ ὁ καιρὸς παρερρύετο, πτοηθέντες μὴ κατάφωροι γένωνται, ὃν ἐπεζήτουν καιρὸν ἔδοξαν εὑρη-
D κέναι. ἐπεὶ γὰρ ὁ αὐτοκράτωρ μετὰ τὸ διυπνισθῆναι κατὰ δείλην ἑῴαν τὴν ἐκ τῶν πολλῶν φροντίδων ἐγγινομένην ἅλμην καταγλυκαίνειν ἐθέλων ἐνίοτε συμπαίστορας εἶχε τῶν συγγενέων τινὰς παίζων τὸ ζατρίκιον (παιδιὰ δὲ τοῦτο ἐκ τῆς τῶν Ἀσσυρίων τρυφῆς ἐξευρημένον καὶ εἰς ἡμᾶς ἐκεῖ-
P. 361 θεν ἐληλυθός), οἱ τὴν τυραννικὴν ἐξοπλίσαντες χεῖρα διὰ τοῦ βασιλικοῦ κοιτωνίσκου ἔμελλον ὡς εἰς τὸν βασιλέα χωρῆσαι τὸν φόνον ὠδίνοντες. ὁ δέ τοι βασιλικὸς κοιτωνίσκος
V. 286 οὗτος, οὗπερ οἱ βασιλεῖς ἔτυχον εὐναζόμενοι, κατὰ τὴν εὐώνυμον κεῖται πλευρὰν τοῦ ἐπ' ὀνόματι τῆς Θεομήτορος ἀνεγηγερμένου τεμένους κατὰ τὰ ἀνάκτορα, κἂν οἱ πολλοὶ

5. φημὶ καὶ ἀντιόχους F, καὶ ἀντιόχους om. P. 6. συνωμότας F, συνομότας P. 9. προάξωσιν F, πράξωσιν P. 10. παρερρύετο] ερ in ras. F. 14. ἤθελεν, ὅτε C. 16. ἐξευρημένον C, ἐξευρημένων P. 21. ὀνόματι F, ὀνόματος P.

promissione consilii nostri totius exequendi socium se fore pactus est". cuius stultitiam ille detestatus timore quodam affectus est, quia ne minima quidem in re tacere eum posse cognovit; quare ab hoc inde tempore non ut antea domum eius frequentabat.

6. Milites vero, Anemades dico Antiochosque eorumque conscios, imperatoris vitae insidiabantur, ut tempus nancti opportunum statim destinatam imperatoris caedem perpetrarent. cum autem divina providentia securitas ipsis denegaretur tempusque opportunum praeterlaberetur, veriti, ne deprehenderentur, occasionem, quam captarent, invenisse sibi videbantur. imperator enim somno solutus mane, ut aestum multarum curarum leniret, cum interdum collusores quosdam consanguineos ad zatricium adhiberet, qui quidem lusus ab Assyriorum luxuria inventus ad nos inde delatus est, illi nefarii tyrannica manu armata per regium dormitorium caedem molientes ad imperatorem procedere constituerunt. est autem id cubiculum, ubi tunc imperatores dormitabant, in sinistro latere aedis nomine deiparae intra regiam extructae, quam plerique magno

τὸ τοῦ μεγαλομάρτυρος Δημητρίου ὄνομα ταύτῃ ἐπέγραφον. κατὰ δὲ τὴν δεξιὰν αἴθριον ἔδαφος ἦν ὑπὸ μαρμάρων κατεστρωμένον. καὶ ἡ πρὸς τοῦτο ἐξάγουσα πύλη τοῦ τεμένους ἄνετος πᾶσι τοῖς ἐθέλουσιν ἦν. ἐκεῖθεν οὖν ἐσκέψαντο
5 εἰσελθεῖν εἴσω τοῦ τεμένους καὶ τὰς τὸν βασιλικὸν κοιτωνίσκον ἀποκλειούσας κατεάξαι πύλας κἀθ' οὕτως εἰσελθόντες ἀνελεῖν διὰ ξίφους τὸν αὐτοκράτορα. ἀλλὰ ταῦτα μὲν οἱ μιαιφόνοι ἐκεῖνοι ἄνδρες κατὰ τοῦ μηδὲν ἠδικηκότος διεσκοποῦντο· ἔσφηλε δὲ τὴν τούτων βουλὴν ὁ Θεός. δηλωθέντος
10 δὲ τοῦ δράματος διά τινος τῷ αὐτοκράτορι παραχρῆμα μετεπέμποντο ἅπαντες. πρῶτον μὲν οὖν Ἰωάννην τὸν Σολομῶντα καὶ Γεώργιον τὸν Βασιλάκιον εἰς τὰ ἀνάκτορα εἰσαχθῆναι ὁ βασιλεὺς ἐπέτρεψεν ἐγγυτέρω γενομένους τοῦ οἰκίσκου, ἐν ᾧπερ αὐτὸς ἐτύγχανεν ὢν μετὰ τῆς περὶ αὐτὸν
15 συγγενείας, ἵνα διά τινων ἐξερωτῴη αὐτούς, ἁπλουστέρου φρονήματος τούτους πάλαι γινώσκων κἀκ τούτου ῥᾳδίως τὰ βεβουλευμένα μεμαθηκέναι οἰόμενος. ὡς δὲ πολλάκις ἐρωτώμενοι ἔξαρνοι ἦσαν, ἔξεισιν ὁ σεβαστοκράτωρ Ἰσαάκιος καὶ πρὸς τὸν Σολομῶντα ἀπονεύσας ἔφη "οἶσθα πάντως,
20 Σολομῶν, τὴν τοῦ ἐμοῦ ἀδελφοῦ καὶ βασιλέως ἀγαθότητα. εἰ μὲν τὰ βεβουλευμένα πάντα ἀπαγγείλῃς, συμπαθείας παραχρῆμα ἀξιωθήσῃ, εἰ δ' οὖν, ἀνηκέστοις βασάνοις παραδοθήσῃ". ὁ δὲ ἐνατενίσας καὶ τοὺς περικυκλοῦντας τὸν σε-

B C

1. Δημητρίου om. C. τούτῳ? 21. ἀπαγγείλῃς F, ἀπαγγέλῃς P.

martyri Demetrio dicatam putant. dextra vero sub divo pavimentum erat marmore stratum, quo educentem templi portam omnibus intrare licuit. per eam igitur in aedem penetrare conabantur, ut vi perruptis regii cubiculi ianuis ingressi imperatorem ferro occiderent. quae cruenti isti moliebantur sicarii contra eum, qui nullam iniuriam fecerat. at discussit deus eorum consilia. re enim per indicem quendam ad imperatorem delata omnes ille extemplo ad se adduci iussit; ac primos quidem omnium imperator Ioannem Solomonem et Georgium Basilacium ad se in regiam duci iussit in locum proximum cubiculo, in quo ipse cognatorum grege stipatus fuit, eo quidem consilio, ut ex iis, quos iam dudum sciebat natura esse simpliciores, interrogando omnia facile cognosceret. at illi saepius interrogati cum in negando perseverarent, prodiit sebastocrator Isaacius innuensque Solomoni "bene nosti," inquit "Solomon, imperatoris, fratris mei, clementiam; quare si fateri omnia volueris consilia, extemplo te misericordia dignabitur; sin minus, crudelissimis tormentis excruciaberis." ille vero sebastocra-

βαστοκράτορα βαρβάρους θεασάμενος ἐπὶ τῶν ὤμων τὰ ἑτε-
D *ρόστομα ξίφη κραδαίνοντας ἔντρομος γεγονὼς παραχρῆμα ἅπαντα ἀπαγγέλλει τούς τε συνίστορας ὁμολογήσας, μηδὲν δὲ περὶ τοῦ φόνου εἰδέναι διϊσχυριζόμενος. εἶτα παραδοθέντες τοῖς τὴν φυλακὴν τούτων ἐμπεπιστευμένοις [τῶν ἀνακτόρων] καὶ διαιρεθέντες ἔμφρουροι γεγόνασι. τοὺς δέ γε*
P. 362 *λοιποὺς αὖθις ἠρώτων περὶ τοῦ δράματος. ὁμολογήσαντες δὲ ἅπαντα καὶ μηδὲ τὸν φόνον ἐπικρύψαντες, ἐπεὶ οἱ στρατιῶται τοῦτον μεμελετηκέναι ἐγνώσθησαν καὶ μᾶλλον ὁ Ἀνεμᾶς Μιχαήλ, ὁ καὶ τῆς βουλῆς κορυφαῖος, ὁ καὶ κατὰ τοῦ αὐτοκράτορος φόνιον πνέων, ἅπαντας περιορίσας καὶ τὰς σφῶν ἐδήμευσε περιουσίας. ὁ μέντοι οἶκος τοῦ Σολομῶντος περιφανὴς ὢν ἐδόθη πρὸς τὴν Αὔγουσταν. ἐκείνη δέ, ὁποία περὶ τὰ τοιαῦτα, οἶκτον λαβοῦσα τῆς τοῦ Σολομῶντος ὁμευνέτιδος ἀπεχαρίσατο τοῦτον αὐτῇ μηδὲ τὸ τυχὸν ἐκεῖθεν ἀφελομένη. τὸν μέντοι Σολομῶντα ἔμφρουρον εἶχεν ἡ Σωζόπολις.*
B *τὸν δὲ Ἀνεμᾶν καὶ τοὺς σὺν αὐτῷ ὡς πρωταιτίους καὶ τὴν*
V. 287 *ἐν χρῷ κουρὰν τῆς κεφαλῆς καὶ τοῦ πώγωνος ψιλώσας διὰ μέσης πομπεῦσαι τῆς ἀγορᾶς παρεκελεύσατο, εἶτα ἐξορυχθῆναι τοὺς ὀφθαλμούς. παραλαβόντες οὖν τούτους οἱ σκηνικοὶ καὶ σάκκους περιβαλόντες, τὰς δὲ κεφαλὰς ἐντοσθίοις βοῶν καὶ προβάτων ταινίας δίκην κοσμήσαντες ἐν βουσὶν ἀναγαγόντες καὶ ἐγκαθίσαντες οὐ περιβάδην ἀλλὰ*

5. *τῶν ἀνακτόρων* seclusi. 14. *Σολομῶντος* C, *Σαλομῶντος* P. 21. *περιβαλόντες* FC, *περιβαλλόντες* sic P.

torem intuitus barbarosque eum circumstantes, qui gladios in humeris ex una parte acutos gestabant, ad tremorem usque perterritus cuncta statim confessus est prodiditque omnium consciorum nomina, pertinaciter tamen perseverans, nihil se de caede novisse. tum isti suis custodibus traditi in separatos carceres ducti sunt. deinde ceteri quoque eadem de re interrogati omnia confirmarunt et ne caedem quidem reticuerunt ipsam; cumque milites eam parasse pateret inprimisque Michaelem Anemam, totius consilii principem, imperatoris sanguinem anhelantem, decretum est, ut publicatis bonis omnes deportarentur. Solomonis aedes perquam elegantes Augustae donatae sunt, quae tamen pro animi indole miserata Solomonis uxoris ne minima quidem re excepta illas ei gratificata est. ipse autem Solomon Sozopolim est in custodiam deductus. Anemam autem eiusque socios ut coniurationis auctores ad cutem tonso capite et barba penitus rasa per medium forum imperator traduci, deinde oculis privari iussit. quos tum scaenici apprehensos saccis induerunt eorumque capita intestinis boum oviumque quasi taeniis ornarunt; deinde bobus impositos cruribus non divisis sed ad unum latus conversis

κατὰ θατέραν πλευρὰν τούτους διὰ τῆς βασιλικῆς ἦγον αὐλίδος. ῥαβδοῦχοι ἔμπροσθεν τούτων ἐφαλλόμενοι καὶ ᾀσμάτιόν τι γελοῖον καὶ κατάλληλον τῇ πομπῇ προσᾴδοντες ἀνεβόων, λέξει μὲν ἰδιώτιδι διηρμοσμένον, νοῦν δὲ ἔχον τοιοῦτον.
5 * * * ἐβούλετο γὰρ τὸ ᾆσμα πάνδημον πᾶσι παρακελεύεσθαι * C τε καὶ ἰδεῖν τοὺς τετυραννευκότας τούτους κερασφόρους ἄνδρας, οἵτινες τὰ ξίφη κατὰ τοῦ αὐτοκράτορος ἔθηξαν. ἅπασα μὲν οὖν ἡλικία εἰς τὴν τοιαύτην θέαν συνέτρεχεν, ὡς καὶ ἡμᾶς, τὰς τοῦ βασιλέως θυγατέρας, ἐξελθούσας λαθραίαν τὴν θέαν
10 ποιεῖσθαι. ὡς δὲ τὸν Μιχαὴλ ὡς πρὸς τὰ ἀνάκτορα ἐθεάσαντο ἐνατενίζοντα καὶ χεῖρας ἱκέτιδας εἰς οὐρανὸν αἴροντα, αἰτουμένου ἐν σχήματι, χεῖρας ἐξ ὤμων ἀφαιρεθῆναι καὶ πόδας ἐκ γλουτῶν αὐτῶν καὶ κεφαλὴν αὐτὴν ἀποτμηθῆναι, ἅπασα φύσις πρὸς δάκρυον καὶ οἰμωγὰς κεκίνηται καὶ D
15 μᾶλλον ἡμεῖς, αἱ τοῦ βασιλέως θυγατέρες. ἐγὼ δὲ βουλομένη τὸν ἄνδρα τοῦ τοιούτου ῥύσασθαι κακοῦ τὴν βασιλίδα καὶ μητέρα ἅπαξ καὶ δὶς προὐκαλούμην ἐς θέαν τῶν πομπευομένων. ἐκηδόμεθα γὰρ τῶν ἀνδρῶν τοῦ αὐτοκράτορος χάριν, εἰρήσεται γὰρ τἀληθές, μὴ τοιούτων ἀποστεροῖτο
20 στρατιωτῶν καὶ μᾶλλον τοῦ Μιχαήλ, ὅσῳ καὶ βαρυτέρα ἡ κατ' αὐτοῦ ψῆφος ἐξενήνεκτο. ὁρῶσα, ὁπόσον αὐτὸν ἐξεταπείνου ἡ ξυμφορά, ὅπερ οὖν ἔλεγον, ἐξεβιαζόμην τὴν μητέρα

P. 363

5. lacunas signavi. 7. ἅπασα F, πᾶσα P. 11. ἐνατενίζοντα] τα ex το m. 2 F. 12. αἰτουμένου scripsi: αἰτούμενον P. 13. ἐκ γλουτῶν FC, ἐκ om. P. καὶ om. C. 14. δάκρυ C. εἰσεκίνητο C, ἐκεκίνητο Montfaucon. 20. βαρύτερον C.

per regiam aulam ducunt lictoribus ante eos saltantibus ridiculamque cantiunculam ad pompam accommodatam vulgarique sermone expressam clara voce canentibus. quod quidem carmen hac ferme sententia fuit: ***. voluit enim ista cantilena omnem populum incitare, ut * et videret cornigeros istos viros tyrannide functos, qui ferrum in imperatorem acuerant. ad quod spectaculum ingens cuiusvis aetatis factus est concursus, adeo ut et nos, imperatoris filiae, clam illud visurae prodiremus. ut vero Michael apparuit conversis in regiam oculis manus tollens ad caelum supplices gestibusque rogans, ut manus sibi ab humeris, pedes a coxis avellerent et caput ipsum praeciderent, omnium animi ad lacrimas gemitusque commovebantur maximeque nos, imperatoris filiae, commiserabamur. ego vero cupiens illum tanta liberare calamitate imperatricem matremque semel iterumque ad pompae istius spectaculum provocavi. timebamus enim illis viris, ut verum dicam, imperatoris causa, ne talibus privaretur militibus eoque magis Michaeli, quo gravius eius supplicium erat. quem tanta videns miseria fractum, ut periculo

τὴν ἐμαυτῆς, εἴ πως τοῦ κινδύνου ῥυσθεῖεν οἱ ἄνδρες ἤδη τούτοις ἐγγύθεν ἐφεστηκότος. σχολαιοτέραν γὰρ τὴν πορείαν οἱ σκηνικοὶ ἐποιοῦντο χώραν πραγματευόμενοι συμπα-
B θείας τοῖς μιαιφόνοις. ὡς δ' ἐκείνη ἀπώκνει τὴν ἔλευσιν (καθῆστο γὰρ μετὰ τοῦ αὐτοκράτορος, οὗ τὰς πρὸς Θεὸν 5 ἐντεύξεις κοινῇ ἐποιοῦντο ἐνώπιον τῆς θεομήτορος), κατελθοῦσα καὶ ἔξω τῶν πυλῶν περίφοβος ἑστηκυῖα, ἐπεὶ μὴ ἀπεθάρρουν τὴν εἴσοδον, νεύμασι τὴν βασίλισσαν προὐκαλούμην. καὶ δὴ πεισθεῖσα εἰς τὴν θέαν ἀνέρχεται καὶ θεασαμένη τὸν Μιχαὴλ ᾤκτειρέ τε καὶ δάκρυον ἐπαφεῖσα τούτῳ 1 θερμὸν ἐπανατρέχει πρὸς τὸν αὐτοκράτορα ἅπαξ καὶ δὶς καὶ πολλάκις ἐξαιτουμένη χαρίσασθαι τῷ Μιχαὴλ τοὺς ὀφθαλμούς. καὶ παραχρῆμα πέμπεται ὁ τοὺς δημίους ἀπείρξων·
C καὶ δὴ σπεύσας προφθάνει τούτους ἔνδοθεν τῶν λεγομένων χειρῶν, ἃς ὁ διαβὰς οὐκέτι ῥύεται τοῦ δεινοῦ. οἱ γὰρ 1 τὰς χαλκᾶς ταυτασὶ χεῖρας βασιλεῖς πήξαντες ἐπί τινος ὑψηλοτάτης περιωπῆς καὶ μετεώρου λιθίνης ἀψῖδος τοῦτο κρατῆσαι ἐβούλοντο, ὡς εἰ μέν τις ἐντὸς τούτων γένοιτο, ὃν ὁ νόμος θανάτῳ κατέκρινε, καὶ μεταξὺ τῆς ὁδοῦ φθάσοι τὰ τῆς αὐτοκρατορόθεν φιλανθρωπίας, ἐλεύθερος ἔσται τῆς 2 συμφορᾶς, ὡς τῶν χειρῶν τοῦτο σημαινουσῶν, ὅτι ὁ βασι-
V. 288 λεὺς τούτους πάλιν ἐνηγκαλίσατο καὶ ὅλαις κατέσχε χερσὶ

4. δὲ F. 8. νεύμασι FC, νεύματι P. 10. ἐπαφεῖσα F, ἐπαφιεῖσα P. 19. φθάσοι F, φθάσει P. 21. τούτων F. 22. τούτους πάλιν F, πάλιν τούτους P.

iam proxime imminente viri liberarentur, matrem meam, quemadmodum dixi, ut prodiret impuli, scaenicis tardius ingredientibus, ut misericordiae in sicariorum gratiam concitandae copiam darent. cum vero illa cunctaretur, quippe quae iuxta imperatorem sederet, ubi coram deipara communiter deum precabantur, accessi; sed extra portas timida constiti et intrare non ausa nutibus imperatricem evocare quaerebam. quae tandem commota ad videndam pompam prodiit et conspecto Michaele inlacrimans ad imperatorem recurrit, ut oculos Michaeli condonaret, eum semel atque iterum et amplius rogitans. ac mittitur confestim nuntius carnifices inhibiturus; qui quidem adhibita festinatione praeocupavit eos intra illas, quas vocant, manus: quas qui semel transiit, nulla iam ratione supplicio eximi potest. istas enim manus aeneas imperatores loco late conspicuo in alta fornice lapidea eo consilio defigendas curaverunt, ut, qui capitis damnatus in ista via nancisceretur imperatoriae clementiae indicia, supplicio liberaretur, manibus significantibus, imperatorem eos rursus amplexari nec e clementiae manibus eos dimi-

καὶ μήπω τῶν τῆς φιλανθρωπίας χειρῶν ἀπολέλυκεν. εἰ δ' ὑπερβαῖεν ἐκείνας, σύμβολόν ἐστι τοῦτο, ὡς δῆθεν καὶ τὸ βασίλειον κράτος τούτους ἀπώσατο. τῆς Τύχης οὖν ἐστι τὰ D τῶν ὑπὸ τὴν τιμωρίαν ἀνθρώπων· ἣν ἐγὼ θείαν ψῆφον εἶναι 5 λογίζομαι, καὶ δεῖ καλεῖν ἐκείνην εἰς ἀρωγήν. ἢ γὰρ τὰ τῆς συμπαθείας ἐντὸς ἔφθακε τῶν χειρῶν καὶ ἐξῄρηντο τῶν κινδύνων οἱ δυστυχοῦντες ἢ τὰς χεῖρας παρωδευκότες καὶ πόρρω σωτηρίας εἰσίν. ἐγὼ δὲ τὸ πᾶν εἰς τὴν τοῦ Θεοῦ ἀνατίθημι πρόνοιαν, ἣ καὶ τότε τὸν ἄνδρα τῆς ἐξορύξεως 10 τῶν ὀμμάτων τοῦτον ἐξείλετο. Θεὸς γὰρ ἡμᾶς, ὡς ἔοικε, τὸ τηνικαῦτα ἐκίνησεν εἰς τὴν τούτου συμπάθειαν. ὁ γάρ P. 364 τοι τῆς σωτηρίας ἄγγελος σπεύσας ἔνθεν τῆς ἀψῖδος, ἐν ᾗ αἱ χαλκαῖ χεῖρες ἦσαν ἐμπεπηγμέναι, τὸ τῆς συμπαθείας γραμμάτιον ἐπιδοὺς τοῖς τὸν Μιχαὴλ ἄγουσιν ἐκεῖθεν τοῦ-15 τον λαβὼν ὑπέστρεφε καὶ καταλαβὼν τὸν ἀγχοῦ τῶν ἀνακτόρων ᾠκοδομημένον πύργον κεῖθι τοῦτον καθεῖρξε· τοῦτο γὰρ ποιῆσαι κεκέλευστο.

7. Οὔπω δ' οὗτος τῆς εἱρκτῆς ἠλευθεροῦτο καὶ τὸν Γρηγόριον αὖθις ἡ τοῦ Ἀνεμᾶ εἶχεν εἱρκτή. πύργος δ' ἦν 20 εἷς τις τῶν ἀγχοῦ τῶν ἐν Βλαχέρναις ἀνακτόρων διακειμένων τειχῶν τῆς πόλεως, ὁ τοῦ Ἀνεμᾶ καλούμενος, ὥσπερ τι

2. συμβουλή C. 3. τὰ addidi. 10. τούτων C. 12. ἄγγελος FC, ἄλλος P. 14. γραμμάτιον F, γραμμάτων P. 18. ἠλευθεροῦτο C, ἐλευθεροῦτο P.

sisse. quas tamen si qui transgressi sunt, hoc argumento est, imperatoria potestate eos esse ad supplicium proiectos. penes Fortunam igitur supplicio damnatorum hominum sors est: quam Fortunam equidem divinum oraculum esse interpretor eamque in auxilium vocare sane opus est. etenim aut intra manus veniam nancti infelices periculis liberantur aut manus transgressi omni spe salutis destituuntur. ego vero omnia in divina colloco providentia, quae tum quoque istum virum ab oculorum effossione liberavit. deus enim tunc nos, ut consentaneum est, ad commiserandum illum commovit. salutis igitur nuntius ad fornicem properans, in quo manus aeneae defixae erant, gratiae literas iis, qui Michaelem ducebant, dedit. quo facto cum illo reversus et ad turrim se conferens prope regiam aedificatam ibi eum inclusit, id quod facere iussus erat.

7. Necdum carcere is liberatus erat, cum Gregorium Anemae custodia excepit. turris autem erat una ex iis quae in moenium parte regiae in Blachernis sitae contermina dispositae erant, vocaturque Anemae; quam appellationem quasi quadam sorte eo duxit, quod

B λάχος τὴν ἐπωνυμίαν ταυτηνὶ κληρωσάμενος διὰ τὸ πρώτως
τὸν Ἀνεμᾶν σιδηρόδετον δέξασθαι ἐπὶ πολὺν ἐν αὐτῷ χρο-
νοτριβήσοντα χρόνον. καὶ γὰρ ἐπινεμήσεως περιιππευούσης
δωδεκάτης δοὺξ προβληθεὶς Τραπεζοῦντος ὁ ἤδη ῥηθεὶς
Γρηγόριος ἀποστασίαν πάλαι ὠδίνων ἐν τῷ πρὸς Τραπε- 5
ζοῦντα ἀπέρχεσθαι εἰς φῶς ἐξήγαγε τὸ ἀπόρρητον. ἐπαν-
ιόντι γὰρ πρὸς τὴν Κωνσταντινούπολιν τῷ Δαβατηνῷ τῆς
δουκικῆς ἀρχῆς εἰς τὸν Ταρωνίτην μετατεθείσης συναντήσας
δεσμώτην εὐθὺς αὐτὸν καὶ ἔμφρουρον εἰς Τήβενναν εἶχεν,
C οὐ τὸν Δαβατηνὸν δὲ μόνον, ἀλλὰ καὶ τῶν ἐπιφανῶν Τρα- 10
πεζουντίων ἱκανοὺς καὶ αὐτὸν δὴ τὸν τοῦ Βακχηνοῦ ἀδελ-
φιδοῦν. ἐπεὶ δὲ τῶν δεσμῶν καὶ τῆς εἱρκτῆς οὐκ ἐλύοντο,
ὁμοφρονήσαντες ἅπαντες τοὺς μὲν φρουροῦντας αὐτοὺς τοῦ
ἀποστάτου αἰκίαις καθυποβαλόντες ἔξω τῶν τειχῶν ἐξαγα-
γόντες πόρρω που ἀπήλασαν, αὐτοὶ δὲ τὴν Τήβενναν σφετε- 15
ρισάμενοι κατεῖχον. ὁ δ' αὐτοκράτωρ πολλάκις διὰ γραφῶν
ποτὲ μὲν μετεπέμπετο αὐτόν, ποτὲ δὲ καὶ ξυνεβούλευε τῆς
κακίστης ἀποστῆναι πράξεως, εἰ βούλοιτο συμπαθείας τυχεῖν
καὶ εἰς τὴν προτέραν ἀναχθῆναι κατάστασιν, ἐνίοτε δὲ καὶ
ἠπείλει, εἰ μὴ πείθοιτο. ὁ δὲ τοσοῦτον ἀπεῖχε τοῦ ὑπακούειν 20
D τοῦ αὐτοκράτορος τὰ λῷονα συμβουλεύοντος, ὡς καὶ γραφὴν
πολύστιχον πρὸς αὐτὸν ἐκπεπομφέναι καθαπτομένην οὐ μό-

2. χρονοτριβήσοντα scripsi: χρονοτριβήσαντα P. 9. Τήβενναν F, Τήβεναν P. 10. Τραπεζούντων P, correxi. Βακχηνοῦ C. 14. καθυποβαλόντες C, καθυπροβαλόντες P. 15. Τήβενναν F, Τήβεναν P. 16. δὲ F.

Anemam in vincula coniectum primum accepit diuque tenuit. iam indictione duodecima, quem supra commemoravi, Gregorius Trapezuntis dux, cum Trapezuntem abiret, defectionem, quam dudum iam parturiverat, palam professus est. revertenti enim ille Cpolin Dabateno ducali potestate in Taronitam translata obviam factus comprehendit eum captivumque Tebennae in vinculis tenuit; nec Dabatenum solum, sed multos etiam illustres Trapezuntios, in his Baccheni consobrinum. qui cum e vinculis et carcere non expedirentur, conspiratione inter se facta custodes ab apostata datos male mulcant; quibus extra muros eiectis longeque amandatis Tebennam in suam redactam potestatem obtinent. imperator vero datis ad Gregorium saepe litteris modo ad se eum vocabat, modo ei suadebat, ut ab incepto pessimo desisteret, si veniam impetrare et in pristinum statum restitui vellet; interdum si morem non gereret, minabatur. ille autem tantum afuit, ut obtemperaret optimis imperatoris consiliis, ut librum mul-

νον τῶν τῆς συγκλήτου καὶ τοῦ στρατοῦ λογάδων, ἀλλὰ καὶ αὐτῶν δὴ τῶν συγγενῶν καὶ γαμβρῶν τοῦ αὐτοκράτορος. ἐκ ταυτησὶ δὲ τῆς γραφῆς διαγνοὺς αὐτὸν ὁ αὐτοκράτωρ καθ' ἑκάστην ἐπὶ τὸ χεῖρον προβαίνοντα καὶ εἰς παντελῆ ἀπόνοιαν
5 ἤδη συνελαυνόμενον καὶ ἀπογνοὺς αὐτοῦ παντάπασι τῆς τεσσαρεσκαιδεκάτης ἐπινεμήσεως ἐφισταμένης Ἰωάννην τὸν ἴδιον ἀδελφιδοῦν τῆς πρωτοτόκου αὐταδέλφης, ἐξάδελφον δὲ πατρόθεν τοῦ ἀποστάτου πέμπει κατ' αὐτοῦ κατὰ πρῶτον V. 289 μὲν λόγῳ μᾶλλον συμβουλευσόμενον τὰ σωτήρια, οἰόμενος
10 πεισθῆναι τούτῳ διὰ τὴν ἐκ τῆς συγγενείας γνησιότητα καὶ P. 365 τὴν ἐκ ταὐτοῦ αἵματος ἀμφοῖν κοινωνίαν· εἰ δὲ μὴ βούλοιτο, ἀνδρικῶς ἀντικαταστῆναι διά τε ξηρᾶς καὶ θαλάσσης πολλὰς συνεπαγόμενον δυνάμεις. μαθὼν δὲ τὴν τούτου ἔλευσιν ὁ Ταρωνίτης Γρηγόριος ἐξελθὼν ὡς πρὸς Κολώνειαν ἀπῄει
15 (πολίχνιον δὲ τοῦτο ἐρυμνότατον καὶ ἀνάλωτον), ἐφ' ᾧ μετακαλέσασθαι τὸν Τανισμάνην εἰς ἀρωγήν. τοῦτο ἐν τῷ ἀπιέναι μεμαθηκὼς ὁ Ἰωάννης τοὺς Κελτοὺς τοῦ ἰδίου στρατεύματος ἀποδιελόμενος καὶ λογάδας Ῥωμαίους κατ' αὐτοῦ ἐξέπεμψεν. οἳ καὶ προκαταλαβόντες καρτερὰν τὴν μετ' αὐ-
20 τοῦ ἀνεδήσαντο μάχην. δύο δὲ γενναῖοι ἐντυχόντες αὐτῷ B κατέσχον διὰ τῶν δοράτων καταβαλόντες τοῦ ἵππου. κᾆθ' οὕτως ἀναλαβόμενος αὐτὸν ὁ Ἰωάννης ζωγρίαν ἄγει τῷ αὐ-

7. ἀδελφιδοῦν] ἀδελφὸν C. 9. λόγῳ scripsi: λόγον libri. συμβουλευσόμενον scripsi: συμβουλευόμενον libri. 13. συνεπαγόμενος C.

torum versuum ad eum mitteret, quo non proceres solum senatus atque exercitus, sed cognatos quoque generosque imperatoris vehementer insectatus esset. ex quo scripto imperator cotidie illum in peiora aberrare cognoscens atque ad summam provehi amentiam, cum saluti eius plane desperaret, instante indictione quarta decima Ioannem suum ipsius consobrinum primogenita natum sorore patruelemque apostatae adversus illum misit, ut primo salutaribus datis consiliis ei persuaderet, cum hominem cum illo consanguinitatis et necessitudinis vinculo iunctum posse ab eo moveri putaret: tum, si minus obtemperaret, strenue multis terra marique adductis copiis bellum ei inferret. cuius adventu nuntiato egressus Gregorius Taronita Coloneam versus (arx ea est firmissima atque inexpugnabilis) abiit, ut Tanismanem in auxilium vocaret. quae cum Ioannes discedens comperisset, Gallos e suo exercitu segregatos cum lectissimis Romanorum adversus eum misit, qui brevi eum occupantes atrox proelium committunt, in quo duo milites fortissimi ipsum assecuti lanceis de equo deiectum capiunt. quem Ioannes sic

τοκράτορι ἐπομοσάμενος μηδὲ θεάσασθαι αὐτὸν τὸ παράπαν μήτε ὁμιλίας ἀξιῶσαι κατὰ τὴν ὁδόν. πολλὰ δὲ ὅμως ὑπὲρ αὐτοῦ παρεκάλει τὸν αὐτοκράτορα, ἐκείνου ὑποκρινομένου τῶν ὀμμάτων αὐτὸν βούλεσθαι ἀποστερῆσαι. μόγις οὖν ὁ αὐτοκράτωρ τὴν ὑπόκρισιν παρεγύμνωσε κατανεύσας δῆθεν 5 ταῖς αὐτοῦ παρακλήσεσι πολλὰ παρεγγυησάμενος, μὴ ἔκφορον τὸν λόγον ποιήσασθαι. μετὰ δὲ τρίτην ἡμέραν τὴν ἐν C χρῷ κουρείαν κειράμενον τὴν κεφαλήν τε καὶ τὸν πώγωνα διὰ μέσης περιαχθῆναι τῆς ἀγορᾶς ἐκέλευσε κᾆθ' οὕτως εἰς τὸν ἤδη ῥηθέντα πύργον τοῦ Ἀνεμᾶ εἰσαχθῆναι. ἐπεὶ δὲ 10 καὶ ἔμφρουρος ὢν ἀσύνετος ἦν ἀπονοίας ῥήματα πρὸς τοὺς δεσμοφύλακας ὁσημέραι ἀποφοιβάζων, πολλῆς παρὰ τοῦ αὐτοκράτορος ἐπιμελείας διὰ μακρῶν ἠξιοῦτο χειρῶν, ὥστε μεταβαλεῖν καὶ μετανοίας ἐνδείξασθαι τρόπον. ὁ δὲ ὁ αὐτὸς καὶ αὖθις ἦν, μετεκαλεῖτο δὲ συχνῶς τὸν ἐμὸν Καίσαρα 15 πάλαι πρὸς ἡμᾶς φιλίως ἔχων. καὶ παρεχώρει τούτῳ τηνικαῦτα καὶ ὁ αὐτοκράτωρ, ἐφ' ᾧ καὶ τῆς πολλῆς αὐτὸν ἀνα- D κτᾶσθαι ἀθυμίας καὶ συμβουλεύειν τὰ λῷονα. ὁ δὲ βραδὺς πρὸς τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν ἐφαίνετο. ἔνθεν τοι καὶ ἐπὶ πλείονα καιρὸν ἔμφρουρος ἦν. εἶτα συμπαθείας ἀξιω- 20 θεὶς τοσαύτης φιλοφροσύνης ἀπήλαυε καὶ δωρεῶν καὶ τιμῆς ὁπόσης οὐδὲ πρὸ τοῦ, ὁποῖος ὁ ἐμὸς βασιλεὺς περὶ τὰ τοιαῦτα.

2. μήτε] μὴ ὅτι γε? 5. παρεγύμνωσε F, παρεγύμνωσεν P. 9. ἐκέλευσε F, ἐκέλευσεν P. 14. τρόπον F, τρόπους C, τρόπου P. 21. ἀπήλαυε F, ἀπήλαυσεν P.

comprehensum* ad imperatorem ducit iure iurando affirmans, se illum omnino non adiisse, nedum quicum colloqueretur in itinere umquam dignum iudicasset. atqui permultum pro eo imperatorem deprecabatur oculis se illum velle privare simulantem. tandem simulationem aegre imperator detexit illius precibus annuens; valde tamen eum admonuit, ne id palam fieret. tribus autem diebus post per medium traduci eum forum capillis barbaque usque ad cutem abrasis ac deinde in Anemae turrim supra memoratam duci iussit. ibi quoque prorsus is insipiens amentiae dicta coram custodibus cotidie hariolabatur, quamquam imperator quasi longis manibus magnam curam ei adhibuit, ut se converteret poenitentiaeque documenta daret. ipse vero minime animum mutabat; cumque saepius Caesarem meum ad se vocasset (fuerat enim dudum nobiscum amicitia coniunctus), permisit huic imperator, ut et aegritudinem in qua erat maxima levaret et meliora suaderet. sed ad inclinandum in melius tardum sese praestitit; quare diutius in custodia retinebatur. tandem venia impetrata, quae erat imperatoris mei in tali re clementia, tanta donorum honorumque copia fruebatur, quanta numquam antea.

8. Οὕτω μὲν οὖν τὰ κατὰ τοὺς ἐπιβούλους καὶ τὸν ἀποστάτην Γρηγόριον οἰκονομήσας οὐδὲ τὰ κατὰ τὸν Βαϊμοῦντον ἐλάθετο, ἀλλὰ μεταπεμψάμενος τὸν Κοντοστέφανον Ἰσαάκιον μέγαν δοῦκα τοῦ στόλου προυβάλετο καὶ πρὸς P. 366
5 τὸ Δυρράχιον ἐξέπεμψεν ἐπαπειλησάμενος τὴν τῶν ὀφθαλμῶν αὐτοῦ ἐκκοπήν, εἰ μὴ φθάσας προκαταλάβοι τὴν πρὸς τὸ Ἰλλυρικὸν τοῦ Βαϊμούντου διαπεραίωσιν. πέμπει δὲ καὶ συνεχῆ γράμματα πρὸς τὸν δοῦκα Δυρραχίου Ἀλέξιον, τὸν ἀδελφιδοῦν αὐτοῦ, ἐπαλείφων τοῦτον καὶ παρασκευάζων
10 ἐγρηγορέναι διὰ παντὸς καὶ τοὺς κατὰ τὴν θάλασσαν ἐπισκοποῦντας αὐτὸ τοῦτο ποιεῖν παρακελεύεσθαι, ὡς μὴ λάθοι ὁ Βαϊμοῦντος διαπεράσας, ἀλλ' εὐθὺς δηλωθῆναί οἱ διὰ γραμμάτων. ταῦτα μὲν οὖν ὁ αὐτοκράτωρ· ὁ δὲ Κοντοστέφανος ἐντεταλμένον ἔχων μηδὲν ἄλλο ἢ τὸν ἀναμεταξὺ V. 290
15 Λογγιβαρδίας * ἐπιμελῶς τηρεῖν πορθμὸν καὶ τοὺς πρὸς τὸ Δυρράχιον προπομποὺς τοῦ Βαϊμούντου καὶ πᾶσαν τὴν αὐτοῦ παρασκευὴν ἐκεῖθεν ἐνθάδε κομισομένους ἀπείργειν καὶ B
μηδὲ τὸ τυχὸν κομίζεσθαί οἱ ἐκ Λογγιβαρδίας παράπαν συγχωρεῖν ἀπελθὼν ἠγνόησε τὸν ἐπιτήδειον τόπον τῶν ἐκεῖθεν
20 πρὸς τὸ Ἰλλυρικὸν διαπλωϊζομένων· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ παραβλεψάμενος τὰ προστεταγμένα εἰς Ὑδροῦντα διαπερᾷ, ὅπερ πόλις ἐστὶ κατὰ τὴν παραλίαν τῆς Λογγιβαρδίας

4. δούκαν F. προυβάλετο F, προυβάλλετο P. 10. θάλασσαν F, θάλατταν P. 15. lacunam signavi. 19. ἐκεῖθεν F, ἐκεῖσε P. 21. Ἱδροῦντα P, correxi.

8. Rebus ita adversus insidiatores et Gregorium apostatam administratis imperator ne Boëmundi quidem oblitus est, sed ad se arcessitum Contostephanum Isaacium magnum classis Romanae ducem nominavit statimque proficisci Dyrrachium iussit minis insuper additis. oculos ipsi effossum iri, nisi Boëmundum in Illyricum traiecturum ipse antevertisset. stimulabat etiam assiduis litteris Dyrrachii ducem Alexium fratris sui filium, ut et ipse acriter invigilaret et exploratores in mari collocatos, ut idem facerent, hortaretur, ne imprudentibus ipsis Boëmundus traiceret, sed extemplo litteris datis id sibi indicarent. quibus ab imperatore sic constitutis Contostephanus tamen, cui id solum demandatum fuit, ut fretum inter Longibardiam * diligentissime tueretur nec naves a Boëmundo Dyrrachium praemissas apparatum quemlibet illuc portantes transire nec denique quidquam ei ex Longibardia subvehi sineret, primum ignorabat locum, quem ibi opportunissimum hostes in Illyricum traiecturi haberent; neque hoc solum, sed contemptis etiam ipsis mandatis Hydruntem traiecit, urbem in ora Longibardiae maritima sitam. cui tum urbi mulier quaedam

διακειμένη. ταύτην τὴν πόλιν γυνή τις ἐφρούρει, μήτηρ, ὡς ἐλέγετο, τοῦ Ταγγρέ, εἴτε ἀδελφὴ τοῦ ἐν πολλοῖς ἤδη ῥηθέντος Βαϊμούντου εἴτε καὶ μή, συνιδεῖν οὐκ ἔχω· οὐ γὰρ οἶδα σαφῶς, εἰ πατρόθεν ἢ μητρόθεν τὴν πρὸς
C τὸν Βαϊμοῦντον ὁ Ταγγρὲ συγγένειαν ἐκέκτητο. ἐκεῖσε 5 παραγενόμενος καὶ προσορμίσας τὰς νῆας ἀπεπειρᾶτο τῶν τοῦ Βρεντησίου τειχῶν καὶ εἰς χεῖρας εἶχεν ἤδη. ὡς δὲ τοῦτο ἡ ἐντὸς οὖσα γυνὴ φρενήρης οὖσα καὶ σταθηρὰ τὴν γνώμην ἐθεάσατο, ὁπηνίκα τὰς ναῦς κεῖθι προσώρμισεν, εἰς ἕνα τῶν υἱῶν αὐτῆς ἀποστείλασα σπου- 10 δαίως τοῦτον μετεκαλεῖτο. τοῦ δὲ ναυτικοῦ παντὸς θαρσήσαντος ἤδη, ὡς ἐν χερσὶ τὴν πόλιν ἔχοντος, καὶ τὴν τοῦ βασιλέως εὐφημίαν ποιουμένων ἁπάντων, καὶ αὕτη ἐν ἀμηχανίᾳ καταστᾶσα ταὐτὸ τοῦτο παρεκελεύετο ποιεῖν καὶ τοὺς ἐντός. ἅμα δὲ καὶ πρὸς τὸν Κοντοστέφανον πρέσβεις ἀπο- 15 στείλασα δουλείαν ὡμολόγει τῷ αὐτοκράτορι καὶ εἰρηνικὰς μετ' αὐτοῦ σπονδὰς ὑπισχνεῖτο ποιήσασθαι πρός αὐτόν τε
D ἐξελεύσεσθαι τὰ κατὰ σκοπὸν ἀνακοινωσομένη, ὡς πάντα δι' αὐτοῦ δηλωθείη τῷ αὐτοκράτορι. τοιαῦτα δὲ ἐμηχανᾶτο ἀπαιωροῦσα τὸν τοῦ Κοντοστεφάνου λογισμόν, εἴ που ἐν τῷ 20 μεταξὺ καταλάβοι ὁ ταύτης υἱὸς καὶ τηνικαῦτα τὴν σκηνήν, καθάπερ τοὺς τραγικούς φασι, ῥίψασα μάχης ἀνθέξοιτο.

1. διακειμένη τῷ ἐκεῖθεν ἱσταμένῳ καὶ πρὸς τὸ Ἰλλυρικὸν ἀποβλέποντι δεξιόθεν διακειμένη F: verba τῷ ... διακειμένη scholiastam redolent. 3. οὐχ P, correxi. 5. ἀνεκέκτητο C. 22. τραγικούς C, τραγικὸς P.

praeerat, Tancredi, ut ferebatur, mater, nec scio, utrum soror saepe iam memorati Boëmundi necne. neque enim satis exploratum habeo, paternane Tancredi an materna fuerit cum Boëmundo consanguinitas. quo ubi ventum est, navibus constitutis Brundisii muris se admovit, iamque in manibus eius urbs fuit, nisi mulier ei praefecta prudenti usa constantique animo, ubi naves conspexit ibi ad ancoras deligari, citissime unum ex filiis suis arcessivisset. sed cum classiarii omnes iam captam esse civitatem rati alacri animo omnia fausta imperatori acclamarent, quod de salute desperaret, ipsa quoque suos milites idem facere iussit. simul missis ad Contostephanum legatis deditionem urbis in potestatem imperatoris spopondit promisitque pacis foedera cum eo sese inituram esse ad eumque profecturam, ut quae ex re essent coram tractaret, ipse vero omnia ad imperatorem deferret. ac machinando haec Contostephani animum suspensum tenuit eo quidem consilio, ut, si filius interim advenisset, scaena, ut tragicos facere

συμμιγοῦς οὖν τῆς εὐφημίας ἀπό τε τῶν ἐντὸς ἀπό τε τῶν ἐκτὸς γινομένης καὶ πάντα τὰ πέριξ κατειληφυίας, ἐπεὶ τοιού- P. 367
τοις λόγοις καὶ ἐπαγγελίαις ψευδέσι τὸν τοῦ Κοντοστεφάνου ἀπῃώρει λογισμὸν ἡ στρατιῶτις ἐκείνη γυνὴ ὡς εἴρηται, κα-
5 ταλαμβάνει καὶ ὁ προσδοκώμενος μεθ' ὧν συνυπήγετο κομήτων καὶ ὁμόσε κατὰ τοῦ Κοντοστεφάνου χωρήσας ἡττᾷ κατὰ κράτος. οἱ μὲν οὖν τοῦ ναυτικοῦ ἅπαντες ὡς ἄπειροι τῆς διὰ ξηρᾶς μάχης τῇ θαλάσσῃ ἑαυτοὺς προσέρριψαν· τῶν δέ γε Σκυθῶν προεκδραμόντων (παρῆσαν γὰρ ἱκανοὶ μετὰ
10 τοῦ Ῥωμαϊκοῦ στρατεύματος) ἐν τῷ καιρῷ τῆς μάχης εἰς προνομήν, ὡς ἔθος τοῖς τοιούτοις βαρβάροις, συμβέβηκεν ἁλῶναι τούτων ἓξ τὸν ἀριθμόν, οὓς καὶ ἀποσταλέντας θεασάμενος ὁ Βαϊμοῦντος καθάπερ τι μέγιστον πόρισμα τού- B
τους λαβὼν εὐθὺς πρὸς Ῥώμην ἀπῄει. καὶ καταλαβὼν τὸν
15 ἀποστολικὸν θρόνον καὶ τῷ πάπᾳ διαλεχθεὶς καὶ πρὸς ὀργὴν ὅλον κινήσας κατὰ τῶν Ῥωμαίων καὶ τὴν ἀνέκαθεν τῶν βαρβάρων τούτων μῆνιν κατὰ τοῦ ἡμεδαποῦ γένους ἀνερεθίσας, ἵνα μᾶλλον τοὺς ἀμφὶ τὸν πάπαν Ἰταλοὺς ἐκμήνειεν, ὁ Βαϊμοῦντος καὶ τοὺς ἑαλωκότας τῶν Σκυθῶν παρεστή-
20 σατο ὥσπερ ἐξ αὐτῶν τῶν πραγμάτων ἐνδεικνύμενος, ὡς ἄρα ὁ αὐτοκράτωρ Ἀλέξιος δυσμενῶς ἔχων τὰ πρὸς Χριστιανοὺς βαρβάρους τινὰς ἀπίστους καὶ ἀλλοκότους ἱππο-

1. εὐφημίας F; εὐφήμης P. 2. κατειληφυίας C; κατειλειφυίας P. 5. συνυπήγετο F, συναπήγετο P. 13. ὁ βάρβαρος Βαϊμοῦντος F; m. ead. βάρβαρος expunxit. 17. γένους] σθένους C.

dicunt, repente deiecta ad pugnam se converteret. consonantibus igitur obsessorum obsidentiumque acclamationibus, quibus omnia circum complerentur, cum illis verbis falsisque nuntiis virago illa, ut diximus, Contostephani animum suspenderet, advenit interim expectatus ab ea filius una cum aliis comitibus, qui in Contostephanum simul invecti ingentem ei cladem inferunt. itaque turba classiariorum terrestrium pugnarum imperita in mare se proiecit. quidam vero Scytharum, qui haud pauci erant in Romano exercitu, cum in ipso pugnae discrimine praedandi causa, ut mos est horum barbarorum, excurrissent, accidit, ut caperentur eorum sex, quos ad se missos Boëmundus intuitus sicut amplissimum accepit corollarium. statim enim cum his Romam abiit sedemque adiens apostolicam ac papam colloquiis aggressus ad summam acuit in Romanos iram veteremque barbarorum istorum adversus genus nostrum furorem concitavit. sed ut papae et Italorum Boëmundus rabiem magis commoveret, captos Scythas in medio collocavit, quasi iam ipsis ex rebus ostendens, imperatorem Alexium, Christiani nominis hostem, impiis

C τοξότας ἐφίστησι κατὰ τῶν Χριστιανῶν ὅπλον κινοῦντας καὶ τόξον ἐντείνοντας. καὶ ἐφ' ἑκάστου λόγου τοιούτου ὑπε-
V. 291 δείκνυ τοὺς Σκύθας ἐκείνους τῷ πάπᾳ σκυθικῶς ἐσταλμένους καὶ κατὰ τὸ εἰωθὸς πρὸς τὸ βαρβαρικώτερον ἀποβλέποντας καὶ τούτους κατὰ τὸ ἔθος τῶν Λατίνων παγάνους ἄνω καὶ 5 κάτω προσηγόρευε καταμωκώμενος καὶ τοὔνομα καὶ τὸ σχῆμα. πανούργως δέ, ὡς ἔοικε, τὸ πρᾶγμα μετεχειρίζετο τοῦ κατὰ Χριστιανῶν πολέμου, ἵνα δὴ καὶ ἀρχιερατικὴν γνώμην συμπείσειεν, ὡς εὐλόγως ἄρα κατὰ τῆς τῶν Ῥωμαίων ἔχθρας κεκίνητο, ἐν ταὐτῷ μνηστευόμενος καὶ πολλῶν ἀνδρῶν αὐ- 10 τόματον συλλογὴν ἀγροικοτέρων καὶ ἀνοήτων. τίς γὰρ ἂν
D οὐχὶ τῶν ἀγχοῦ καὶ πόρρω βαρβάρων αὐτόμολος ἧκεν εἰς τὸν καθ' ἡμῶν πόλεμον ἀρχιερατικῆς γνώμης ἐπιτρεπούσης καὶ τοῦ φαινομένου εὐλόγου πᾶσαν ἵππον καὶ ἄνδρα καὶ χεῖρα στρατιωτικὴν ἐξοπλίζοντος; τοῖς τούτου λόγοις οὖν 15
P. 368 συνελαθεὶς ὁ πάπας καὶ ὁμογνωμονήσας αὐτῷ τὴν πρὸς τὸ Ἰλλυρικὸν ἐπέτρεψε διαπεραίωσιν. ἐπανιτέον δὲ αὖθις πρὸς τὸ προκείμενον. ἐκθυμότερον μὲν οὖν οἱ ἠπειρῶται στρατιῶται τῆς μάχης ἀντείχοντο· τοὺς δέ γε λοιποὺς τὸ τῆς θαλάττης ῥόθιον ὑπεδέξατο. κἀντεῦθεν λαμπρὰν οἱ Κελτοὶ 20 εἶχον εἰς χεῖρας νίκην· οἱ δέ γε γενναιότεροι τῶν στρατιωτῶν καὶ μᾶλλον οἱ τῆς μείζονος τύχης, ὧν φέριστοι [μᾶλλον]

4. βαρβαρικώτερον F, βαρβαρικὸν P. 17. αὖθις τὸν λόγον F. 20. ὑπεδέχετο C. 21. εἶχον FC, εἴχων P. 22. μᾶλλον seclusi.

barbaris atque immanibus sagittariis uti equestribus, qui in Christianos arma moverent arcumque intenderent. sic in omnibus sermonibus Scythas illos papae exhibuit scythice armatos et, ut consueverunt, barbaricum valde tuentes eosque Latinorum more paganos vocitabat nomen habitumque irridens. nefarie vero ille parabat certe bellum adversus Christianos, ut pontifici quoque persuaderet summo iure se ira adversus Romanorum inimicitias incendi, eo consilio, ut ita multi rudiores scilicet stultique sponte concurrerent. quis enim tum prope longeve distantium barbarorum ultro ad bellum nobis inferendum non advolasset pontifice ipso incitante et iusta, ut videbatur, causa equos virosque et manus armante? itaque papa eius fraudibus deceptus cum eoque consentiens in Illyricum expeditionem commendavit. sed ut redeam ad propositum, fortius quidem terrestres milites in pugna restiterunt, ceteros autem fugientes maris fluctus receperunt. iam clarissimam utique in manibus Galli victoriam habebant, nisi fortissimi nostrorum militum, praesertim qui nobiliores inter illos erant, quorum

ἐκεῖνος Νικηφόρος Ἐξαζηνὸς ὁ Ὑαλέας καὶ ὁ τούτου ἐξάδελφος Κωνσταντῖνος Ἐξαζηνὸς ὁ καλούμενος Δούκας καὶ ὁ ἀνδρικώτατος Ἀλέξανδρος ὁ Εὐφορβηνὸς καὶ ἕτεροι τῆς αὐτῆς ἀξίας καὶ τ'χης, μνησάμενοι θούριδος ἀλκῆς ἐπιστρα-
5 φέντες καὶ τοὺς ἀκινάκεις σπασάμενοι ὅλῃ χειρὶ καὶ γνώμῃ B πρὸς τοὺς Κελτοὺς ἐμάχοντο τὸν ὅλον ἀναδεξάμενοι πόλεμον καὶ ἡττήσαντες αὐτοὺς λαμπρὰν τὴν κατ' αὐτῶν νίκην ἤραντο. ἀνακωχὴν οὖν ὁ Κοντοστέφανος ἐντεῦθεν λαβὼν τῆς Κελτικῆς ἐπελεύσεως λύσας ἐκεῖθεν τὰ πρυμνήσια μετὰ τοῦ ναυ-
10 τικοῦ παντὸς τὸν Αὐλῶνα καταλαμβάνει. ἐπεὶ δέ, ὁπότε πρώτως τὸ Δυρράχιον καταλαβὼν τὰς ὑφ' ἑαυτὸν πολεμικὰς ναῦς ἐξ αὐτοῦ τοῦ Δυρραχίου μέχρι τοῦ Αὐλῶνος καὶ αὐτῆς τῆς καλουμένης Χιμάρας διέσπειρεν, ἀπέχοντος μὲν τοῦ Δυρραχίου τοῦ Αὐλῶνος σταδίους ἑκατόν, τῆς δὲ Χιμάρας
15 τοῦ Αὐλῶνος αὖθις ἀπεχούσης σταδίους ἑξήκοντα, τὴν τοῦ C Βαϊμούντου ἐπειγομένην ἤδη ἐμάνθανε διαπεραίωσιν, στοχασάμενος ἐνδεχόμενον εἶναι μᾶλλον εἰς τὸν Αὐλῶνα διαπερᾶσαι αὐτὸν διὰ τὸ ἧττονα εἶναι τὸν πρὸς τὸν Αὐλῶνα πλοῦν τοῦ πρὸς τὸ Δυρράχιον καὶ διὰ τοῦτο δεῖν πλείονα
20 τὴν φυλακὴν τοῦ Αὐλῶνος ποιήσασθαι ἀπελθὼν μετὰ τῶν ἑτέρων δουκῶν ἐτήρει ἐπιμελῶς τὸν ἀναμεταξὺ πορθμὸν ἐκ τοῦ Αὐλῶνος καὶ κατὰ τὴν ἀκρολοφίαν τοῦ καλουμένου

1. ὑαλέας F, Υελέας P. 13. Χιμαίρας C. διέσπειρεν F, διέπειρεν P. 14. Χιμαίρας C. 15. ἀπεχούσης F, ἀπέχουσαν P. 17. τὸν F, αὐτὸν P. 21. ἐκ addidi.

praeclarissimi erant Nicephorus Exazenus Hyaleas cognominatus eiusque patruelis Constantinus Exazenus cognomine Ducas ac maxime strenuus ille Alexander Euphorbenus aliique eiusdem loci dignitatisque, acerrimae memores virtutis conversi strictis gladiis tota vi totoque animo Gallis repugnassent et universo proelio renovato clarissimam de iis victoriam reportassent. qua re, cum Gallos, ne impetum facerent, remorarentur, usus Contostephanus universa illinc soluta classe Aulonem occupavit. sed quoniam, cum primum Dyrrachium venit navesque, quas habebat longas, ab ipso Dyrrachio ad Aulonem usque et locum qui dicitur Chimaram sparsit (distat autem Aulon a Dyrrachio stadia centum, Chimara ab Aulone sexaginta), fama instantis Boëmundi traiectionis percrebruit, hanc susceptum iri Aulonem coniectabatur, quod Aulon propius quam Dyrrachium aberat, ob eamque rem Aulonem maiori praesidio debere firmari. cum reliquis igitur ducibus profectus fretum ab Aulone diligenter observabat spe-

Ἰάσονος βουνοῦ σκοποὺς ἐπιστήσας, ἐφ' ᾧ τὴν θάλασσαν
περιαθρεῖν καὶ τὰς ναῦς ἐπισκοπεῖν. Κελτὸς δέ τις ἐκεῖ-
θεν ἄρτι διαπεραιωθεὶς ἐβεβαίου τούτοις τὴν τοῦ Βαϊμούν-
D του ἐπὶ ξυροῦ εἶναι διαπεραίωσιν. τοῦτο οἱ Κοντοστέφανοι
V. 292 μεμαθηκότες καὶ ἀποδειλιῶντες πρὸς τὴν μετὰ τοῦ Βαϊμούν- 5
του ναυμαχίαν (καὶ γὰρ καὶ φήμη μόνη τούτους κατέπληττε)
νοσεῖν ἐσκήψαντο καὶ διὰ τοῦτο δεῖσθαι βαλανείων. καὶ ὁ
Λαντοῦλφος καὶ τοῦ ναυτικοῦ παντὸς ἐξηγούμενος, ἐμπει-
ρίαν πολλὴν τῆς ναυλοχίας καὶ τοῦ κατὰ θάλασσαν πολέμου
ἐκ πολλοῦ κεκτημένος, πολλὰ τούτοις παρηγγυᾶτο ἐγρηγορέ- 10
ναι διὰ παντὸς καὶ τὴν τοῦ Βαϊμούντου καραδοκεῖν ἔφοδον.
P. 369 οἱ δὲ Κοντοστέφανοι ἐν τῷ πρὸς Χιμάραν ἀπιέναι βαλανείου
χάριν τὸν καλούμενον δεύτερον τὸν δρουγγάριον τοῦ στόλου
μετὰ τοῦ Ἐξκουσσάτου μονήρους κατ' αὐτὴν τὴν Γλῶσσαν
σκοπέα κατέλιπον οὐ πόρρω που τοῦ Αὐλῶνος διακειμένην. 15
ὁ δέ γε Λαντοῦλφος κατὰ τὸν Αὐλῶνα προσέμενε μετά τι-
νων συμμέτρων νηῶν.

9. Τούτων οὕτω διατεθέντων οἱ μὲν ἀπήεσαν ἢ λου-
σόμενοι ἢ κατὰ σχῆμα λουσόμενοι· ὁ δὲ Βαϊμοῦντος δώδεκα
μὲν λῃστρικὰς νῆας τάξας ἀμφ' αὐτὸν διήρεις ἁπάσας οὔσας 20
B καὶ εἰρεσίαν πολλὴν κεκτημένας, ὡς καὶ ἠχητικόν τι καὶ

1. θάλασσαν F, θάλατταν P. 4. τοῦτο FC, τοῦτον P. Κων-
τοστέφανοι P, correxi. 5. ἀποδειλειῶντες P, correxi. μετὰ
F, om. P. 6. κατέπληττε F, καλέπληττε P. 9. θάλασσαν F,
θάλατταν P. 13. δρουγγάριον F, Δρουγγάρην P. 14.
κατ' αὐτὴν τὴν γλῶσσαν F, κατὰ τὴν γλῶσσαν αὐτήν C, κατ'
αὐτὴν γλῶσσαν P. 18. ἀπήεισαν P, correxi. 21. ἠρεσίαν F.

culatoribus etiam in vertice collis, qui vocatur Iasonis, dispositis, unde et mare oculis perlustrarent et ad naves attenderent. quibus Gallus quidam, qui modo traiecerat, pro certo affirmat, proxime instare Boëmundi traiectionem. quod ubi audiunt Contostephani, navalis proelii cum Boëmundo committendi metu perterriti et iam sola fama perculsi aegrotare se simulant ideoque indigere balneis. iam Lantulphus, omnium nauticorum dux, vir magna ex diuturno usu maritimorum proeliorum navalisque belli peritia praestans, ut vigilarent quam maxime Boëmundique adventum praestolarentur, eos exhortabatur. Contostephani autem Chimaram balneorum causa profecturi secundum qui dicitur classis drungarium cum Excussata monere apud ipsam Glossam non longe ab Aulone sitam ad speculandum reliquerunt. Lantulphus vero cum idoneo navium numero Aulone remansit.

9. Rebus ita dispositis abierunt illi vel balneis usuri vel se id facturos simulantes. instruxit autem Boëmundus duodecim piraticas naves, quarum quaeque duplicem habebat remorum ordinem, remi-

κατάκροτον ἐπικτυποῦσαν ταῖς τῶν κωπῶν συνεχέσιν ἐπεμβολαῖς, κύκλῳ δὲ τοῦ τοιούτου στόλου συντάξας στρογγύλας νῆας ἐξ ἑκατέρου μέρους καθάπερ περίβολον ἐντὸς τὸν πολεμικὸν συνέκλειε στόλον. καὶ εἶπες ἂν ἰδὼν καὶ πόρρωθεν
5 ἀπὸ σκοπιᾶς θεασάμενος πόλιν εἶναι διαπόντιον τὴν πλέουσαν ναυστολίαν. συνεπέβαλε γάρ τι καὶ τὰ τῆς τύχης αὐτῷ. καὶ γὰρ ἥ γε θάλασσα ἀκύμαντος ἦν, εἰ μὴ ὅσον κατὰ τὸν νότον ἐπέφρισσεν αὔρας λιγείας ἐπιπνεούσης καὶ ὅσον ἐξογκούσης τὰ τῶν ὁλκάδων ἱστία. ἐποίει γὰρ ἐκείνας μὲν C
10 οὐριοδρομεῖν, τὰς δ' ἐρεσσομένας τῶν νηῶν ταῖς πλεούσαις εὐθυδρομεῖν καὶ κρότον ἐξάκουστον καὶ ἐν μέσῳ πελάγους τοῦ Ἀδριαντικοῦ ἑκατέραις ταῖς ἠπείροις ἠχεῖν. οὕτως ἦν θέαμα θάμβους ἄξιον ὁ βαρβαρικὸς οὗτος στόλος τοῦ Βαϊμούντου, ὃν εἰ καὶ οἱ περὶ τοὺς Κοντοστεφάνους ὠρρώδη-
15 σαν, οὐκ ἂν μεμψαίμην οὔτ' ἂν δειλίας τοὺς ἄνδρας γραψαίμην. καὶ γὰρ ἂν τοῦτον καὶ τὸν οὕτως ἔχοντα στόλον καὶ ὁ Ἀργοναυτικὸς ἐκεῖνος ἐδεδοίκει στόλος, μὴ ὅτι γε Κοντο- D στέφανοι καὶ Λαντοῦλφοι καὶ τοιοῦτοί τινες. ὁ γάρ τοι Λαντοῦλφος τὸν Βαϊμοῦντον θεασάμενος οὕτω φρικτῶς
20 διαπλωϊζόμενον μετὰ μυριοφόρων ὁλκάδων, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν ἀκριβέστερον, ἐπεὶ οὐχ οἷός τε πρὸς το-

4. συνέκλειε FC, συνέκλεισε P. 6. τὰ FC, τὸ P. 7. γε scripsi: τε P. 8. ἐπεφρίασεν P, correxi. 10. δ' F, δὲ P.

gum vero tantam copiam, ut magnum sonum fragoremque frequenti remorum pulsu ederent. quam quidem classem cingebat rotundis compluribus navibus, quibus ipsa expeditio quasi vallaretur, plane ut si quis de specula natantem procul classem prospiceret, urbem eam esse in mari sitam putaret. qua in re quodammodo eum etiam fortuna adiuvit. fuit enim mare tunc tranquillum, uno noto in tantum flante ut mare inhorresceret et onerariarum vela implerentur; quo factum est, ut hae secundo vento cursum tenerent, remis vero acta navigia aequali semper ab illis distantia ferrentur et ex medio mari Adriatico usque ad continentis utriusque littora ingens classis strepitus resonaret. sic spectaculum admiratione dignum barbara illa fuit classis Boëmundi; quae si Contostephanis terrorem iniecisset, eos non reprehenderem neque ignaviae viros insimularem. eiusmodi enim classis atque ita instructa etiam Argonauticam illam timore perculisset, nedum Contostephanos et Lantulphos istos aliosque eiusmodi viros. Lantulphus enim cum Boëmundum tam terribili modo extructum cum vastissimis onerariis, ut distinctius supra exposuimus, invehentem videret ac minime par esset, qui cum tanto exercitu proelium iniret, paulum

σούτους μάχεσθαι ἦν, μικρὸν τοῦ Αὐλῶνος παρεκκλίνας
ἄδειαν τῷ Βαϊμούντῳ δίδωσι. δεξιᾷ δὲ τύχῃ χρησάμενος ἐκ
Βάρεως ἐπὶ τὸν Αὐλῶνα περαιωσάμενος ἅπαν τὸ διαπόν-
P. 370 τιον αὐτοῦ στράτευμα εἰς τὴν περαίαν ἀποβησάμενος πρῶτα
μὲν ἐληΐσατο τὴν παραλίαν ἅπασαν ἀμύθητον στράτευμα 5
ἐπαγόμενος Φραγγικόν τε καὶ Κελτικὸν καὶ ὅσοι ἀπὸ τῆς
Θούλης νήσου στρατεύονται Ῥωμαίοις τότε δὴ αὐτῷ προσχω-
V. 293 ρήσαντες διὰ τὴν τοῦ καιροῦ δυναστείαν καὶ δὴ καὶ πλείους
τοῦ Γερμανικοῦ γένους καὶ ἀπὸ τῶν Κελτιβήρων. τούτους
γὰρ ἅπαντας συλλεξάμενος ἐπὶ πάσης τῆς ἐντὸς Ἀδρίου 10
ἐφήπλωσε γῆς καὶ τὰ ἐφεξῆς ἅπαντα ληϊσάμενος τῇ Ἐπι-
δάμνῳ προσέβαλεν, ἣν Δυρράχιον ὀνομάζομεν, ταύτην τὴν
πόλιν σκοπὸν ἔχων ἑλεῖν καθ' οὕτως τὴν ἐπὶ τάδε μέχρι
B τῆς Κωνσταντίνου ληΐσασθαι. δεινὸς δὲ ὢν εἴπερ ἄλλος
τις εἰς πολιορκίαν ὁ Βαϊμοῦντος καὶ τὸν Πολιορκητὴν ἐκεῖ- 15
νον Δημήτριον ὑπερβαλλόμενος τὴν Ἐπίδαμνον πᾶσαν ἐν
νῷ βαλλόμενος πάσας ὠδῖνας μηχανικὰς κατὰ τῆς πόλεως
ταύτης ἐκίνησε. πρῶτα μὲν κύκλῳ περιβαλόμενος τὸ ἑαυ-
τοῦ στράτευμα καὶ τὰ ἐγγὺς καὶ πορρωτέρω τῆς πόλεως
Δυρραχίου πολιορκῶν καὶ ποτὲ μὲν ὑπαντιαζόντων αὐτῷ 20
στρατευμάτων Ῥωμαϊκῶν, ποτὲ δὲ καὶ ἐρημίας οὔσης τῶν
ἀποκωλυόντων αὐτόν. καὶ πολέμων πολλῶν καὶ κλόνων

3. ἐπὶ FC, ἐπεὶ P. 10. ἐπὶ addidi. 14. ἤπερ P. correxi. 17. ὠδῖνας F, ὠδύνας P. 18. περιβαλόμενος F, περιβαλλόμενος P. 19. πορρωτέρω F, πορρώτερον P. 20. αὐτῷ F, αὐτῶν C, αὐτὸν P. 21. δὲ καὶ F, καὶ om. P.

ab Aulone declinans liberum Boëmundo transitum reliquit. sic secunda usus fortuna totum navalem exercitum Bario Aulonem transiectum in adversam oram exposuit, quam quidem primum prorsus depopulatus est. innumerabiles vero eius copiae erant: erant ibi Franci Gallique plurimi omnesque, qui Thule insula oriundi sub Romanorum signis militant, sed tunc sub novis principibus ei se applicuerant; accedebant his permulti etiam Germanici generis Celtiberique. totum hunc exercitum in terram Adriatico mari cinctam inmisit et cunctis deinceps devastatis Epidamno, quam Dyrrachium dicimus, sese admovit. qua quidem urbe potiri indeque ad Cpolim usque omnia praedari in animo habebat. cumque prae omnibus Boëmundus urbium oppugnandarum peritia excelleret et Demetrio illo Poliorceta maior esset, ad Epidamnum totum se vertens omnibus oppugnandi operibus urbem aggressus est. ac primo quidem in orbem totum explicans exercitum et propiora et remotiora a Dyrrachio loca oppugnavit Romanorum copiis modo ei oc-

ἐγγινομένων καὶ φόνων, καθάπερ ἄνωθεν εἴρηται, πρὸς τὴν πολιορκίαν αὐτὴν τῆς πόλεως Δυρραχίου ἀπέβλεψεν. C ἀλλὰ πρὶν ἥκειν εἰς αὐτὴν ἐκείνην τὴν ἐπὶ τῷ Δυρραχίῳ μάχην τοῦ τυράννου Βαϊμούντου, ἀναγκαῖόν ἐστιν εἰπεῖν,
5 ὅπως ἔχει θέσεως ἡ πόλις. κεῖται μὲν ἐπ' αὐταῖς ἠϊόσι τοῦ Ἀδριαντικοῦ πελάγους· ἐν τῷ μέσῳ δὲ ὑφήπλωται πέλαγος πολὺ καὶ μακρὸν καὶ κατὰ πλάτος μὲν παρατεῖνον εἰς τὴν περαίαν τῶν Ἰταλῶν, κατὰ μῆκος δὲ ἀνιὸν καὶ ἐπικάμπτον πρὸς ἀνατολάς τε καὶ πρὸς βορρᾶν πρὸς τοὺς
10 Οὐέτονας βαρβάρους, ὧν καταντικρὺ κεῖται τῶν Ἀπουλήϊων ἡ χώρα. καὶ καθόλου μὲν ὁ Ἀδρίας ὧδε περατοῦται· τὸ μέντοι Δυρράχιον ἢ Ἐπίδαμνος, ἀρχαία πόλις καὶ Ἑλληνίς, D κατωτέρω μὲν κεῖται τοῦ Ἐλισσοῦ καὶ πρὸς τὰ εὐώνυμα μέρη τούτου, ἀνωτέρω δὲ ὁ Ἐλισσὸς καὶ δεξιώτερον. οὗτος P. 371
15 δὲ ὁ Ἐλισσὸς εἴτε ἀπό τινος ποταμοῦ Ἐλισσοῦ ὀνομαζομένου συμμιγνυμένου τῷ Δρυμόνι μεγίστῳ ποταμῷ εἴτε οὕτως ἁπλῶς τὸ πολίχνιον ὠνόμαστο, οὐκ ἔχω σαφῶς εἰπεῖν. ὁ δὲ Ἐλισσὸς μετέωρόν ἐστι πολίχνιον καὶ πάντη δυσάλωτον, κάτω καὶ περὶ τὰς πεδιάδας ὁρῶν τὸ Δυρράχιον, ὡς λέ-
20 γουσι, τοιοῦτον δὲ ἀσφαλές, ὥστε καὶ ἠπειρόθεν καὶ ἐκ θαλάττης πολλὴν ἀρωγὴν ποιεῖν Δυρραχίῳ. ᾧ πολιχνίῳ, τῷ Ἐλισσῷ, καὶ ἀποχρησάμενος ὁ αὐτοκράτωρ Ἀλέξιος εἰς βοή-

8. δὲ C, καὶ P. 10. Οὐέτωνας P, correxi. 12. ἡ F. 14. δεξιώτερος F. 17. ὠνόμαστο FP, ὠνόμασται C.

currentibus, modo nullo eum impediente. multis igitur proeliis ac pugnis caedibusque factis ad ipsius Dyrrachii obsidionem, ut supra diximus, animum advertit. verum antequam Boëmundi tyranni ad Dyrrachium pugnam refero, quomodo urbs sita sit, exponendum erit. iacet ea ipso in litore maris Adriatici, quod magnum latumque mare porrigitur ad oppositam usque Italorum terram. quod autem ad longitudinem attinet, ascendit cum flexu orientem septentrionemque versus ad Vetones barbaros, quibus e regione terra Apulorum opposita est. hi sunt fines omnis maris Adriatici. iam vero Dyrrachium sive Epidamnus prisca civitas Graeca paulo inferius Elisso ad huius laevam sita est. oppidum autem Elissus superius situm est et dextrorsum magis pertinet. utrum ab aliquo flumine Elisso, quod in Drymonem fluvium maximum influit, an simpliciter id nomen acceperit, pro certo diiudicare non possum. est autem Elissus arx sublimi loco extructa et plane inexpugnabilis, Dyrrachium ut dicunt in aequa planitie positum despectans. ea vero tam firma est ut terra marique magno possit Dyrrachio esse auxilio. qua quidem arce Alexius imperator strenue usus ad

B θειαν τῆς πόλεως Ἐπιδάμνου ἀπό τε τοῦ ποταμοῦ Δρυμόνος ναυσιπόρου τυγχάνοντος καὶ ἀπὸ τῆς ἠπείρου τὴν πόλιν Δυρραχίου κατησφαλίσατο τὰ χρειώδη ἐκ γῆς καὶ θαλάττης εἰσάγων, ὅσα τε εἰς τροφὴν τῶν αὐτόθι στρατιωτῶν τε καὶ οἰκητόρων καὶ ὅσα πρὸς ὅπλα καὶ μάχας ἦν ἐπιτήδεια. ὁ 5
V. 294 δὲ Δρυμὼν οὗτος ὁ ποταμός, ἵνα τι καὶ περὶ τοῦ ῥεύματος τούτου προσιστορήσαιμι, ῥεῖ μὲν ἄνωθεν ἀπὸ τῆς Λυχνίτιδος λίμνης, ἣν ἡ νῦν γλῶττα ἐκβαρβαρώσασα Ἀχρίδα προσηγόρευσεν ἀπὸ Μόκρου τοῦ Βουλγάρων βασιλέως τὰ πρῶτα
C καὶ τὰ ἔσχατα Σαμουήλ, τοῦ ἐπὶ τοῖν βασιλέοιν Κωνσταντίνου 10
καὶ Βασιλείου τῶν πορφυρογεννήτων γεγονότος, διά τινων τάφρων ἑκατόν, ἃς γεφύρας ἐπονομάζομεν. καὶ γὰρ ἀπορρέουσιν ὥσπερ ἀπό τινων ἀρχῶν διαφόρων τῆς λίμνης διῃρημένοι ποταμοὶ καὶ εἰς ἑκατὸν ἥκοντες οὐ λήγουσι καθ' οὕτως τῷ ποταμῷ τῷ κατὰ τὴν Δεύρην ἑνούμενοι, ἐξ οὗ 15
καὶ Δρυμὼν ἐπονομάζεται, καὶ συνεχεῖς αὐτῷ γινόμενοι πλατύνουσί τε αὐτὸν καὶ μέγιστον ἐξεργάζονται. ὃς τοὺς ἐσχάτους τῶν Δαλματῶν παραμείβων καὶ πρὸς βορρᾶν ἀνιὼν ἔπειτα ἐπικάμπτει πρὸς νότον καὶ περὶ τὰς ῥίζας τοῦ Ἐλισσοῦ γινόμενος εἰς τὸν Ἀδριαντικὸν ἐκδίδωσι κόλπον. ταῦτα 20
D μὲν περί τε τῆς θέσεως Δυρραχίου καὶ Ἐλισσοῦ καὶ τῆς ἀσφαλείας ἑκατέρων τῶν τόπων γεγράφθω· ὁ δὲ βασιλεὺς ἔτι εἰς τὴν βασιλεύουσαν ἐνδιατρίβων μεμαθηκὼς διὰ γρα-

2. ναυσιπόρου F, ναυσιφόρου P. 7. Λυχνίτιδος F, Λιχνίτιδος P. 8. Βουλγάρων F, Βουλγάρου P. 12. γεφύρας] στρουγὰς Ducangius, γε φόσσας? ὑπορρέουσιν C.

opem urbi Epidamno ferendam tam ab amnis Drymonis parte navium patientis quam a continenti terra Dyrrachium urbem firmavit. idem quaecumque ad militum civiumque victum quaeque ad belli pugnarumque usum erant necessaria terra marique apportavit. Drymon vero amnis, ut de hoc quoque aliquid addam, ex Lychnitide effluit palude, quam lingua nunc in barbariem degenerans Achridem vocavit a Mocro rege primo Bulgarorum et ultimo Samuel, qui imperantibus Constantino et Basilio porphyrogenitis vixit, per fossas quasdam centum, quas gephyras (?) vocamus. defluunt enim separati amnes centum numero veluti ex variis quibusdam principiis ex illa palude perennes et cum eo se fluvio, qui ad Deuren est, ex quo etiam Drymon dicitur, coniungunt, quem suo augmento maxime largum et magnum reddunt. extremos hic praeterfluens Dalmatas in septentrionem versus escendit, deinde ad austrum se flectens ad Elissi radices in Adriaticum sese sinum infundit. haec de situ Dyrrachii et Elissi deque munitione loci utriusque. imperator autem, qui in regia urbe adhuc commorabatur, Boëmundi traiectione per litteras

φῶν τοῦ δουκὸς Δυρραχίου τὴν τοῦ Βαϊμούντου διαπεραίωσιν ἐπετάχυνε τὴν ἐξέλευσιν. ἀνύστακτος γὰρ ὢν ὁ δοὺξ Δυρραχίου, μὴ διδοὺς τὸ παράπαν ὕπνον τοῖς ὀφθαλμοῖς, ὁπηνίκα διέγνω διαπλωϊσάμενον τὸν Βαϊμοῦντον παρὰ τὴν
5 τοῦ Ἰλλυρικοῦ πεδιάδα καὶ τῆς νηὸς ἀποβεβηκότα καὶ αὐτόθι P. 372
που πηξάμενον χάρακα, Σκύθην μεταπεμψάμενος ὑπόπτερον δὴ τὸ τοῦ λόγου πρὸς τὸν αὐτοκράτορα τὴν τούτου διαπεραίωσιν ἐδήλου. ὃς ἐπανιόντα τὸν αὐτοκράτορα τοῦ κυνηγεσίου καταλαβὼν δρομαῖος εἰσελθὼν καὶ προσουδίσας τὴν
10 κεφαλὴν τὴν τοῦ Βαϊμούντου διαπεραίωσιν τρανῶς ἐβόα. ἅπαντες μὲν οὖν οἱ τότε παρόντες ἐπάγησαν, οὗπερ ἕκαστος B ἔτυχε, καὶ πρὸς μόνην τὴν τοῦ Βαϊμούντου κλῆσιν ἀποναρκήσαντες. ὁ δὲ αὐτοκράτωρ πλήρης θυμοῦ καὶ φρονήματος ὢν λύων τὸν ἱμάντα τοῦ ὑποδήματος "πρὸς ἄριστον" ἔφη
15 "τὸ παρὸν τραπώμεθα· τὰ δέ γε κατὰ τὸν Βαϊμοῦντον αὖθις κατασκεψόμεθα."

2. ὢν om. F, sed add. ead. m. 14. ὢν F, om. P.
15. κατὰ] τὰ κατὰ C. 16. κατασκεψόμεθα F, σκεψόμεθα P.

Dyrrachii ducis comperta maturabat proficisci. vigilantissimus enim Dyrrachii dux ne somnum quidem oculis permisit: qui cum transiisse Boëmundum in campos Illyricos audisset ac de navi egressum ibi castra posuisse, Scytham statim, volucrem, ut dicitur, nuntium, ad imperatorem misit, qui traiectionem illius referret. hic imperatorem e venatu reducem offendens cursu citato eum adgreditur capiteque in terram demisso clara voce Boëmundum traiecisse exclamavit. defixit omnes, qui aderant, in loco suo quemque solum auditum Boëmundi nomen prae metu obtorpescentes. at imperator animi plenus ac fiduciae corrigiam solvens calcei "Prandeamus nunc," inquit "de Boëmundo postea videbimus."

ΑΛΕΞΙΑΣ ΙΓ.

ALEXIADIS LIBER XIII.

ARGUMENTUM.

Nova Cpoli coniuratio; auctores puniuntur (1). *Alexio exercitum instruente Boëmundus circa Dyrrachium oppida capit. in eius castris fames et pestis* (2). *Boëmundus ingenti turri aliisque machinis frustra Dyrrachium oppugnat* (3). *imperator ad Diabolin profectus proelium semper evitat. dolo in hostium castris discordias elicere frustra studet* (4). *Gallis undique ab imperatore obsessis Gidus Boëmundi frater Camytzen vicit. alia praetera Romanorum clades* (5). *Cantacuzenus Gallos victores bis superat. Boëmundi patruelis captus* (6). *Romanorum ducum neglegentia fit, ut Boëmundus ex Italia auxilia accipiat; cui rei imperator mederi studet* (7). *Boëmundus undique clausus pacem petit; eum imperator ad se invitat* (8). *Boëmundus quosdam sibi honores paciscitur; ipse et Alexii legati se invicem iure iurando obstringunt* (9). *Boëmundus ab imperatore exceptus. eius habitus* (10). *agit cum imperatore de pace* (11). *integrum pacis instrumentum* (12).

P. 375 V. 298 1. Ἐξεπλάγημεν οὖν ἅπας τότε τὸ τῆς ψυχῆς τοῦ αὐτοκράτορος ἀνάστημα. ὁ δέ, κἂν καταφρονητικῶς πρὸς τὴν ἀγγελίαν ἐκείνην διὰ τοὺς τηνικαῦτα παρόντας τῷ φαινο-

1. ἅπαντες C. τοῦ αὐτοκράτορος F, τοῦ om. P. 2. F post ἀνάστημα haec habet: κατανῶ τὸ ἄτρεστόν τε καὶ ἀκατάπληκτον, sed eadem manus ea induxit.

1. Mirabamur igitur cum stupore omnes imperatoris animi magnitudinem. qui licet nuntium illum eorum gratia qui tum aderant nihil

μένῳ ἐδόκει διατεθείς, ἀλλ' ἐντὸς πολλὰ περὶ τούτου ἐκυμαίνετο τὸν λογισμόν. καὶ δὴ δεῖν ἐλογίσατο αὖθις τοῦ Βυζαντίου ἐξεληλυθέναι· μηδὲ τὰ κατ' οἶκον αὐτοῦ καλῶς P. 376 πρὸς αὐτὸν ἔχοντα πάλιν διαγνούς, ὅμως τὰ κατὰ τὰ ἀνάκ-
5 τορα καὶ τὴν βασιλίδα τῶν πόλεων εὖ διαθέμενος καὶ φύλακας ἐπιστήσας τόν τε μέγαν δρουγγάριον τοῦ στόλου καὶ ἐκτομίαν Εὐστάθιον τὸν Κυμινειανὸν καὶ Νικηφόρον τὸν τοῦ Δεκανοῦ καλούμενον, οὕτως ἐκεῖνος ἔξεισι τοῦ Βυζαντίου μετ' ὀλίγων καὶ τῶν καθ' αἷμα τούτῳ προσηκόντων
10 πρώτην ἄγοντος μηνὸς Νοεμβρίου ἐπινεμήσεως πρώτης κατὰ τὸ ἔξω Γεράνιον τὴν ἐρυθροβαφῆ καὶ βασιλικὴν καταλαβὼν σκηνήν. ἐδεδίει δέ, ὅτι ἐξερχομένῳ τὸ σύνηθες θαῦμα ἡ Θεομήτωρ ἐν Βλαχέρναις οὐκ ἐπεδείξατο. διὰ τοῦτο ἐπὶ B τέσσαρσιν αὐτοῦ που ἐμβραδύνας ἡμέραις ἡλίου δύνοντος
15 σὺν αὐτῇ δεσποίνῃ παλίντροπον τὴν πορείαν ποιησάμενος εἴσεισιν εἰς τὸ ἱερὸν τῆς Θεομήτορος τέμενος μετ' ὀλίγων λεληθότως καὶ τὴν συνήθη τελέσας ὑμνῳδίαν καὶ ἐκτενεστέρας τὰς δεήσεις ποιησάμενος, τηνικαῦτα τελεσθέντος τοῦ συνήθους θαύματος, οὕτως μετὰ χρηστῶν ἔξεισιν ἐκεῖθεν
20 τῶν ἐλπίδων. τῇ δὲ μετ' αὐτὴν τῆς πρὸς Θεσσαλονίκην ἥψατο. καταλαβὼν δὲ τοὺς Χοιροβάκχους ἔπαρχον Ἰωάννην τὸν Ταρωνίτην προὐβάλετο. ἀνὴρ δὲ οὗτος τῶν εὐγενῶν, νηπιόθεν πρὸς αὐτοῦ προσληφθεὶς καὶ ὑπογραμματεύσας C

12 sq. τὸ σύνηθες θαῦμα ἡ θεομήτωρ ἐν βλαχέρναις F, ἡ Θεομήτωρ ἐν Βλαχέρναις τὸ σύνηθες θαῦμα P. 14. δύναντος C. 17. ἐκτενεστέρας FC, ἐκτενεεστέρας P. 19. ἔξεισιν ἐκεῖθεν F, ἐκεῖθεν ἔξεισι P. 22. προὐβάλετο F, προὐβάλλετο P.

omnino curare videretur, gravibus tamen animi sollicitudinibus affectus erat. ac primum omnium Byzantio esse denuo abeundum ratus, quamquam minime sibi favere domestica denuo cognovit, tamen compositis palatii urbanisque rebus ac magno classis drungario, Eustathio Cymineano eunucho, et Nicephoro, quem Decani dicunt, custodibus impositis, discessit Byzantio paucis tantum iisque cognatis comitantibus et calendis ipsis Novembribus indictione prima ad Geranium extra urbem purpureum statuit regiumque tabernaculum. sed metu perterritus erat, quod exeunti consuetum miraculum deipara in Blachernis non ostenderat. quamobrem dies illic moratus quatuor solis occasu itinere cum domina repetito sacrum deiparae templum comitantibus paucis clam subiit. ibi consuetis hymnis rite peractis attentiusque factis precationibus contigit solitum miraculum et eximia spe elatus abiit ac postero die Thessalonicam petiit. Choerobacchos profectus huic oppido Ioannem Taronitam praeposuit, virum nobili loco natum, a puero in ipsius familiam

αὐτῷ ἐπὶ πολύ, φρονήματος μὲν ὢν δραστικωτάτου καὶ
νόμων Ῥωμαϊκῶν ἐπιστήμων καὶ τὰ βασιλέως προστάγματα
μεγαληγορῶν, ὁπηνίκα προστάττοιτο βασιλικῆς μεγαλοφρο-
σύνης ἐπάξια, ἐλευθέραν ἔχων τὴν γλῶτταν καὶ οὐκ ἐπὶ
ψόγῳ ἀναισχυντίαις στομούμενος, ἀλλ' ὁποῖον ὁ Σταγειρίτης 5
τὸν διαλεκτικὸν εἶναι παρακελεύεται. ἐκεῖθεν δὲ ὑποχωρῶν
συνεχῆ τὰ γράμματα πρός τε τὸν δοῦκα τοῦ στόλου Ἰσαάκιον
καὶ τοὺς σὺν αὐτῷ, τὸν Δούκαν φημὶ Ἐξαζηνὸν καὶ τὸν Ὑαλέαν,
ἐγρηγορέναι τούτους διὰ παντὸς καὶ ἀπείργειν τοὺς ἀπὸ
Λογγιβαρδίας πρὸς τὸν Βαϊμοῦντον διαπλωϊζομένους ἐξέ- 10
D πεμπεν. ἐπὰν δὲ τὸν Μέστον κατειλήφει, ἡ μὲν Αὔγουστα
πρὸς τὰ βασίλεια ἐπαναστρέψαι ἠβούλετο, ὁ δὲ αὐτοκράτωρ
προσωτέρω ταύτην βαδίζειν παρεβιάζετο. καὶ δὴ περά-
σαντες ἄμφω τὸν Εὖρον καλούμενον ποταμὸν κατὰ τὸν
Ψύλλον τὰς σκηνὰς ἐπήξαντο. ὁ δὲ ἄλλον φόνον πεφευγὼς 15
ἑτέρῳ μικροῦ περιπέπτωκεν ἄν, εἰ μή τις θεία χεὶρ τοὺς
μιαιφόνους ἐκείνους ἀπεῖρξε τοῦ δράματος. ἀνὴρ γάρ τις
ἐς Ἀρωνίους ἐκείνους ἀπὸ μέρους ἀνέλκων τὸ γένος, κἂν
P. 377 ἐκ νόθων κατήγετο, πρὸς φόνον τὸ στασιάζον [τοῦ αὐτο-
V. 299 κράτορος] μέρος παρέθηγε. κεκοινώνηκε δὲ τοῦ ἀπορρήτου 20
καὶ πρὸς τὸν ἴδιον ἀδελφὸν Θεόδωρον. εἰ δὲ καὶ ἕτεροι
τῶν στασιαζόντων συνίστορες τοῦ τοιούτου δράματος ἦσαν,

1. δραξυτάτου F. 5. ἀναισχυντίαις scripsi: ἀναισχυντίας P.
7. δοῦκα τοῦ στόλου F, τοῦ στόλου om. P. 8. Δούκαν scripsi:
Δοῦκα P. ὑαλέαν F, Υελέαν P. 12. ἐπαναστρέφειν C.
13. προσωτέρω F, προσώτερον P. 18. ἔθνος C. 19. τοῦ
αὐτοκράτορος secludere malui quam transponere.

transscriptum scribamque olim suum. erat is in rebus gerendis
promptissimus, legum Romanarum peritus, solebatque imperatoris de-
creta laudare, dummodo imperiali maiestate digna putaret. nam libera
utebatur lingua, non ita quidem, ut impudentia semper convicia in
ore haberet, sed qualem esse Stagirita dialecticum praecipit. inde
progressus crebras ad ducem classis Isaacium comitesque eius, Exa-
zenum Ducam Hyaleamque, dabat litteras, quibus eos excitabat ad vi-
gilandum et ad arcendas naves e Longibardia ad Boëmundum tra-
iecturas. Mestum cum pervenisset, Augusta in regiam urbem re-
verti cupiebat. sed imperator prorsus pergere illam coegit traiec-
toque Euro qui vocatur fluvio ad Psyllum ambo tabernacula collo-
carunt. ipse vixdum caede vitata altero paene periisset periculo,
nisi divina quaedam manus sicarios a scelere summovisset. fuit enim
vir quidam ex parte Aroniorum illorum genere quidem sed per nothos
oriundus, qui ad caedem imperatoris seditiosos incitavit. credidit
arcanum istud fratri suo Theodoro; num vero etiam alii seditiosorum

λέγειν οὐ βούλομαι· ὅμως δὲ Σκύθην ἀργυρώνητον τὴν κλῆσιν Δημήτριον αὐτουργὸν τοῦ φόνου παρεσκευάσαντο (καὶ αὐτὸς δὲ ὁ τούτου δεσπότης Ἀαρών) πέρας τοῦ σκοπουμένου τὴν τῆς βασιλίδος ὑποχώρησιν θέμενοι, ὡς ἐντεῦθεν
5 εὐκαιρίας ὁ Σκύθης δραξάμενος κατὰ τῶν τοῦ βασιλέως λαγόνων ὠθήσει τὸ ξίφος ἢ ἐν στενῷ περιτυχὼν ἢ καὶ ὑπνώττοντι λαθών. καὶ ὁ Δημήτριος φόνιον πνέων τὸ σιδήριον B ἔθηγε καὶ τὴν μιαιφόνον δεξιὰν ηὐτρέπιστο. ἀλλά τι καινὸν κἀνταῦθα ἡ δίκη δραματουργεῖ. καὶ γὰρ ἐπεὶ οὐ ταχὺ τοῦ
10 βασιλέως ἡ βασιλὶς ἐχωρίζετο, ἀλλὰ συνείπετο ἡμέραν ἐξ ἡμέρας τοῦ αὐτοκράτορος αὐτὴν ἐπισύροντος, οἱ μιαιφόνοι ἐκεῖνοι τὸν ἀνύστακτον τοῦ αὐτοκράτορος φύλακα, τὴν βασιλίδα φημί, ἔτι ἐμβραδύνουσαν ὁρῶντες, ἐκκακήσαντες φάμουσά τινα γράφοντες κατὰ τὴν τοῦ βασιλέως ἔρριπτον σκη-
15 νήν. οἱ δὲ ταῦτα ῥίπτοντες ἔκδηλοι τέως οὐκ ἦσαν. δηλοῖ δὲ [ἡ λέξις] τὰ φάμουσα λοιδορήματά τινα ἔγγραφα τῷ αὐ- C τοκράτορι τὴν πρόσω πορείαν ξυμβουλεύοντα, τῇ δέ γε Αὐγούστῃ τὴν πρὸς τὸ Βυζάντιον. ἅπερ καὶ ὁ νόμος τιμωρίαις βαρυτάταις κολάζει αὐτὰ μὲν ἀναλίσκων πυρί, τοὺς δὲ ταῦτα
20 τολμῶντας ποιναῖς καθυποβάλλων παλαμναιοτάταις. ἀστοχοῦντες γὰρ τοῦ σκοποῦ εἰς τὴν τῶν φαμούσων φλυαρίαν κατέπιπτον. μετὰ γὰρ τὸ ἀριστῆσαι τὸν αὐτοκράτορα τῶν

13. ὁρῶντες eras. F. 16. ἡ λέξις P, ἡ τάξις C: seclusi.
20. παλαμναιοτάταις scripsi: παλαμναιστάταις P.

huius rei conscii fuerint, affirmare nolo. Scytham tamen empticium servum nomine Demetrium ad caedem istam perpetrandam subornaverant. cuius dominus ipse Aaron fuit. huic mandaverant, ut imperatricis discessum expectaret ac deinde occasionem nanctus clam intentaret gladium corpori imperatoris vel deprehensi uspiam in angustiis vel dormientis. Demetrius igitur caedem anhelans ferrum acuebat nefariamque manum paratam habebat. sed novum tum aliquid iustitia operatur. cum enim diutius imperatrix apud imperatorem commoraretur cumque non desineret eum ex voluntate eius sequi, sicarii isti pervigilem imperatoris custodem Augustam etiamtum apud eum commorantem videntes tandem defatigati famosum quendam libellum in imperatoris tabernaculum clam proiecerunt. qui quidem libellus contumeliosis maledictis imperatori, ut iter pergeret, suadebat, Augustae vero, ut Byzantium reverteretur. severissime vero talia ex lege puniuntur scripta, ut ipsa quidem in ignem inferantur, homines autem ea facere ausi atrocissimis subiciantur poenis. postquam igitur frustra diu expectaverunt, in famosorum nugas inciderunt. pranso enim imperatore cum plerisque

πολλῶν ὑποχωρησάντων, μόνου δὲ τῷ τότε τυχόντος τοῦ
τε Ῥωμανοῦ τοῦ ἐκ Μανιχαίων καὶ Βασιλείου ἐκτομίου τοῦ
Ψύλλου καὶ Θεοδώρου τοῦ ἀδελφοῦ Ἀαρὼν εὑρέθη αὖθις
D φάμουσον ὑπερριμμένον τῇ τοῦ βασιλέως κλίνῃ πολλὴν τὴν
κατὰ τῆς βασιλίδος περιέχον καταδρομήν, ὅτου χάριν συνέπε- 5
ται τῷ βασιλεῖ καὶ μὴ τάχιον πρὸς τὴν βασιλεύουσαν ἐπανα-
στρέφοι. τοῦτο γὰρ ἦν αὐτοῖς τὸ σκοπούμενον, ἄδειαν
πᾶσαν ἐσχηκέναι. ὁ δὲ αὐτοκράτωρ γνοὺς τὸν ῥίψαντα καὶ
θυμοῦ πλησθεὶς ἔφη "τοῦτο ἐγὼ ἢ σύ" πρὸς τὴν βασιλίδα
ἀπονεύσας "ἤ τις τῶν παρόντων ἔρριψε". κάτωθεν δὲ οὕ- 10
τως ἐπεγέγραπτο "ταῦτα ὁ μοναχὸς ἐγὼ γράφω· ὃν σύ,
βασιλεῦ, τὸ παρὸν οὐ γινώσκεις, ὄψει δέ με ἐν ὀνείροις".
P. 378 Κωνσταντῖνος δέ τις ἐκτομίας, ἐπὶ τραπέζης πατρῷος τοῦ
βασιλέως θεράπων, τῇ δὲ βασιλίδι τηνικαῦτα ὑπηρετῶν,
περὶ τρίτην φυλακὴν τῆς νυκτὸς ἔξω τῆς σκηνῆς ἱστάμενος 15
καὶ τὴν συνήθη τελῶν ὑμνῳδίαν ἀκούει τινὸς βοῶντος "εἰ
ἐγὼ οὐ προσελθὼν ἀπαγγείλω τὰ παρ' ὑμῶν βεβουλευμένα
ἅπαντα καὶ αὐτὰ δὴ τὰ παρ' ὑμῶν ῥιπτόμενα φάμουσα φαυ-
λίσω, μηδείς με μετ' ἀνθρώπων λογιζέσθω". ὁ δ' εὐθὺς τὸν
ἴδιον οἰκέτην ἐπέταξε τὸν φωνοῦντα ἄνθρωπον ἀναζητῆσαι. 20
καὶ ὃς ἀπελθὼν καὶ τὸν τοῦ Ἀαρὼν οἰκέτην γνωρίσας
Στρατήγιον αὐτὸν συμπαραλαβὼν ἄγει πρὸς τὸν ἐπὶ τῆς

19. μηδείς ... λογιζέσθω] οὐκ εἰμὶ ἄνθρωπος C. δ' F, δὲ P.
21. ὅς] ὃ in ras. m. 2 F.

alio digressis adessent tantum Romanus e genere Manichaeorum, Basilius eunuchus cognomine Psyllus et Theodorus Aaronis frater, alter inventus est libellus sub regis lecto multas in Augustam complectens contumelias, quod imperatorem sequeretur nec se citius in urbem reciperet. id enim agebant, ut omnino tuti essent. cognovit imperator eum, qui proiecerat libellum et iracundia incensus Augustae innuens "Hoc" inquit "aut ego aut tu aut eorum qui adsunt aliquis proiecit". subscriptio quidem libelli haec fuit: "haec ego monachus scribo, quem tu, imperator, nunc quidem ignoras; verum in somnio me videbis". contigit, ut Constantinus quidam eunuchus paternus imperatoris in mensa famulus, qui tunc imperatrici serviebat, cum circa tertiam noctis vigiliam extra tabernaculum consuetam hymnodiam celebraret, audiret quendam exclamantem: "nisi ego accedam et consilia vestra omnia proiectionemque famosorum libellorum prodam, nolim quisquam me hominem putet." statim famulum suum iubet hominem haec locutum perquirere. qui ubi discessit Strategiumque Aaronis famulum agnovit, comprehensum duxit ad mensae praefectum:

τραπέζης. καὶ παραχρῆμα προσελθὼν ἀπαγγέλλει, ὅσαπερ B
σύνοιδεν. οὗτος δὲ συμπαραλαβὼν αὐτὸν ἀπῆλθε πρὸς τὸν
αὐτοκράτορα. ὕπνωττον δὲ τηνικαῦτα οἱ βασιλεῖς. ἐντυχὼν
δὲ Βασιλείῳ τῷ ἐκτομίᾳ κατηνάγκαζεν ἀπαγγεῖλαι τὰ περὶ
5 τοῦ Στρατηγίου τοῦ ἀνθρώπου τοῦ Ἀαρὼν ῥηθέντα. ὁ δ'
εὐθὺς εἰσελθὼν καὶ αὐτὸν εἰσάγει τὸν Στρατήγιον. ὃς ἐπειδὴ V. 300
καθάπαξ εἰς ἐρωτήσεις ἐλήλυθεν, ἅπαν τὸ δρᾶμα τῶν φλυ-
άρων φαμούσων, τὸν τοῦ φόνου δραματουργὸν καὶ αὐτὸν
ἐκεῖνον τὸν εἰς σφαγὴν τοῦ βασιλέως παρεσκευασμένον σα-
10 φῶς ἀνεκάλυψεν. "ὁ γὰρ ἐμός" φησι "δεσπότης Ἀαρὼν C
μεθ' ἑτέρων, οὓς οὐδὲ ἡ σὴ βασιλεία παντάπασιν ἠγνόησε,
κατὰ τῆς σῆς, βασιλεῦ, ζωῆς μελετήσαντες καθῆκάν σοι φο-
νέα Δημήτριον, τὸν ἐμαυτοῦ σύνδουλον, ἄνδρα Σκύθην μὲν
τὸ γένος, φονικώτατον δὲ τὴν γνώμην, τοὺς βραχίονας καρ-
15 τερόν, πρὸς πᾶν ὁτιοῦν τολμηρότατον καὶ τὴν ψυχὴν θη-
ριώδη καὶ ὠμότατον. τούτῳ ξίφος ἐγχειρίσαντες ἄμφηκες
παρήγγειλαν παραγγελίαν ταύτην ἀπάνθρωπον, ὡς ὁμόσε
προσελθόντα μετὰ θράσους ἀκατασχέτου ἐμβάψαι τοῖς βα-
σιλικοῖς σπλάγχνοις τὸ ξίφος." ὁ δὲ βασιλεύς (καὶ γὰρ οὐκ
20 ἦν εὔκολος τοῖς τοιούτοις πιστεύειν) "μὴ διά τινά" φησιν D
"ἀπέχθειαν πρὸς τοὺς σοὺς δεσπότας καὶ πρὸς τὸν σεαυ-
τοῦ ὁμόδουλον τὴν κατηγορίαν ταύτην συμπλέκῃς, ἀλλὰ

2. οὗτος δὲ] τος δὲ in ras. m. 2 F. 3. ἡ βασιλίς C. 4. δὲ ὁ P, ὁ om. F. βασιλεὺς C. 4. κατηνάγκαζεν F, κατηνάγκασεν P. 5. δὲ F. 10. ὁ ἐμὸς P, ὁ om. F. 14. γένος F, ἔθνος P. 17. ταύτην F, τοιαύτην P. ἀνάνθρωπον C. 18. ἐμβάψαι] ἐμ add. m. 1. F.

iam is quaecumque sciebat extemplo aperuit. hoc ille secum assumpto ad imperatorem se contulit. dormiebant tunc imperator et imperatrix: sed eunucho Basilio obviam factus eum impulit, ut quae cum ipso de Strategio Aaronis servo communicaverat denuntiaret. ille intrat illico et ipsum simul Strategium introducit: qui confestim de omnibus quaesitus quidquid de fatuis famosis libellis et de caedis instigatore sciebat illumque ad perpetrandam imperatoris caedem subornatum esse aperte protulit. "herus" inquit "meus Aaron coniuncto cum aliis, quos maiestas tua non penitus ignorat, adversus vitam tuam, imperator, consilio subornavit tibi sicarium Demetrium conservum meum, gente Scytham, natura crudelissimum, lacertosum, audaciae ad omnia promptae, immanis denique ferocisque animi. huic gladio ancipiti tradito inhumanum hoc mandatum dederunt, ut te accederet indomita audacia ferrumque in regia viscera mergeret." imperator minime ad delationes credulus "Vide," inquit "ne odio commotus in dominos conservumque ficta crimina conferas, sed vera

τἀληθῆ πάντα καὶ ὅσα σύνοιδας ἐξορχοῦ. εἰ δ' οὖν καὶ ἁλοίης ψευδόμενος, οὐκ εἰς καλὸν τὰ τῆς κατηγορίας σοι ἀπαντήσεται." ἐκεῖνος δὲ ἐνιστάμενος ἀληθῆ λέγειν παραδίδοται πρὸς τὸν ἐκτομίαν Βασίλειον, ἵνα τέως τοὺς φλυάρους χάρτας ἐπιδοίη πρὸς αὐτόν. ὁ δὲ παραλαβὼν τοῦτον 5 καὶ ἀπελθὼν εἰσάγει εἰς τὴν σκηνὴν τοῦ Ἀαρὼν πάντων κοιμωμένων καὶ ἀναλαβόμενος ἐκεῖθεν πήραν τινὰ στρατιωτικὴν μεστὴν τοιούτων γραμμάτων δίδωσι τῷ Βασιλείῳ. αὐγαζούσης δὲ ἤδη τῆς ἡμέρας θεασάμενος τὰ τοιαῦτα γράμματα ὁ βασιλεὺς καὶ διαγνοὺς τὸν κατ' αὐτοῦ μελετώμενον 10 φόνον τὴν μὲν μητέρα τοῦ Ἀαρὼν προσέταξε τοῖς τὰ τῶν κοινῶν διοικοῦσιν ἐν τῇ πόλει περιορισθῆναι εἰς Χοιρο-
P. 379 βάκχους, τὸν δὲ Ἀαρὼν ...., τὸν δὲ Θεόδωρον τὸν αὐτάδελφον αὐτοῦ εἰς Ἀγχίαλον. ταῦτα τὸν βασιλέα τῆς πρόσω φερούσης ἐπὶ πέντε ἡμέραις ἀπεῖρξεν. 15

2. Ἐν δὲ τῷ πρὸς Θεσσαλονίκην ἀπέρχεσθαι, ἐπεὶ ἁπανταχόθεν συνηλαύνετο ἐς ταὐτὸν τὰ τάγματα, δεῖν ἐλογίσατο σύνταξιν ποιῆσαι εἰς πολέμου σχῆμα διατετυπωμένην. καὶ αὐτίκα κατὰ λόχους αἱ φάλαγγες ἵσταντο καὶ οἱ λοχαγοὶ προυβέβληντο καὶ τῶν οὐραγῶν ἡ τάξις ἐφείπετο καὶ οἱ τὸ 20 μέσον τῆς φάλαγγος ἀναπληροῦντες εἱστήκεσαν ἅπαντες τοῖς

1. ἐξορχοῦ F, ἐξορκοῦ P. οὖν scripsi: οὐ P. 8. τοιούτων γραμμάτων F, τοιούτων om. P. 12. διοικοῦσιν F, διοικοῦσι P. 13. Ἀαρὼν **** P: lacunae spatium ex F dedi. 15. ἀπεῖρξεν C, ἀπῆρξεν P. 17. συνηλαύνοντο F. 21. εἱστήκεσαν F, εἰστήκεισαν P.

omnia et quaecumque scias, prodas; si minus id feceris ac mendacii convictus eris, haud emolumento accusatio tibi erit". tum ille vera se dicere insistens Basilio eunucho traditur, ut absurda chirographa ipsi daret. cum eoque egressus in Aaronis tabernaculum eum inducit somno consopitis omnibus. hinc sublatam militarem quandam peram libellis eius generis refertam Basilio tradit. postquam illuxit, imperator evolutis illis libellis consiliisque sui trucidandi bene perspectis praefectis urbis praecepit, ut Aaronis matrem Choerobacchos in exilium mitterent; Aaronem vero * Theodorumque fratrem eius Anchialum relegavit. haec imperatorem diebus quinque, iter ne pergeret, morabantur.

2. Iam vero dum Thessalonicam proficiscitur, quod undique copiae in unum locum convenerant, aciem velut ad bellum instruere haud alienum putavit. ac repente legiones per suas quaeque cohortes dispositae constiterunt; centuriones praecedunt, novissimi a tergo sequuntur, quique mediam ipsam tenent aciem, stant omnes armis

ὅπλοις μαρμαίροντες (καὶ ἦν φοβερὸν θέαμα ἐκεῖνο τὸ σύν- B
ταγμα) καὶ καθάπερ τι τεῖχος πόλεως ἀλλήλοις συνηρμοσμέ-
νοι· εἶπες ἂν χαλκοῦς ἀνδριάντας ὁρᾶν καὶ αὐτοχύτους τινὰς
στρατιώτας ἐπὶ τοῦ πεδίου σύμπαντας ἀτρεμεῖν μόνον τῶν
5 δοράτων κραδαινομένων καὶ ὥσπερ ἐπιθυμούντων χρωτὸς
ἅψασθαι. ταύτην τὴν σύνταξιν ὁ βασιλεὺς ποιησάμενος καὶ
κινήσας αὐτὴν καὶ ὑποτυπωσάμενος, πῶς μὲν ἐπὶ δόρυ,
πῶς δὲ ἐπ' ἀσπίδα κινοῖντο, τὴν νέηλυν στρατιὰν ἐκ τῆς
συντάξεως πάσης ἀπολεξάμενος καὶ οὓς μᾶλλον αὐτὸς ἀνε-
10 θρέψατο καὶ τὰ στρατιωτικὰ ἐξεπαίδευσεν, ἀρχηγοὺς στρα- C
τευμάτων κατέστησεν. ἦσαν δ' οὗτοι ξύμπαντες τριακόσιοι,
πάντες νέοι καὶ εὐμήκεις, σφριγῶντες τὸ σῶμα καὶ ἕκαστος V. 301
τούτων ἀρτίχνους τὸ γένειον, πάντες δὲ καὶ τόξον ἐντεῖναι
δεξιώτατοι καὶ ἀφεῖναι δόρυ στερρότατοι. ἐκ διαφόρου
15 μὲν γένους συνηθροισμένοι, ἐξ ἁπάσης δὲ τῆς Ῥωμαϊκῆς
στρατιᾶς στρατιά τις ἦσαν ἔκκριτος ὑπὸ στρατηγῷ τῷ βα-
σιλεῖ ταττόμενοι· τῷ αὐτῷ γὰρ καὶ βασιλεῖ καὶ στρατηγῷ
καὶ διδασκάλῳ ἐχρῶντο. τούτων οὖν ἀπολεξάμενος αὖθις
τοὺς δεξιωτέρους καὶ ξυνταγματάρχας χειροτονήσας ἐπὶ τὰ D
20 τέμπη πέμπει, δι' ὧν ἔμελλε τὸ βαρβαρικὸν στράτευμα
διελθεῖν. ἐκεῖνος δὲ ἐν Θεσσαλονίκῃ τὴν παραχειμασίαν
ἐποιεῖτο. ἐπεὶ δέ, καθάπερ ἔφημεν, ὁ τύραννος Βαϊμοῦντος

3 sq. τινὰς στρατιώτας ἐπὶ τοῦ πεδίου F, ἐπὶ τοῦ πεδίου τινὰς στρατιώτας P. 8. ἐπ' F, ἐπὶ P. 14. ἀφεῖναι F, κραδαίνειν P. 16. στρατηγῶν C. 22. ἔφημεν] cf. 186, 7. 188, 14.

micantibus. horridus fuit aciei aspectus urbisque moenium instar conexi (aeneas esse statuas militum quasi sponte conflatas dixeris) omnes in campo immoti constiterunt hastas tantum corporis tangendi cupidas vibrantes. quam sic dispositam aciem imperator motus diversos facere ac nunc in hastam, nunc in clipeum converti iussit. tum iuventutem nuper delectam e toto exercitu selegit. quos vero ipse a pueris nutritos omnes belli artes edocuit, eos copiarum duces constituit. erant hi quidem omnes trecenti, adulescentes insignes corporis magnitudine, viribus pollentes ac prima lanugine mentum signantes, quibus nemo aut dexterius arcum intenderet aut firmius hastam mitteret. vario erant ex genere collecti, flos universae Romanae militiae, cohors ipsius regis imperio subiecta, quo et rege et duce et magistro utebantur. horum igitur probatissimos quosque rursus electos duces praefecit copiis ad angustias missis, per quas barbarorum exercitus penetraturus erat. ipse Thessalonicae hiberna agebat. at Boëmundus tyrannus maxima illinc

μετὰ βαρυτάτου στόλου διεπεραιώσατο ἐκεῖθεν ἐνθάδε πρὸς
P. 380 τὰ ἡμέτερα καὶ τὸ Φραγγικὸν ἅπαν στράτευμα κατὰ τῶν
ἡμετέρων πεδιάδων ἐξέχεε, συνταξάμενος ἐκεῖθεν ἔρχεται
κατὰ τῆς Ἐπιδάμνου, εἰ μὲν δύναιτο, καὶ αὐτοβοεὶ αἱρήσων
αὐτήν, εἰ δ' οὖν, ἀλλὰ τειχομάχοις μηχανήμασι καὶ πετρο- 5
βόλοις ὀργάνοις τὴν ὅλην πόλιν παραστησόμενος. ὁ μὲν
οὖν σκοπὸς αὐτῷ οὗτος· ηὐλίσατο δὲ ἀντικρὺ τῆς πύλης
τῆς κατὰ τὰς ἀνατολὰς ἀνεῳγυίας, ἧς ὕπερθεν ἱππότης ἐστὶ
χαλκοῦς, καὶ κατασκοπήσας τοῦ πολιορκεῖν ἤρξατο. χειμῶνα
μὲν οὖν ὅλον ἐπινοούμενος καὶ πανταχόθεν ἐπιβλέπων, οὗ- 10
B περ ἁλώσιμόν ἐστι τὸ Δυρράχιον, ἔαρος δὲ διαγελῶντος,
ἐπειδήπερ καθάπαξ παραυτίκα διαπεράσας πυρὶ παραδέδωκε
τάς τε φορταγωγοὺς αὐτοῦ νῆας καὶ τὰς ἱππαγωγοὺς καὶ ὡς
οὕτως εἰπεῖν στρατιώτιδας, τοῦτο μὲν καὶ στρατηγικόν τι
μηχανώμενος, ἵνα μὴ ὁρῷεν πρὸς θάλατταν τὸ στράτευμα 15
τούτου, τοῦτο δέ τι καὶ καταναγκάζοντος αὐτὸν τοῦ Ῥωμαϊ-
κοῦ στόλου, ὅλος πρὸς πολιορκίαν ἀπέβλεψε. κύκλῳ περι-
χεάμενος τὸ βαρβαρικὸν στράτευμα τὰ πρῶτα καὶ ἐν ἀκρο-
βολισμοῖς ὤν (ἐπετοξάζοντο δὲ τούτοις καὶ οἱ ἀπὸ τοῦ
C Ῥωμαϊκοῦ στρατεύματος ποτὲ μὲν καὶ πυργόθεν ἀπὸ τοῦ 20
Δυρραχίου, ποτὲ δὲ καὶ πόρρωθεν), ἀποστέλλων τινὰς ἀπο-
σπάδας τοῦ Φραγγικοῦ στρατεύματος ἐπολέμει τε καὶ ἐπο-

4. αἱρήσων] ων in ras. F. 13. φορτηγοὺς A. 15. μηχανώμενος FA, μηχανώμενον P. 16. δέ τι scripsi: δ' ὅτι P. 19. τούτοις F, τούτους P. οἱ] ἡ C. 20. στρατεύματος φάλαγξ C. μὲν addidi.

classe, ut diximus supra, huc in nostros fines transgressus effuso in campos nostros universo Francorum exercitu ad Epidamnum acie instructa se admovet, ut primo ipso terrore, si posset, caperet, sin minus, machinis ad obsidionem pertinentibus catapultisque totam urbem expugnaret. quo inito consilio castra posuit exadversum portam in orientem patentem, supra quam aeneus eques conspicitur. dein exploratis omnibus obsidere urbem coepit, per totam quidem hiemem meditans et undique inspiciens, qua parte Dyrrachium capi posset. vere autem ineunte omnibus copiis semel traiectis postquam naves et onerarias et hippagines militaresque, ut ita dicam, incendio delevit, cum strategemate usus, ne mare exercitus respiceret, tum Romanorum classe pressus, iam totum se obsidioni dedit circumfuditque primum undique barbarorum copias ac missilia procul iacere iussit. in quos etiam milites Romani exercitus sagittas sive de moenibus Dyrrachii sive eminus coniciebant. ille interim cohortes aliquot exercitus Francici in vicinas partes emittens nostros impugnat modo, modo impugna-

λεμεῖτο. τήν τε γὰρ Πέτρουλαν ἐχειρώσατο καὶ τὸ λεγόμενον Μύλου Πόλισμα ὑπερκείμενον ποταμοῦ Διαβόλεως καὶ ἄλλα τὰ τοιαῦτα πέριξ τῆς πόλεως Δυρραχίου τυγχάνοντα πάντα πολέμου νόμῳ κατεκληρώσατο. ταῦτα μὲν οὖν ἐποίει πολε-
5 μικῇ δεξιᾷ· ἠρχιτεκτόνει δὲ ἐν τοσούτῳ καιρῷ τὰ πολεμικὰ μηχανήματα, χελώνας κατασκευάζων πυργοφόρους καὶ κριοφόρους καί τινας ὀρυκτίδας καὶ ἄλλας χωστρίδας ὅλον χειμῶνα καὶ θέρος ἐργαζόμενος καὶ καταπλήττων καὶ ἀπειλῇ D καὶ τοῖς πράγμασι καταπλῆγας ὄντας ἀνθρώπους. ἀλλ' οὔτι
10 γε καὶ Ῥωμαϊκὴν ἀνδρείαν ἠδύνατο καταπαλαίειν. δυστυχῶς V. 302 δὲ αὐτῷ ἀπηντήκει καὶ τὰ πρὸς ἀποτροφήν. ὅσα μὲν γὰρ προϋφηρπάκει ἀπὸ τῶν πέριξ τοῦ Δυρραχίου, τούτῳ ἀνή- P. 381 λωτο, τὰ δ' ἀφ' ὧν ἤλπικε κομισθῆναί οἱ, προκατασχόντες τὰ τέμπη καὶ τὰς ἐξόδους καὶ αὐτὴν δὴ τὴν θάλατταν οἱ
15 τοῦ Ῥωμαϊκοῦ στρατεύματος ἀπεκώλυον. κἀντεῦθεν λιμὸς ἀθρόως ἐπιφοιτήσας τούς τε ἵππους καὶ τοὺς ἀνθρώπους ὁμοῦ διέφθειρε μὴ ἐχόντων μήτε τῶν ἵππων χιλὴν μήτε τῶν ἀνθρώπων τροφήν. προσεπετέθη δὲ τῷ βαρβαρικῷ τούτῳ στρατεύματι καὶ κοιλιακή τις διάθεσις τῷ μὲν δο-
20 κεῖν ἀπό τινος ἀπροσφόρου σιτήσεως, φημὶ δὲ τῆς κέγχρου· τὸ δ' ἀληθὲς μήνιμα Θεοῦ κατὰ τοσούτου ἀναριθμήτου B

2. διαβόλεως P, correxi. 4. οὖν C, γὰρ P. 8. καὶ καταπλήττων] καὶ om. C. 9. τοῖς F, τοὺς P. 12. τῶν πέριξ] τοῦ μέρους C. 13. κομισθῆναι AC, κομιχθῆναι P. 14. δὴ om. A. 18. προσετέθη C. 19. τῷ] τὸ A. 20. δὲ scripsi: δὴ P.

tur. Petrulam enim et quod vocant Myli oppidum trans Diabolin flumen situm locosque alios eiusmodi circum Dyrrachium lege belli sibi comparavit. haec quidem aperta vi perfecit: eodem vero tempore bellicas machinas struebat testudines aedificans turribus arietibusque gestandis aptas cuniculosque quosdam ac vineas per hiemem totam aestatemque extruens, ita ut et minis et operibus homines iam metu perculsos perterrefaceret. neque tamen Romanam virtutem eluctari potuit. ad hoc annonae difficultate laborare coepit, cum absumptis quae circa Dyrrachium praedati erant eo commeatu, quem allatum iri sibi sperabat, Romani eum milites, qui montium angustias et exitus ipsumque mare praeoccupaverant, interclusissent. inde fames irrupit gravissima et homines equosque simul consumpsit equis pabulo, hominibus alimentis egentibus. praeterea afflictae sunt barbarorum copiae ventriculari morbo, cuius quidem causa ciborum usus non salubrium, milii scilicet, videbatur, re vera autem dei ira

στρατεύματος καὶ ἀνυποίστου κατασκῆψαν ἐπαλλήλους θανάτους εἰργάσατο.

3. Ἀλλὰ τοῦτο μὲν τὸ δυστύχημα κοῦφον ἐδόκει πρὸς ἄνδρα τυραννικὸν ἔχοντα φρόνημα καὶ ἀπολεῖν ἀπειλοῦντα ἅπασαν γῆν. ὅμως μέντοι καὶ δυστυχῶν διεμηχανᾶτο καὶ 5 *καθάπερ θηρίον τιτρωσκόμενον πρὸς ἑαυτὸν συνεστρέφετο καὶ ὥσπερ ἔφημεν πρὸς τὰς πολιορκίας ὅλῳ βλέμματι ἀπετείνετο. καὶ τὰ πρῶτα μὲν κριοφόρον χελώνην ἐξεργασάμενος, ἀπεριήγητόν τι θαῦμα, προσῆγε πρὸς τὸ ἀνατολικώτερον μέρος τῆς πόλεως. καὶ αὐτῇ τῇ ὄψει φοβερὸν* 10 C *θέαμα· κατεσκεύαστο γὰρ ὧδε. μικράν τινα χελώνην ποιησάμενοι καὶ ἐν παραλληλογράμμῳ σχήματι ταύτην κατασκευάσαντες καὶ τροχοὺς ὑποθέντες καὶ πανταχόθεν, ἄνωθέν τε καὶ ἑκατέρωθεν, τὰς πλευρὰς διαστεγάσαντες βύρσαις βοείαις καὶ συνερραφότες πανταχόθεν καὶ τοῦτο δὴ τὸ παρ' Ὁμήρου* 15 *λεγόμενον ἑπταβόειον τὸν ὄροφον καὶ τοὺς τοίχους τοῦ μηχανήματος ποιησάμενοι κᾆθ' οὕτως ἔνδον τοὺς κριοὺς ἀπῃώρησαν. ἐπεὶ δὲ οὕτως εἶχεν αὐτῷ τὸ μηχάνημα, τοῦτο καὶ προσήγγισε τῷ τείχει, μυριάνδρου πλήθους ἔνδοθεν* D *μετά τινων κοντῶν προωθούντων αὐτὸ καὶ ἐγγύθεν ποιου-* 20 *μένων τῶν τοῦ Δυρραχίου τειχῶν. ἐπειδὴ ἀποχρώντως εἶχεν αὐτῷ ἡ ἐγγύτης καὶ συμμέτρως τὰ πρὸς ἀπόστασιν, ὑφεῖλον μὲν τὰς τροχίας, περιπήγμασι δὲ πανταχόθεν ἀσφαλισάμενοι*

10. *φοβερὸν* C, *φοβετρὸν* P. 15. *τὸ τοῦ* P, *τοῦ* om. F. 16. *τοίχους* F, *τείχους* P. 17. *ποιησάμενοι* F, *ποιησάμενος* P.

in tam innumerabilem atque intolerabilem exercitum erumpente multi deinceps milites absumpti sunt.

3. Haec tamen quantacumque fuit calamitas levis profecto crudelis animi tyranno videbatur, qui omnem se terram deleturum minabatur. adeo calamitate afflictus multa machinabatur et bestiae vulneratae instar sese contorquebat. iam, ut diximus, oppugnationi omnem curam adhibuit. primum quidem orientali urbis parti arietariam testudinem admovit, inenarrabile sane miraculum spectaculumque oculis terribile. quod sic erat extructum. testudini parvae in parallelogrammi figuram confectae rotas subdiderunt: superne et latus utrumque taurinis coriis tegebant bene ubique consutis. hac quidem ratione septies pellitis, ut cum Homero loquar, tectorio parietibusque machinae structis arietes intra suspenderunt. talis machina ad moenia promovetur innumerabili intra multitudine contis quibusdam eam protrudente. quae ubi, quantum par videbatur, ad Dyrrachii moenia admota est, sublatis rotis demissisque in terram undique sublicis firmissime defixa

τὸ μηχάνημα, ἵνα μὴ ταῖς ὠθήσεσι τὸ στέγος διασαλεύοιτο,
ἐνταῦθά τινες ἄνδρες ῥωμαλεώτατοι ἑκατέρωθεν τοῦ κριοῦ
σφοδρῶς ὠθοῦντες ἐπὶ τὸ τεῖχος εἴχοντο τῆς ὁμοταγοῦς
τοιαύτης κινήσεως. καὶ οἱ μὲν καθάπαξ ὤθησαν σφοδρῶς P. 382
5 τὸν κριόν, ὁ δὲ καθάπαξ παρενεχθεὶς ἐσπάραττέ τε τὸ
τεῖχος καὶ ἐκεῖθεν ἀποκρουόμενος καὶ παλιμπόρευτον τὴν
φορὰν ποιούμενος ἀντεσπαράττετο. καὶ τοῦτο πολλάκις
ἐποίει τέως πολλάκις περιφερόμενος ἑκατέρωθεν καὶ διατι-
τραίνων τὸ τεῖχος οὐκ ἔληγε. κριὸν δὲ εἰκότως οἱ ἀρχαῖοι
10 μηχανικοὶ καὶ περὶ τὰ Γάδειρα τοῦτο ἐφευρηκότες προσωνο-
μάκασιν ἐκ μεταφορᾶς τῶν καθ' ἡμᾶς κριῶν, οἳ κατ' ἀλλή-
λων ἀντεπερχόμενοι διαγυμνάζονται. ἀλλ' οἱ ἔνδον κατα-
γελῶντες τῆς τραγικῆς ταυτησὶ τειχομαχίας τῶν βαρβάρων
τούτων καὶ κριοφόρων ἀνδρῶν καὶ ὅτι εἰς οὐδὲν αὐτοῖς πε- V. 303
15 ρατοῦται τὰ τῆς πολιορκίας, ἀναπετάσαντες τὰς πύλας ἐκέ- B
λευον εἰσιέναι καταγελῶντες τῶν ἀπὸ τοῦ κριοῦ προσκρου-
μάτων ἐγγινομένων. "οὐ γὰρ ἂν" ἔφασαν "ἐργάσαιτο κριὸς
τοιοῦτον χάσμα ἐκ τῆς κατ' αὐτὸν τειχομαχίας, οἷον ἡ πύλη
παρέχεται." τοῦτο μὲν οὖν αὐτίκα τῇ τῶν ἔνδοθεν ἀνδρείᾳ
20 καὶ τῷ θαρραλέῳ τοῦ στρατηγοῦντος Ἀλεξίου καὶ ἀδελφι-
δοῦ τοῦ αὐτοκράτορος Ἀλεξίου εἰς κενὸν ἀποδέδεικται, ἐρρα-
θυμηκότων καὶ αὐτῶν τῶν πολεμίων ὅσον γε πρὸς τοῦτο

8. τέως scripsi: ἕως P. 11. καὶ κατ' P, καὶ om. F. 12. ἀντανερχόμενοι C. 14. αὐτοῖς περατοῦται F, αὐτοῖς om. P. 20. ἀδελφιδοῦ FA, ἀδελφιδοῦς P.

est, ne ictibus tectum concuteretur. tum viri quidam robustissimi omni vi utrimque arietem in murum impellebant aequalibus constantibusque motibus. quibus tam vehementer arietem protrudentibus factum est, ut ille admotus et murum comminueret et repulsus ac reversus ipse comminueretur. quod saepius tum iteravit aries ultro citroque saepe circumactus ac perforare murum non destitit. arietem qui olim excogitasse circa Gades feruntur mechanici merito sic nominarunt metaphora sumpta de nostris arietibus, qui mutuo sese offendentes ludunt. verum qui intra erant, tragicum illum in muros impetum barbarorum arietiferorum irritamque obsidionem irridebant et portis patefactis ad intrandum hortabantur arietis ictibus plane contemptis. numquam enim arietem posse in obsidione rimam tantam efficere iactabant quantam porta praeberet. sic obsessorum fortitudine et Alexii ducis, imperatoris nepotis, virtute ille impetus vanus fuit ipsis hostibus ita languentibus

καὶ ἀπειπαμένων τὴν πολιορκίαν. τὸ γὰρ ἀνδρεῖον τῶν ἔνδοθεν καὶ τὸ ἀνεῷξαι τὰς πύλας τοῖς βαρβάροις καὶ θαρρεῖν κατ' αὐτῶν εἰς δειλίαν ἐνέβαλε καὶ τοῦ μηχανήματος ἀπαγόρευσιν. C *οὕτω μὲν οὖν ἤργει τὰ παρὰ τῆς κριοφόρου χελώνης· οὐδὲν δὲ ἧττον καὶ τὸ πῦρ ἄνωθεν ἐπιρριφὲν κατὰ* 5 *τοῦ μηχανήματος ἀργοῦντος ἤδη καὶ ἀκινήτου μένοντος διὰ τὰς προειρημένας αἰτίας εἰς τέφραν μετήμειψεν. ἀπὸ τοίνυν τούτων τὸ Φραγγικὸν ἀπειπάμενον πλῆθος πρὸς ἄλλο μηχάνημα φοβερώτερον μετελήλυθεν ἐπὶ τὰ βορειότερα μεταστρέψαν ἀντικρὺ τῆς δουκικῆς καθέδρας, ὅπερ πραιτώριον* 10 *προσωνόμαστο. ἦν δὲ τὰ τῆς θέσεως τοῦ τόπου τοιάδε. εἰς λόφον ὁ τόπος ἀνίστατο, λέγω δὲ οὐ πετρώδη τὸν λόφον, ἀλλὰ γεώδη· ἐφ' οὗπερ λόφου τὸ τεῖχος τῆς πόλεως ἵδρυτο. τούτου καταντικρύ, καθάπερ ἔφημεν, εὐστοχώτατα* D *ὀρύττειν οἱ περὶ τὸν Βαϊμοῦντον ἀπήρξαντο. ἄλλο τοῦτο* 15 *κακὸν ταῖς πόλεσι μεμηχανημένον παρὰ τοῖς πολιορκηταῖς καὶ ἄλλο πολιορκητὸν ὄργανον κατὰ τῆς πόλεως τούτοις πανουργευόμενον. ὀρύττοντες γὰρ ἐπῄεσαν ὑπὸ γῆν καθά-* P. 383 *περ τινὲς ἀσπάλακες τὸν ὑπόγειον χοῦν διατιτραίνοντες καὶ ποῦ μὲν χελώναις ἀκροστέγοις περιφρουροῦντες τὰ ἄνω* 20 *μέρη διὰ τὰς ἄνωθεν βαλλομένας βολὰς πετρῶν τε καὶ τόξων, ποῦ δὲ καὶ τὸ μετέωρον τῆς γῆς στύλοις τισὶν ὑπερείδοντες ὑπώρυττον ἐξ εὐθείας φερόμενοι, πλατύτατόν τε καὶ εὐμη-*

4. *μὲν οὖν* F, *οὖν* om. P. 20. *ποῦ* F, *πῇ* P. 21. *βολὰς πετρῶν τε καὶ τόξων* F, *πετρῶν τὲ καὶ τόξων βολάς* P.

ut hanc quidem obsidionis rationem omitterent. intrepidus enim obsessorum animus, qui sponte barbaris portas aperuissent, atque fiducia hostes ignavos reddidit atque desperantes, ita ut testudo illa arietifera plane cessaret. nihilominus tamen iniectus est ex alto ignis in cessantem immobilemque ob relatas causas machinam eamque in cinerem mutavit. ab hac spe deiectus exercitus Francorum in aliam terribilioremque machinam cogitationes contulit. quam ad septemtrionem collocant e regione cathedrae ducalis, quod praetorium nominant. situm autem erat in colle non quidem e petra sed e terra concreto, supra quem urbis murus constitutus erat. hunc exadversus tumulum, uti diximus, Boëmundi milites sagacissime fodere coeperunt. novum hoc malum adversus urbes excogitaverunt obsessores; novusque contra urbem oppugnationis apparatus ab his admovebatur. fodientes enim subterebant solum talparum more terram perterebrantes et partim testudinibus, quae altis tectis munitae erant, saxa telaque desuper iactata evitabant, partim terram imminentem palis fulcientes recta suffodiebant. latissimam sic longissimamque

κέστατον τάφρον ποιούμενοι καὶ δι' ἁμαξῶν ἀεὶ ἐκφερόμενοι τὸν ἀπὸ τοῦ ὀρύγματος χοῦν. ἐπεὶ δὲ εἶχον ἀρκούντως τῆς διατρήσεως, ἔχαιρον ὥσπερ τι μέγα κατειργασμένοι. ἀλλ' οὐκ ἠμέλησαν οἱ ἐντός, ἀλλὰ κατὰ διάστημα τὴν γῆν ἀνορύξαντες 5 καὶ τάφρον ἀξιόλογον ποιησάμενοι κατὰ τὸ διατεῖνον τῆς τάφρου ἐκάθηντο προσέχοντες, ὅπου δῆτα τὸ πολιορκοῦν μέρος B τὴν ἐκεῖθεν ἐνθάδε διάτρησιν μέλλει ποιήσασθαι. καὶ εὐθὺς κατά τινα τόπον ἐφευρηκότες αὐτοὺς κρούοντάς τε καὶ ἀνασκάπτοντας καὶ τὰς ῥίζας τοῦ τείχους ὀρύττοντας ᾔσθοντό τε αὐτοὺς 10 καὶ μᾶλλον τὴν ἀπ' ἐκείνων * * ὀπὴν ἀνερρωγότες καταντικρὺ καὶ θεασάμενοι τὸ πλῆθος ἀπὸ τῆς ἐντὸς γινομένης τρυμαλιᾶς πυρὶ τὰ τούτων πρόσωπα κατηθάλωσαν. τοῦτο δὲ τὸ πῦρ ἀπὸ τοιούτων μηχανημάτων αὐτοῖς διεσκεύαστο. ἀπὸ τῆς πεύκης καὶ ἄλλων τινῶν τοιούτων δένδρων ἀειθαλῶν συν- 15 άγεται δάκρυον εὔκαυστον. τοῦτο μετὰ θείου τριβόμενον C ἐμβάλλεταί τε εἰς αὐλίσκους καλάμων καὶ ἐμφυσᾶται παρὰ τοῦ παίζοντος λάβρῳ καὶ συνεχεῖ πνεύματι κᾆθ' οὕτως V. 304 ὁμιλεῖ τῷ πρὸς ἄκραν πυρὶ καὶ ἐξάπτεται καὶ ὥσπερ πρηστὴρ ἐμπίπτει ταῖς ἀντιπρόσωπον ὄψεσι. τούτῳ τῷ πυρὶ 20 κεχρημένοι οἱ τἄνδον τοῦ Δυρραχίου κατέχοντες, ἐπείπερ ἀντιπρόσωποι ἦσαν τοῖς πολεμίοις, τάς τε γενειάδας αὐτῶν κατέφλεξαν καὶ τὰ πρόσωπα. καὶ ἦν ἰδεῖν τούτους καθά-

10. ἀπ' F, ὑπ' P. lacunam signavi. 13. διεσκεύαστο F, διεσκέδαστο P. 15. εὔκαυστον scripsi: ἄκαυστον libri. 16. ἐμβάλλεταί τε F, τε om. P. 22. κατέφλεξαν καὶ τὰ πρόσωπα F, καὶ τὰ πρόσωπα κατέφλεξαν C, καὶ τὰ κατέφλεξαν πρόσωπα P.

fossam ducebant saburram inde semper plaustris exportantes. qui cum satis perfodissent, magnam sibi rem praestitisse visi gaudebant. neque vero otiosos se praebebant inclusi, sed ipsi contraria spatio interiecto fossa facta amplissima per totam eam excubabant, ubinam obsessores perrumpere cogitarent, indagatum. nec multo post eos invenerunt. iam et audierunt eos pulsantes ictibus effodientesque infimam muri partem ** : tum foramine ex adverso confecto ac visa multitudine per patefactam rimam igne eorum ora combusserunt. qui quidem ignis sic parabatur. piceae aliarumque eiusmodi arborum semper virentium resina colligitur, quae facile scilicet accenditur. haec una cum sulfure contrita cavisque calamorum tibiis iniecta vehementi et continuo spiritu ludentis agitatur. ita admotum in summa parte concipiens ignem exardescit ac fulminis instar in adversorum hominum vultus agitur. quo igne usi Dyrracheni, cum hostibus occurrissent, barbas vultusque eorum combusserunt. itaque videre eos licuit ut apium fumo afflatarum examen

περ σμῆνος μελισσῶν ὑπὸ καπνοῦ διωκόμενον ἐξαγομένους
D ἀτάκτως, ὅθεν εὐτάκτως εἰσῄεσαν. ἐπεὶ δὲ καὶ τοῦτο αὐ-
τοῖς εἰς μάτην ἐπεπόνητο καὶ ἡ βαρβαρικὴ φροντὶς αὕτη εἰς
οὐδὲν δέον ἀπετελεύτησε, τρίτον αὐτοῖς ἐπινοεῖται μηχάνημα
πύργος ξύλινος, ὅπερ, ὡς ἡ φήμη φησί, πολιορκητὸν ὄργανον 5
οὐ μετὰ τὴν ἀστοχίαν τῶν προεσκευασμένων ὀργάνων κατῆρκτο
γίνεσθαι, ἀλλὰ πρὸ τούτων εἰς ἐνιαυτὸν ὅλον. τοῦτο μὲν
ἔργον εἶχε, τὰ δὲ προειρημένα ὄργανα πάρεργον. ἀλλὰ δεῖ
με πρότερον ὀλίγα περὶ τοῦ σχήματος τῆς πόλεως Δυρραχίου
P. 384 ἀφηγήσασθαι. τὸ μὲν τεῖχος ταύτης ὑποχαλᾶται τοῖς πύρ- 10
γοις· οἱ δὲ πύργοι κυκλόθεν ταύτης ἐξυπανίστανται, ὅσον
εἰς ἕνδεκα πόδας ὑψούμενοι, διὰ κοχλίου τινὸς τὴν ἄνοδον
ἔχοντες ἐπάλξεσί τε ἠσφαλισμένοι. οὕτως ἔχει σχήματός
τε καὶ ἀσφαλείας ἡ πόλις. τὸ δὲ πάχος τοῦ τείχους εἰς
ἀξιόλογον πάχος ἐκτέταται καὶ τοσοῦτον, ὥστε ἱππότας ἄν- 15
δρας καὶ πλείους τῶν τεσσάρων τοὺς ὤμους συμμίξαντας
διϊππάσασθαι ἀσφαλῶς. οὕτω μὲν οὖν ἐκπεφράσθω μοι
τὰ περὶ τοῦ τείχους ὡς ἐν παραδρομῇ τινα σαφήνειαν τῶν
B μελλόντων ῥηθῆναι προαφηγησαμένῃ. τὰ δὲ τῆς πυργο-
ποιΐας τοῦ μηχανήματος τούτου, ὅπερ καθάπερ χελώνης 20
πύργον ἐμηχανήσαντο οἱ περὶ τὸν Βαϊμοῦντον βάρβαροι,
καὶ ἀφηγήσασθαι χαλεπὸν καὶ ἰδεῖν φοβερόν, ὡς οἱ ἑωρα-

3. ἐπινενόητο A. 8. προειρημένα FC, πρειρημένα P. 9. τῆς πόλεως Δυρραχίου F, τῆς πόλεως om. P. 12. δέκα C. 18. τῶν om. F. 19. προαφηγησαμένη P, correxi. 20. ὅπερ καθάπερ F, ἅπερ καθάπερ C, ὅπερ P. χελώνης C, χαλάνης P.

confuse illuc recedentes, unde bene compositi intraverant. itaque cum haec quoque irrita essent, nec quidquam barbarorum industria commodi attulisset, tertiam fabricantur machinam. quod opus turris fuit lignea, quae, ut fama est, non quidem post irritas factas priores machinas, sed iam ante illas extrui coepta est anno integro in ipsa fabricanda consumpto, ita ut hoc principale opus, quae ante significavi parerga viderentur. sed pauca prius de figura urbis Dyrrachii perstringenda mihi sunt. murus eius turribus munitus est, quae urbem circumdantes ad pedum undecim altitudinem extructae loricisque praemunitae sunt quaeque per cochleatas scalas ascendi possunt. ea est figura munitioque urbis. singularis autem moenium crassitudo est, ita ut quatuor et amplius equites aequatis humeris tuto simul perequitare possint. quae quidem muri descriptio sic in transcursu a me praemissa sit, ut melius quae nunc narratura sim intellegantur. nunc illud, quod Boëmundus cum barbaris suis tamquam testudinis quandam turrem extruxit, describendum opus est, difficile sane explicatu,

κότες ἔλεγον, μὴ ὅτι γε οἷς προσεπέλασε φρικωδέστατον θέαμα. εἶχε δὲ τοιῶσδε. πύργος ξύλινος κατεσκεύαστο ἐκ τετραγώνου βάσεως εἰς ἀξιόλογον μῆκος ἠρμένος καὶ τοσοῦτον, ὥστε τῶν τῆς πόλεως πύργων ὑπερανέχειν εἰς πέντε
5 που καὶ ἓξ πήχεις τὸ ὕψος. ἔδει γὰρ οὕτως κατεσκευάσθαι τὸν μόσυνα τοῦτον, ἵνα διά τινων ὑποβαθρῶν μετεώρων πρὸς τὸ χθαμαλώτερον καταχαλωμένων τὸ τεῖχος τῆς πόλεως C ἐκεῖθεν εὐκόλως καταδραμεῖται. οὕτω γὰρ ἂν τὸ σφοδρὸν τῆς ῥύμης οὐκ ἂν ὑπενέγκοιεν οἱ ἐγχώριοι ἀεὶ πρὸς τὸ κατ-
10 όπιν ὠθούμενοι. ὀπτικὴν δὲ ἄρα τὴν ἐπιστήμην ἐπλούτουν, ὡς ἔοικεν, οἱ τὸ Δυρράχιον πολιορκοῦντες βάρβαροι. οὐ γὰρ ἄνευ τοιαύτης δυνάμεως τὰ ὕψη τῶν τειχῶν κατελάμβανον· εἰ δὲ μὴ ὀπτικῆς, ἀλλά γε τῆς ἀπὸ τῶν διοπτρῶν καταλήψεως. ὁ γοῦν πύργος ἐκεῖνος φοβερὸς μὲν ἰδεῖν, φοβερώ-
15 τερος δὲ κινούμενος κατεφαίνετο. τροχοὶ γὰρ πολλοὶ τὴν βάσιν αὐτῷ μετεώριζον· ἀναμοχλευόμενος δὲ ὑπὸ τῶν ἔν- V. 305 δον στρατιωτῶν τοῖς μοχλοῖς θάμβος ἐποίει μὴ φαινομένης D τῆς ἀρχῆς τῆς κινήσεως, ἀλλ' ὥσπερ τις γίγας ὑπερνεφὴς ἀφ' ἑαυτοῦ ἐδόκει κινούμενος. ἐστέγαστο γὰρ ἁπανταχόθεν
20 ἐκ βάσεως ἄχρι κορυφῆς καὶ εἰς στέγας πολλὰς διῄρητο καὶ θυρίσι κύκλῳ παντοδαπαῖς ἠνέῳκτο, ἀφ' ὧν ἐξέπιπτε βέλη συχνά· πρὸς δὲ τὸ ἀνωτάτω μέρος ἄνδρες ἦσαν ἔξω- P. 385

6. ὑποβαθρῶν F, ὑποβάθρων P. 8. ************** οὕτω F. 20. καὶ κορυφῆς P, καὶ om. FA.

aspectu terribile, ut, qui viderunt, confirmant, ne dicam de iis, ad quos horrendum istud spectaculum propius accessit. fuit autem hunc in modum confectum. lignea componebatur turris e quadrata basi tantam in altitudinem assurgens, ut supra urbis turres quinque vel sex cubitos emineret. ita enim ea turris fabricanda fuit, ut hypobathris suspensis pronam deorsum viam praebentibus facile in moenia urbis decurri posset. sic incolas ingentem vim impetus longius semper repulsos sustentaturos non esse putabant. fuisse vero Dyrrachium obsidentes barbari doctrinae opticae peritissimi videntur, nec sine hac scientia aut usu saltem dioptricorum instrumentorum moenium altitudinem dimetiri potuissent. ceterum turris ista terribilis quidem visu, terribilior autem cum admovebatur apparuit. multae enim eius basin sustinebant rotae, cumque a militibus inclusis turris vectibus veheretur, obstupefecit omnes, causa motus initio abscondita, praebuitque speciem gigantis nubes vertice tangentis ac sponte se moventis. tecta erat undique a basi usque ad fastigium et in multas contignationes divisa. erant autem apertae circum in omnes partes fenestrae plurimae, per quas crebra iactabantur tela, inque suprema

πλισμένοι θυμοειδεῖς καὶ ἐπὶ τῶν χειρῶν τὰ ξίφη φέροντες
καὶ πρὸς ἄμυναν διηυτρεπισμένοι. ἐπεὶ δὲ τῷ τείχει προσ-
ήγγισε τὸ φρικτὸν τουτὶ θέαμα, οὐκ ἀμελῶς ἔσχον οἱ ἀμφὶ
τὸν Ἀλέξιον καὶ στρατηγὸν τῆς πόλεως Δυρραχίου, ἀλλ'
ἅμα τε τοῦτο τὸ μηχάνημα ἔξωθεν τῷ Βαϊμούντῳ κατεσκευ- 5
άζετο ὥσπερ τις ἑλέπολις ἄφυκτος καὶ ἄλλο τι ἔνδοθεν τοῦ
τείχους αὐτοῖς ἀντεμηχανᾶτο. ἑωρακότες γὰρ εἰς ὅσον ὕψος
ὁ αὐτοκίνητος οὗτος πύργος ἐκτέταται καὶ ὅπου τοῦτον
B ἐστήριξαν ὑφελόμενοι τοὺς τροχούς, τέτταρα ξύλα μακρότατα
καταντικρὺ τοῦ μόσυνος πήξαντες ὥσπερ ἀπὸ τετραγώνου 10
βάσεως εἰς πήγματος σχῆμα διανιστάμενα κἀθ' οὕτως βάσεις
τινὰς διειληφότες μεταξὺ τῶν ἀντιτεταγμένων ξύλων εἰς πῆ-
χυν ἕνα τὸν ἔξωθεν ξύλινον πύργον ἐποίησαν ἀνατρέχειν.
ἀστεγὲς δὲ ἦν ἁπανταχόθεν ὅλον τοῦτο τὸ διάστημα· οὐ
γὰρ ἐδεῖτο προφυλακῆς, εἰ μὴ μόνον κατὰ τὴν κορυφὴν 15
ἐξωρόφωτο. ἐνταῦθα δὴ ἀναγαγόντες οἱ ἀμφὶ τὸν Ἀλέξιον
στρατιῶται τὸ ἔνυγρον πῦρ περὶ τὰ ἀκρόστεγα τοῦ ἀνεπι-
C φράκτου ξυλοπύργου ἔμελλον ἐξακοντίζειν πρὸς τὸν ἀντίθε-
τον μόσυνα. ἀλλ' ἐδόκει καὶ ἡ βουλὴ καὶ τὸ πρᾶγμα οὐ πρὸς
πανωλεθρίαν τοῦ μηχανήματος ἀρκεῖν. ἀκροθιγῶς γὰρ ἔμελλε 20
τὸ πῦρ τὸ ἐντεῦθεν ἐκεῖσε πεμπόμενον τοῦ μόσυνος ἅπτεσ-
θαι. ἀλλὰ τί μηχανῶνται; πληροῦσι τὸν μεταξὺ τόπον τοῦ

4. τὸν στρατηγὸν τῆς πόλεως Ἀλέξιον A. 7. ἑωρακότες γὰρ F, γὰρ om. P. 10. ἀπὸ scripsi: ὑπὸ P. 11. πήγματος scripsi: πείσματος libri. 20. ἀρκεῖν addidi.

parte viri fortissimi erant armati strictosque ad comminus pugnandum gladios ferentes et ad hostes propulsandos parati. quod quidem horrificum monstrum cum muris admoveretur, minime socordiam agebat Alexius dux urbis Dyrrachii eiusque milites. immo simul atque illam machinam tamquam helepolin invictam extra urbem aedificari vidit, alteram et ipse intra moenia illi opponendam extruxit. perspecta enim altitudine turris se ipsam moventis et loco, ubi illam rotis sublatis constituebant, cognito longissimas quatuor trabes e regione turris fixerunt, ita ut velut pegmatis instar ex quadrata basi surgerent. tum nonnulla tabulata intra trabes illas inferentes tota moles ut uno cubito turrem ligneam foris extructam superaret effecerunt. iam ipsa tabulatio undique patebat, cum propugnaculo non egeret, nisi quod fastigium tecto munitum erat. tum Alexii milites collatum ignem liquidum de fastigio undique apertae turris ligneae in oppositam turrem iaculabantur. at vero et ratio et usus docuit, ita sperari non posse fore ut illa machina everteretur. leviter enim dumtaxat turrim poterat attingere ignis hinc illuc missus. quid igitur excogitant? complent

τε ξυλίνου καὶ τοῦ τῆς πόλεως πύργου εὐκαταπρήστου παντοίας ὕλης καὶ ἐλαίου πολλοῦ κατὰ ποταμοὺς κενουμένου· τούτοις ἐπενήνεκτο πῦρ, δαλοὶ καὶ φλόγες, ὃ κατὰ μικρὸν ὑποτυφόμενον καθ' οὕτως βραχείας ἀναπνοῆς ἐπιδραξάμε-
5 νον ἔπειτα εἰς περιφανῆ φλόγα διαρθὲν συνεπιλαμβανομένων καὶ τῶν ἀπὸ τοῦ πυρὸς τοῦ ὑγροῦ πρηστήρων ἅπαν D
ἀνῆψε τὸ φρικτὸν ἐκεῖνο καὶ πολυϋλότατον μηχάνημα ἐμποιοῦν ἦχον καὶ φοβερὰν θέαν ταῖς ὄψεσιν. αἴσθησις P. 386
δὲ τοῦ πολλοῦ πυρὸς ἦν κυκλόθεν μέχρι καὶ σταδίων τρισ-
10 καίδεκα· θόρυβος δὲ καὶ ταραχὴ τοῖς ἔνδον βαρβάροις πολλὴ καὶ ἀμήχανος τῶν μὲν ἐναπειλημμένων τῷ πυρὶ καὶ ἀποτεφρουμένων, τῶν δὲ ἀπὸ μετεώρου ῥιπτούντων ἑαυτοὺς πρὸς V. 306
τὴν γῆν· βοὴ δὲ πολλὴ καὶ ἀμήχανος ταραχὴ ἀντηχούντων καὶ τῶν ἐκτός.

15 4. Τοσαῦτα μὲν οὖν περὶ τοῦ ὑπερνεφοῦς μόσυνος καὶ τῆς παρὰ τῶν βαρβάρων τειχομαχίας· ἀλλ' ἐπὶ τὸν βασιλέα καὶ αὖθις τὸν λόγον ἐπανακτέον. ἔαρος τοίνυν B
ἐφισταμένου ἡ μὲν Αὔγουστα ἐκ τῆς Θεσσαλονίκης ὡς πρὸς τὴν βασιλεύουσαν ἐπανέστρεφεν, ὁ δὲ αὐτοκράτωρ
20 τῆς πρόσω πορείας εἴχετο καὶ τὴν Διάβολιν διὰ τῆς Πελαγονίας καταλαμβάνει ἔνθεν περὶ τοὺς πρόποδας τῶν ἤδη ῥηθέντων δυσβάτων ἀτραπῶν οὖσαν. καὶ καινὴν

2. κενουμένου F, κενωμένου P. 7. ἀνῆψε AP, ἀνῆπτο C. 11. ἀποτεφρουμένων A, ἀποτρεφουμένων F, ἀποστρεφομένων P. 20. Διάβολιν F, Δεάβολιν P.

spatium inter ligneam et urbis turrim materia varia quae facile exardesceret multo infuso largiter oleo; quibus adicitur ignis, titiones scilicet facesque. is initio gliscens deinde leni excitatus flatu postremo in altam flammam exarsit atque cum ignis humidi illius, ut ita dicam, fulminibus coniunctus totam illam horribilem machinam largamque igni materiam praebentem accendit. quae quidem res fragorem excitabat terribilemque oculis aspectum. ingentis enim flammae splendor usque ad stadia circumquaque tredecim relucebat. magna tum fuit inopsque clausorum ibi barbarorum perturbatio atque confusio, cum alii flammis comprehensi in cinerem verterentur, alii ex alto sese in terram praecipitarent. magnus quoque erat clamor inopsque perturbatio resonantium qui foris stabant barbarorum.

4. Hactenus de ingenti illa nubesque tangente turri obsidioneque barbarorum. sed ad imperatorem redeat oratio. vere igitur ineunte Augusta Thessalonica in regiam urbem reversa est; imperator porro pergens per Pelagoniam Diabolim pervenit, urbem in collibus ante montes sitam, in quibus semitae quas supra memoravi sunt impeditissimae. iam

τινα στρατηγίαν κατὰ τῶν βαρβάρων μεμελετηκὼς δεῖν ἐλογίσατο τοῦ μὲν δημοσίου πολέμου σχολὴν παντελῶς καταψηφίσασθαι καὶ ἀγχέμαχον διὰ ταῦτα τὴν μάχην οὐκ ἤθελεν, ἀλλὰ τὰ δύσβατα τέμπη καὶ τὰς ἀδιεξοδεύτους ὁδοὺς
C μεταίχμιον ἀμφοῖν τοῖν στρατοπέδοιν καταλιπὼν τοὺς εὔνους 5 ἅπαντας κατὰ τὰς ἀκρολοφίας μετὰ ἀποχρώσης δυνάμεως καταστήσας τὴν καινὴν ἐκείνην στρατηγίαν ἐμηχανήσατο, ὡς μήτε τοὺς ἔνθεν πρὸς τὸν Βαϊμοῦντον ῥᾷστα προσχωρεῖν δύνασθαι μήτ' ἐκεῖθεν πρὸς τούτους αὖθις γράμματα φοιτᾶν ἢ προσηγορίας διαπέμπεσθαι, ὑφ' ὧν ὡς τὰ πολλὰ τὰ 10 τῆς ἀγάπης ἑδράζεσθαι εἴωθε. σπάνις γὰρ προσηγορίας κατὰ τὸν Σταγειρίτην πολλὰς φιλίας διέλυσε. γινώσκων δὲ τὸν Βαϊμοῦντον ἄνδρα πονηρίας καὶ δραστηριότητος ἀνά-
D πλεων ἤθελε μὲν καὶ τὴν κατὰ πρόσωπον πρὸς αὐτὸν μάχην ἀναδέξασθαι, καθά γε καὶ εἴρηται, ἀλλὰ καὶ δι' ἑτέρου 15 παντὸς τρόπου καὶ μηχανῆς κατ' αὐτοῦ μελετῶν οὐδαμῶς ἐνεδίδου. διὰ δὲ τὰς ἤδη ῥηθείσας αἰτίας, καίτοι πολλὰ σφαδάζων πρὸς τοῦτο, φιλοκίνδυνός τε καὶ πυκνοκίνδυνος πάλαι ὢν οὑτοσὶ ὁ αὐτοκράτωρ καὶ ἐμὸς πατήρ, ἐπεὶ τὸν λόγον εἶχεν ἐν πᾶσι κρατοῦντα, δι' ἑτέρας μεθόδου κατα- 20
P. 387 γωνίσασθαι τοῦτον ἔσπευδε. δεῖ γάρ, οἶμαι, τὸν στρατηγὸν οὐκ ἀεὶ διὰ ξιφουλκίας τὴν νίκην ἑαυτῷ σπεύδειν περιποιεῖσθαι, ἀλλὰ καὶ πρὸς πανουργίαν ἔστιν οὗ εὐτρεπίζεσθαι,

8. ῥᾷστα προσχωρεῖν F, προσχωρεῖν ῥᾷστα P. 10. ὧν] ὡς F. 11. ante ἀγάπης in F verba δυνάμεως καταστήσας ... πρὸς τούτους falso repetita manus eadem delevit. εἴωθε F, εἴωθεν P.

novo in barbaros consilio excogitato plane evitandam esse statuit publicam pugnam. neque igitur apertum capessebat proelium, sed angustiis impenetrabilibus inviisque viis inter castra utraque interiectis fidissimos quosque cum idoneis copiis in ipsis montium iugis collocavit novamque belli gerendi rationem hanc invenit, ut neque ex suis quisquam ad Boëmundum facile accedere posset neque illinc ad hos litterae salutationesque mitterentur, quibus amicitia plerumque conciliari solet. cessantibus enim salutationibus secundum Stagiritam multae tolluntur amicitiae. nam cum Boëmundum virum summae malitiae atque industriae esse sciret, aperto quidem proelio confligere non dubitabat, quemadmodum iam dictum est, sed aliud plane consilium aliamque artem in eum excogitans minime cessavit. sed ob eas, quas dixi, causas quamquam pugnandi cupidissimus cum periculorum et amans et vetus esset, tamen imperator pater meus prudentiam in omnibus rebus superiorem esse ratus alia ratione eum debellare studebat. ducis enim est, ut mihi videtur, non sem-

ἐπὰν ὁ καιρὸς καὶ τὰ συμπίπτοντα τοῦτο διδόασι, τὴν νίκην ἑαυτῷ πάντοσε περιποιούμενον. καὶ τοῦτο γὰρ στρατηγῶν ἰδιαίτατον, ὅσαπερ ἴσμεν, μὴ μετὰ ξιφῶν καὶ μάχης μόνον, ἀλλὰ καὶ πρὸς σπονδὰς τρεπομένων· καὶ ἄλλως ἔστιν οὐ
5 ῥαδιουργοῦντα τὸν ἐχθρὸν καταγωνίζεσθαι, ὁπηνίκα καὶ τοιούτου καιρὸς παρῇ. ὁποῖον καὶ τότε ὁ αὐτοκράτωρ φαίνεται σκευωρήσας. θέλων γὰρ διχόνοιαν ἐμβαλεῖν μεταξὺ τῶν τε κομήτων καὶ τοῦ Βαϊμούντου καὶ κατασεῖσαι B οἷον τὸν πρὸς ἀλλήλους συνασπισμὸν ἢ διαρρῆξαι τοιοῦτόν
10 τι δραματουργεῖ. μεταπεμψάμενος οὖν τὸν ἐκ Νεαπόλεως Μαρῖνον τὸν Σεβαστόν (τῶν Μαϊστρομιλίων οὗτος ὑπῆρχε τὸ γένος· κἂν μὴ πάνυ τὸν πρὸς αὐτὸν ὅρκον ἀνόθευτον τότε ἐτήρει ἀπατηλοῖς ἐξαπατηθεὶς λόγοις καὶ ὑποσχέσεσιν, ἀλλ' ὅσον γε τὰ πρὸς τὸν Βαϊμοῦντον ἀποκαλύψαι αὐτῷ τὸ
15 ἀπόρρητον τεθάρρηκεν), ἅμα δὲ καὶ τὸν Ῥογέρην (τῶν ἐπι- V. 307 φανῶν δὲ οὗτος Φράγγων) καὶ τὸν Πέτρον Ἀλίφαν, ἄνδρα κατὰ πόλεμον περιβόητον καὶ τὴν ὡς πρὸς τὸν αὐτοκράτορα C πίστιν ἀκράδαντον δι' ὅλου τηρήσαντα. τούτους μετακαλεσάμενος βουλὴν ἐζήτει, ὅπως τὰ κατὰ τὸν Βαϊμοῦντον εὖ δια-
20 θέμενος καταγωνιεῖται αὐτόν, ἀλλὰ καὶ περὶ τῶν εὐνουστέρων τῷ Βαϊμούντῳ καὶ ὁπόσους ἐκεῖνος ἰσοψύχους ἔχει διηρώτα. καὶ περὶ τούτων μαθὼν ἐξ αὐτῶν δεῖν ἔλεγεν

1. τοῦτο F, τούτω sic P. 13. λόγοις FC, λόγους P. 14. ὅσῳ P, correxi. 15. ῥοδέρην C. 16. φράγγων F, Φράγκων P.

per ferro victoriam quaerere, sed etiam opportunum tempore casuve invitante dolum commoliri ad plenam victoriam reportandam; estque is maxime proprius ducum mos, quantum scimus, ut non ad gladios solum ac proelia, sed ad foedera etiam sese convertant. atque adeo dolis interdum hostis profligandus est, cum praesertim apta iis occasio sese obtulerit, id quod etiam imperator tum agitasse videtur. discordiam enim concitare inter comites et Boëmundum armorumque societatem quam inierunt quasi percutere aut dissolvere studebat, quod ita fere fecit. vocavit ad se Neapolitanum Marinum Sebastum, Maïstromiliorum genere ortum, cui, etsi iusiurandum sibi praestitum haud semper tum servaverat verbis fallacibus promissisque deceptus, sua tamen contra Boëmundum arcana posse credere confisus est. praeterea Rogerium arcessivit, illustrem inter Francos virum, et Petrum Alipham, hominem et laude rei bellicae et servatae omnino imperatori fidei integritate celebrem. quibus in consilium adhibitis deliberavit, quanam ratione rem ita institueret, ut Boëmundum devinceret, quaeritque ex iis, quinam Boëmundo magis ceteris essent dediti quique cum eo maxime concordarent. quo

ὑποποιήσασθαι τούτους διὰ παντοίας μηχανῆς· "καὶ εἰ τοῦτο γένοιτο, δι' ἐκείνων καὶ τὸ κοινὸν τοῦ Κελτικοῦ στρατεύματος διαρραγήσεται εἰς διψυχίαν ἐμπεσόν". ἀνακοινοῦται
D τοῦτο τοῖς ἤδη ῥηθεῖσι. καὶ ἐξ ἑκάστου τούτων ἕνα αἰτεῖται τῶν εὐνουστέρων θεραπόντων καὶ ἐχεμυθεῖν ἐπισταμένων. οἱ δὲ ἑτοίμως τοὺς κρείττονας τῶν ὑπηκόων αὐτῷ ἔφησαν δοῦναι. καὶ ἐπειδὴ παρῆσαν οἱ ἄνθρωποι, δραματουργεῖ τι τοιοῦτον. γράμματα συνθέμενος ὥσπερ ἀμοιβαῖα πρός τινας τῶν ἀμφὶ τὸν Βαϊμοῦντον οἰκειοτάτους, ὡς δῆθεν ἐκείνων γεγραφότων πρὸς τοῦτον καὶ οἰκειότητά τινα μνησ-
P. 388 τευομένων καὶ τὰ ἀπόρρητα τῆς τοῦ τυράννου γνώμης ἐξαγορευόντων, πέμπει πρὸς αὐτοὺς ὥσπερ εὐχαριστηρίους λόγους συντάξας καὶ ἀποδεξάμενος τάχα τὴν τῶν ἀνδρῶν εὔνοιαν. ἦσαν δὲ οὗτοι ὅ τε Γίδος ὁ τοῦ Βαϊμούντου αὐτάδελφος καί τις τῶν ἐνδοξοτάτων ἀνδρῶν Κοπρισίανος καλούμενος καὶ πρὸς τούτοις ὁ Ῥικάρδος καὶ τέταρτος ὁ Πριγκιπάτος, ἀνὴρ γενναῖος καὶ τὰ πρῶτα φέρων ἐν τῇ στρατιᾷ τοῦ Βαϊμούντου, καὶ ἕτεροι πλείους τούτων. πρὸς οὓς τὰ ἐπίπλαστα γράμματα ἐξεπέμπετο. ἐκεῖθεν μὲν γὰρ
B οὐδὲν ἐδέδεκτο τοιοῦτον ὁ βασιλεὺς οὔτε παρὰ Ῥικάρδου οὔτε παρὰ ἄλλου τινὸς τοιούτου εὔνοιαν καὶ πίστιν ὑπαγορεῦον γραμμάτιον· αὐτὸς δὲ ἀφ' ἑαυτοῦ τὰ τοιαῦτα τῶν

5. ἐφισταμένων P, correxi. 19. ἐκεῖθεν F, ἐκεῖσε P. 20. 21. παρὰ scripsi: περὶ P. 22. τῶν γραμμάτων F, τῶν om. P.

cognito omni arte id enitendum esse dixit, ut in suas isti partes traherentur: quo quidem facto per illos Gallici exercitus unitatem discordia odioque disiunctum iri. hoc ubi communicavit cum iis, quos nominavi, a singulis singulos famulos, quos fidissimos esse silentiumque servare posse novissent, expostulat. libenter illi daturos se servorum optimos pollicentur. qui cum advenissent, hanc fallaciam machinatur. dedit per hos epistulas ad Boëmundi familiarissimos ita conceptas, ut ad epistulas eorum iam pridem scriptas respondere videretur, quibus ipsius amicitiam expetissent et arcana prodidissent tyranni consilia; ipse magnas se iis gratias agere eorumque benevolentiam sibi exoptatissimam esse simulabat. fuerunt illi quidem Gidus Boëmundi frater quique e clarissimis in exercitu viris fuit, Coprisianus (sic enim appellabatur), praeterea Ricardus et quartus Principatus, vir fortissimus et in Boëmundi exercitu facile princeps, aliique complures. ad hos fictas illas misit litteras: istinc enim neque a Ricardo neque ab alio quopiam horum imperator scriptum acceperat, quod eorum benevolentiam fidemque significaret, sed ipse per se solus

γραμμάτων ἐπλάττετο. εἶχε δὲ νοῦν τοιοῦτον τὸ δραματούργημα, ὡς εἴπερ εἰς ἀκοὰς εἰσέλθῃ Βαϊμούντου ἡ τῶν ἀνδρῶν τοιούτων προδοσία καὶ ὡς ἐκεῖνοι ἐκεῖθεν ἀποκοπέντες τῇ γνώμῃ τῷ μέρει τῷ βασιλικῷ προσεχώρησαν,
5 αὐτὸς μὲν εὐθὺς ταραχθήσεται καὶ πρὸς τὴν βαρβαρικὴν φύσιν ἐπανελεύσεται, κακώσας δὲ τοὺς ἄνδρας ἀπορραγῆναι τούτου καταναγκάσειε, καὶ, ὅπερ εἰς νοῦν οὐκ ἦλθεν αὐτοῖς, ἐκ τῆς κατασκευῆς Ἀλεξίου ποιήσειαν πρὸς αὐτὸν στασιάσαντες. ᾔδει γάρ, οἶμαι, ὁ στρατηγός, ὡς τὸ ἀντίπαλον C
10 ἅπαν φῦλον ξυγκροτούμενον μὲν καὶ ἀλληλουχούμενον ἔρρωται, στασιάζον δὲ καὶ εἰς πολλὰ μεριζόμενον ἀδρανέστερον γίνεται καὶ οὕτω τοῖς πολεμοῦσιν εὐχείρωτον. ὅπερ καὶ βαθέως ἐπραγματεύετο καὶ τὸν δόλον ὑποβρύχιον εἶχε τὰ γράμματα. μεταχειρίζεται δὲ τὸ πρᾶγμα οὑτωσί πως ὁ
15 Ἀλέξιος. πέμπει μὲν γὰρ τὰ πεπλασμένα γράμματα πρὸς ἐκείνους παραγγείλας ἐπιδοῦναι ἑκάστῳ ἕκαστον. εἶχε δὲ τὰ πεμπόμενα βιβλία ἐκεῖνα οὐ μόνον εὐχαριστίαν, ἀλλὰ καὶ δόσεις κατεπηγγέλλετο καὶ βασιλικὰς δωρεὰς καὶ ὑποσχέσεις ὑπερ- D
φυεῖς· ἐφεῖλκε δὲ τούτους καὶ εἰς τὸ μετέπειτα εἶναί τε V. 308
20 εὔνους καὶ φαίνεσθαι καὶ μηδὲν ἀποκρύπτειν τῶν ἀπορρήτων. κατόπιν δὲ τῶν πιστοτάτων αὐτῷ ἄνθρωπον ἀποστέλλει ἀνεπιφωράτως τούτοις παρέπεσθαι, καὶ ἐπειδὰν πλησιάσαντας ἴδοι, παρελάσαντα προφθῆναι τούτων τὴν ἔφοδον

3. ἀνδρῶν τοιούτων C, τοιούτων om. P. 6. ἀπορραγῆναι F, ἀποραγῆναι P. 21. δὲ FC, καὶ P.

huiusmodi litteras confinxit. qui quidem dolus eo spectabat, ut, si proditio talium virorum ad Boëmundi aures pervenisset, tamquam si ab ipso abalienati ad imperatorem defecissent, ipse statim perturbatus barbaro abriperetur furore eosque gravi iniuria affectos a sese desciscere cogeret, quodque iis in mentem non venisset, Alexii fraude ad seditionem adducti facerent. sciebat scilicet dux, omnes gentes coniunctas et concordes esse validissimas, seditiosas vero atque in multas partes disiunctas plane enervari, ut facile ab hostibus superari possent. sic litterae illae peracute excogitatae abditum continebant dolum. quam rem Alexius ita peregit. dedit confictas epistulas singulas singulis tradendas, quibus non solum gratias egit, sed dona etiam ac regia munera pollicitus est promissaque fecit amplissima; monuit etiam, ut in posterum quoque sibi benevoli et essent et apparerent nec secretorum quidquam se celarent. illos, qui mittebantur, a tergo clam sequi iubebat fidissimum sibi hominem, et cum eas ad castra accedere vidisset, celeriter iis praecur-

P. 389 καὶ καταλαβόντα τὸν Βαϊμοῦντον τόν τε αὐτόμολον ὑποκριθῆναι καὶ εἰπεῖν, ὡς αὐτῷ προσχωρήσειε μισήσας τὴν τοῦ βασιλέως διατριβήν, φιλίαν δὲ πρὸς τὸν τύραννον προσποιούμενον καὶ ὡς δή τινα εὔνοιαν κατειπεῖν ἀριδήλως τῶν ἀνδρῶν ἐκείνων, ἐφ' οὓς τὰ γράμματα, ὡς ἄρα ὁ δεῖνα καὶ ὁ δεῖνα, 5 ὀνομαστὶ τούτους καταριθμήσας, ἐξομοσάμενοι τὴν πρὸς ἐκεῖνον πίστιν βασιλεῖ φίλοι καὶ εὔνοι γεγόνασι καὶ τὰ ἐκείνου φρονοῦσι καὶ ὁρᾶν δεῖ, μή τι κατ' αὐτοῦ δεινὸν μελετήσειαν ἐξ ὑπογύου καὶ πάλαι προεσκεμμένον· ἀλλὰ δὴ καὶ τοῦτο πεπραγματεῦσθαι, ἵνα μή τι δεινὸν τοῖς γραμματοκο- 10 B μισταῖς τούτοις ὁ Βαϊμοῦντος ἐργάσηται. ἐμέλησε γὰρ καὶ τοῦτο τῷ βασιλεῖ, ὅπως τοὺς μὲν καθέτους τούτους ἄνδρας ἀβλαβεῖς διατηρήσειε, τὰ δὲ κατὰ τὸν Βαϊμοῦντον πράγματα συνταράξειε. καὶ οὐκ εἶπε μὲν ταῦτα καὶ συμβεβούλευκεν, οὐ γέγονε δέ; ἀλλὰ προσελθὼν καὶ δι' ὅρκου λαβὼν τὸ 15 ἀφρόντιστον τῶν γραμματοκομιστῶν ὁ εἰρημένος ἀνὴρ ἀπαγγέλλει πάντα κατὰ τὰς ὑποθημοσύνας τοῦ αὐτοκράτορος. ἐρωτηθεὶς δὲ ὅπῃ τούτους στοχάζεται ἐφθακέναι, τὴν Πέτρουλαν αὐτοὺς ἔλεγε διελθεῖν. καὶ ἀποστείλας κατέσχε τοὺς γραμματοκομιστὰς καὶ τὰ γράμματα ἀναπτύξας ἰλίγγου 20 τε πλήρης γεγονὼς μικροῦ κατέπιπτε πιστὰ λογισάμενος C εἶναι. ἐκείνους μὲν οὖν παραφυλάττεσθαι ᾠκονόμησεν, αὐτὸς δὲ ἀπρόσιτος ταῖς σκηναῖς ἐν ἓξ ἡμέραις ἦν γνωσιμαχῶν τὸ

18. ὅπῃ F, ὅπου P. 23. ἀπρόσιτος scripsi: ἀπρόϊτος P.

rere, ut Boëmundum adiret simulans se transfugam esse ad eiusque partes deficere imperatoris cunctationis pertaesum et amicitiae specie ac benevolentiae tyrannum decipiens palam viros illos incusaret, quibus epistulae essent inscriptae: illum atque illum. quos nominatim appellaret, fidem ipsi eiuratos imperatori amicos ac benevolos esse eiusque rebus favere. quare cavendum esse, ne quid infausti, quod iamdudum parassent, in ipsum ex improviso machinarentur. denique prospicere eum iussit, ne quo malo Boëmundus tabellarios istos afficeret. id enim curae erat imperatori, ut missos hos viros incolumes servaret perturbaretque res Boemundi. nonne dixit suasitque haec, nonne haec sic evenere? accedens enim vir ille ad Boëmundum iureiurando firmavit tabellariorum salutem omniaque ex imperatoris consilio ei patefecit. deinde interrogatus, ubi eos nunc esse suspicaretur, transgressos esse eos Petrulam dixit. tum misit ille qui tabellarios comprehenderent, cumque cupide legisset litteras, quas veras putabat, vertigine correptus paene concidit. iam vero illos clam iussit observari: ipse sex dies in castris nulli aditum praebens

τί ἂν χρῇ ποιῆσαι, πολλοὺς παρ' ἑαυτῷ ἀνελίττων λογισμούς,
εἰ χρὴ παραστῆναι τοὺς κονοσταύλους καὶ πρὸς τὸν ἀδελφὸν
αὐτοῦ Γίδον ἐξειπεῖν τὴν κατ' αὐτοῦ δοθεῖσαν πρόληψιν καὶ εἰ
μετὰ τὸν ἔλεγχον παραστῆναι χρὴ ἢ ἄτερ ἐλέγχου, πρὸς τού-
5 τοις δὲ καὶ τὸ τίνας ἀντ' αὐτῶν κονοσταύλους ποιήσειε.
γενναίους δὲ ὄντας τοὺς τοιούτους κἀντεῦθεν πολλὴν τὴν βλά-
βην ἐσομένην παρασταλέντων ὑπονοῶν, κατὰ τὸ ἐγχωροῦν τὰ
κατ' αὐτοὺς οἰκονομήσας, οἶμαι δὲ καὶ τὸν κρυπτόμενον νοῦν
τῶν γραμμάτων ὑποτοπάσας, μετεληλυθὼς εὐφυῶς τούτους
10 καὶ θαρσήσας ἐπὶ ταὐτοῦ μεμενηκέναι τούτους ξυνεχώρησεν. D

5. Ὁ δὲ αὐτοκράτωρ, ἐπεὶ προφθάσας ἀξιόμαχον δύ-
ναμιν ἐν πάσαις ταῖς κλεισούραις κατέθετο μετ' ἐκκρίτων ἡγε-
μόνων, πᾶσαν τὴν ἀτραπὸν διὰ τῶν καλουμένων ξυλοκλασιῶν
αὖθις τοῖς Κελτοῖς ἀπετάφρευσεν. εἶχε μὲν γὰρ εὐθὺς ὁ
15 Αὐλών, ἡ Ἱεριχὼ καὶ τὰ Κάνινα ἀνύστακτον φύλακα Μιχαὴλ
τὸν Κεκαυμένον, ἡ δὲ Πέτρουλα Ἀλέξανδρον τὸν Καβάσιλαν
μετὰ συμμίκτων πεζῶν στρατιωτῶν, ἄνδρα ἐκθυμότατον καὶ P. 390
πολλοὺς τῶν κατὰ τὴν Ἀσίαν Τούρκων κατατροπωσάμενον·
τὴν Δεύρην δὲ Λέων ὁ Νικερίτης μετὰ ἀποχρώσης ἐφρούρει V. 309
20 δυνάμεως· τῷ δέ γε Εὐσταθίῳ τῷ Καμύτζῃ τὰς περὶ τὸ
Ἄρβανον ἀνατεθείκει κλεισούρας. ὁ δέ γε Βαϊμοῦντος ἐκ
πρώτης, ὅ φασιν, ἀφετηρίας κατὰ τοῦ Καβασίλα τὸν ἀδελ-

1. χρὴ P, correxi. 10. ἐξεχώρησεν C. 13. τὴν scripsi: τὲ P. 15. ἱεριχὼ F, Ἱερηχῶ P. 21. ἀνατεθείκει F, ἀνετεθείκει C, ἀνετηθήκει P.

deliberabat, quid faciendum esset, multas volvens rationes, num citandi essent conostabli ac Gido fratri suo palam indicare deberet crimen contra eum allatum, tum utrum citandi essent convicti an non convicti, denique quos eorum loco conostablos faceret. itaque cum remotis his viris fortitudine praestantibus magno se affectum iri incommodo reputaret, fecit ea quae pro re nata fieri poterant (credo etiam ipsi de clandestino litterarum dolo suspiciones subortas esse) atque hilari vultu eos visens confidenter honores suos obtinere passus est.

5. At imperator, postquam copias haud exiguas in cunctis claustris cum electis ducibus collocavit, insuper omnes vias magnis lignorum struibus, quas xyloclasias vocant, adversus Gallos communivit. dederat enim statim Auloni Hierichunti Caninis diligentissimum custodem Michaelem Cecaumenum. Petrulam obtinebat cum pedestribus mixti generis copiis Alexander Cabasilas, vir maxime intrepidus, qui multos in Asia Turcas fugaverat; Deurae praeerat Leo Nicerita cum idoneo praesidio; Eustathio denique Camytzae claustra ad Arbanum sita custodienda commiserat. Boëmundus vero

φὸν αὐτοῦ Γίδον καὶ κόμητά τινα Σαρακηνὸν καλούμενον καὶ
τὸν Κοντοπαγάνον ἐξέπεμψεν. ἐπεὶ δέ τινα τῶν ὁμορούντων
τῷ Ἀρβάνῳ πολίχνια προέφθασαν τῷ Βαϊμούντῳ προσχω-
ρῆσαι, οἱ τούτων ἔποικοι τὰς τοῦ Ἀρβάνου ἀτραποὺς ἀκρι-
B βῶς ἐπιστάμενοι προσελθόντες πᾶσαν, ὡς εἶχε, τῆς Δεύρης 5
τὴν θέσιν ἐξηγήσαντο καὶ τὰς λανθανούσας ἀτραποὺς ὑπέ-
δειξαν. τηνικαῦτα ὁ Γίδος διχῇ διελὼν τὸ στράτευμα αὐτὸς
μὲν τὴν κατὰ πρόσωπον μετὰ τοῦ Καμύτζη μάχην ἀνεδέξατο,
τὸν δέ γε Κοντοπαγάνον καὶ τὸν Σαρακηνὸν καλούμενον κό-
μητα παρὰ τῶν Δευριωτῶν ὁδηγουμένους ἐξ ὀπισθίων τῷ 10
Καμύτζῃ ἐπεισπεσεῖν ἐπέταξε. τούτου γοῦν συνδόξαντος
ἀμφοῖν, ἐπεὶ ὁ μὲν Γίδος κατὰ πρόσωπον ἐμάχετο, οἱ δέ
γε λοιποὶ κόμητες τῇ παρεμβολῇ τοῦ Καμύτζη ἐπεισπεσόν-
τες ἀπὸ τῶν μεταφρένων δεινὸν τὸν φόνον κατ' αὐτῶν
ἀπειργάσαντο, ὡς οὐκ ἐνῆν αὐτῷ πρὸς πάντας μάχεσθαι, 15
C τραπέντας τοὺς ὑφ' ἑαυτὸν θεασάμενος συνείπετο τούτοις
καὶ αὐτός. καὶ πίπτουσι μὲν τηνικαῦτα τῶν Ῥωμαίων πολ-
λοὶ καὶ αὐτὸς ὁ Καρᾶς νηπιόθεν τοῖς γνησίοις παρὰ τοῦ
αὐτοκράτορος προσληφθεὶς καὶ καταλεγεὶς καὶ ὁ Σκαλιάριος
Τοῦρκος τῶν ὀνομαστῶν πάλαι κατὰ τὴν ἕω ἡγεμόνων γε- 20
γονώς, αὐτομολήσας τῷ βασιλεῖ καὶ τοῦ ἁγίου βαπτίσματος
τετυχηκώς. ἀλλὰ ταῦτα μὲν τὰ κατὰ τὸν Καμύτζην· ὁ δέ
γε Ἀλυάτης μετὰ καὶ ἑτέρων λογάδων τὴν Γλαβινίτζαν φυ-

9. Κοντοπαγάνον C, Κοντοπαγάνων P. 14. αὐτοῦ? 19. Σκαλιάρης C. 20. πάλαι F, πάλιν P. 23. γλαβινίτζαν F, Γλαβηνίτζαν P, Γλαβηνίτλαν C.

iam ab ipsis ut dicunt carceribus Gidum fratrem cum comite quodam Saraceno appellato et cum Contopagano adversus Cabasilam misit. deindo ubi oppidula quaedam Arbano finitima in Boëmundi potestatem venerunt, horum incolae peritissimi circa Arbanum viarum situm Deurae accuratissime ei retulerunt secretasque semitas ostenderunt. tum Gidus exercitum bifariam divisit: ipse adversa fronte Camytzam aggreditur, Contopaganum vero et Saracenum comitem a Deuriotis ductos a tergo illum invadere iussit. quod cum inter eos convenisset, dum Gidus cum adversis hostibus pugnat, reliqui comites Camytzae aciem a tergo adorti atrocem ediderunt stragem. ille cum adversus omnes pugnare non posset, ubi suos effuse fugientes vidit, et ipse eos secutus est. multi ibi Romani ceciderunt, in quibus Caras fuit, a puero iam in numerum familiarium imperatoris receptus iisque adscriptus, et Scaliarius Turca, dux olim per Orientem illustris, postea ad imperatorem transfuga et sacrum baptisma adeptus. haec de Camytzae clade. Alyates autem cum aliis lectissimis viris Glabinitzae custodiendae praepositus in planitiem descen-

λάττων πρὸς τὴν πεδιάδα κατῆλθεν· εἴτε πρὸς πόλεμον εἴτε καὶ κατασκοπήσων τινὰ τόπου θέσιν, Θεὸς ἂν εἰδείη. τυχαίως δ' οὖν συναντῶσι τούτῳ παραχρῆμα κατάφρακτοι D Κελτοὶ ἄνδρες γενναῖοι καὶ τηνικαῦτα διχῇ διαιρεθέντες οἱ μὲν
5 (πεντήκοντα δὲ τὸν ἀριθμὸν ἦσαν) κατὰ πρόσωπον αὐτοῦ σφοδρᾷ τῇ ῥύμῃ ἵενται ὅλους χαλάσαντες χαλινούς, οἱ δέ γε λοιποὶ ἐξ ὀπισθίων ἀψοφητὶ τούτῳ παρείποντο. ἦν γὰρ ἑλώδης ὁ τόπος. ὁ δὲ Ἀλυάτης τῆς τῶν ὄπισθεν μὴ αἰσθόμενος ἐλεύσεως, ἀλλὰ κατὰ τῶν ἔμπροσθεν ὅλῃ γνώμῃ ἀγω-
10 νιζόμενος καὶ χειρὶ λέληθεν ἑαυτὸν εἰς κίνδυνον συνελάσας. ἐπεισπεσόντες γὰρ τούτῳ οἱ ἐξ ὀπισθίων ἐρχόμενοι καρτερῶς κατ' αὐτοῦ ἐμάχοντο. συναντήσας δὲ τούτῳ κόμης τις Κοντοπαγάνος καλούμενος βάλλει τοῦτον διὰ τοῦ δόρατος· καὶ P. 189 παραχρῆμα ἄπνους κατὰ γῆς ἔκειτο. πίπτουσι δὲ καὶ τῶν
15 σὺν αὐτῷ οὐκ ὀλίγοι. ταῦτα μεμαθηκὼς ὁ αὐτοκράτωρ τὸν Καντακουζηνὸν μετεπέμψατο, ἄνδρα τοῦτον γινώσκων περὶ τὰς στρατιωτικὰς ἐγχειρήσεις ἱκανώτατον. ἔφθασε γάρ, ὡς ἔφην, καταλαβεῖν τὸν αὐτοκράτορα εἰς τόπον μετακληθεὶς ἀπὸ Λαοδικείας. ἐπεὶ δ' ἀναβολὴν τὰ κατὰ τὸν Βαϊμοῦντον
20 οὐκ εἶχεν, ἀξιόμαχον στρατὸν μετ' αὐτοῦ συνεκπέμπει καὶ τῆς παρεμβολῆς ἔξεισι προεκπέμπων οἷον καὶ πρὸς μάχας ὀτρύνων αὐτόν. ἐφθακὼς δὲ τὴν κλεισοῦραν τὴν ἐγχωρίως

16. κατακουζηνὸν F; sic semper. 20. εἶχεν F, εἶχε P. 21. οἷον FC, αὐτὸν P.

dit: utrum pugnandi an loci explorandi causa, deus noverit. cui forte illic obviam fiunt Galli viri fortes loricati qui statim bifariam divisi partim (quinquaginta hi numero fuerunt) vehementissimo a fronte impetu illum invadunt habenis omnino remissis, partim a tergo eum sine strepitu sequuntur. erat enim paluster is locus. quos Alyates a tergo appropinquantes non sentiens, sed cunctis viribus cum adversis hostibus pugnans quantum periculum immineret minime cognovit. illi enim a tergo aggressi vehementissime eum adoriuntur. occurrit Alyati comes quidam qui Contopaganus nominabatur eumque lancea transfixit, ita ut exanimis statim humi iaceret; caduntque et alii Romanorum non pauci. quo imperator audito Cantacuzenum arcessivit, quem ad exequendas res militares acerrimum noverat. ille eo tempore, quo ad imperatorem ilico proficisci iussus est, Laodiceae erat. cum vero nullam pateretur dilationem bellum cum Boëmundo, eum cum magno exercitu contra hostes ire iubet simulque castris egressus eum tamquam prosequitur ad proelia eum incitans. tum in clisura, quam indi-

B οὕτω καλουμένην Πέτραν καὶ αὐτοῦ που ἐγκαρτερήσας πολλοῖς τε λογισμοῖς καὶ στρατηγικοῖς ἐπιχειρήμασιν ἐφοδιάσας αὐτὸν καὶ τὰ λῷονα ὑποθέμενος πρὸς Γλαβινίτζαν χρησταῖς ἐλπίσι θαρσύνας ἐκπέμπει, ἐκεῖνος δὲ πρὸς Διάβολιν ἐπανέστρεψεν. ὁ δὲ Καντακουζηνὸς προςπελάσας ἐν τῷ ἀπέρ- 5
V. 310 χεσθαι πολιχνίῳ τινί, τῷ τοῦ Μύλου καλουμένῳ, παραχρῆμα παντοίας κατασκευάσας ἑλεπόλεις ἐπολιόρκει τὸ πολίχνιον. καὶ οἱ Ῥωμαῖοι ἀναισχύντως τοῖς τείχεσι προσεπέλαζον καὶ οἱ μὲν πῦρ ἐνιέντες τὰς πύλας ἐνεπίπρων, οἱ δὲ καὶ διὰ τοῦ τείχους εἰς τὰς ἐπάλξεις θᾶττον ἀνῄεσαν. αἰσθόμενοι 10 δ' οἱ πέραθεν τοῦ ποταμοῦ, τοῦ οὑτωσὶ καλουμένου Βούση,
C αὐλιζόμενοι Κελτοὶ ὡς πρὸς τὸ τοῦ Μύλου καστέλλιον ἔθεον. οὓς θεασάμενοι οἱ τοῦ Καντακουζηνοῦ σκοποί (βάρβαροι δὲ ἦσαν, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν) ἐπανατρέχουσιν ἀσυντάκτως πρὸς αὐτὸν καὶ οὐ μυστηριωδῶς περὶ τῶν 15 φανέντων κατήγγελον, ἀλλὰ πόρρω που φωνοῦντες τὴν τούτων ἔφοδον ἔλεγον. ἀκούσαντες δὲ οἱ στρατιῶται τὴν τῶν Κελτῶν ἔφοδον, κἂν τῶν τειχῶν ὑπερέβησαν, κἂν τὰς πύλας ἐνέπρησαν, κἂν ἐν χερσὶ τοῦτο κατέχοντες ἦσαν ἤδη, ἀλλ' ἐκδειματωθέντες ἕκαστος πρὸς τὸν ἴδιον ἀπέτρεχεν ἵππον· 20

1. πολλοῖς FC, παλλοῖς P. 2. στρατηγικοῖς F, στρατιωτικοῖς P. 3. γλαβινίτζαν F, Γλαβηνίτζαν P. 4. ἀνέστρεψεν C. 5 sq. ἐν τῷ ἀπέρχεσθαι πολιχνίῳ τινὶ F, πολιχνίῳ τινὶ ἐν τῷ ἀπέρχεσθαι P. 9. ἐνεπίπρων F, ἐνέπιπρον P. 12. ὡς πρὸς F, πρὸς om. P. μώλου C. 14. ὡς ὁ F, ὡς om. P. ἐδήλωσεν F, ἐδήλωσε P. 16. πόρρω που F, ποῤῥωθεν P. 17. ἔλεγον] ἔλευσιν C. 20. ἀπέτρεχεν F, ἔτρεχεν P.

genae Petram appellant, aliquantisper moratus, ubi multis cum meditationibus strategicisque consiliis eum instruxit quaeque utilia erant ei praecepit, plenum eximiae spei Glabinitzam eum dimisit, ipse Diabolin rediit. profectus autem Cantacuzenus, cum castello cuidam propius accessisset, quod Myli dicitur, variis confestim operibus paratis id oppugnavit. Romani audacter muros aggrediuntur: pars ignibus illatis portas concremant, pars in moenia insilientes propugnacula cito invadunt. his animadversis, qui trans Busen quod vocatur flumen stationem habebant Galli, ad Myli castellum festinabant. quos ubi viderunt Cantacuzeni exploratores, homines, ut dictum est, barbari, sine ordine ad eum recurrunt nec tamen submissa voce, quid vidissent, nuntiant, sed instare Gallorum adventum procul conclamant. quo quidem audito milites, quamquam muros iam transcenderant et portas combusserant habebantque iam in manibus arcem, perterriti ad suum quisque equum currunt. ac tantus terror tantaque erat animorum perturbatio, ut alius equum alius conscende-

ἔμφοβοι δὲ ὄντες καὶ συγχυθέντες τὸν νοῦν θάτερος θατέρου ἵππου ἐπέβαινε. πολλὰ γοῦν ὁ Καντακουζηνὸς ἀγωνισάμενος καὶ πολλὰς ἱππασίας κατὰ τῶν ἐκδειματωθέντων ποιήσας "ἀνέρες ἔστε," φωνῶν κατὰ τὸν ποιητὴν "μνήσθητε D
5 θούριδος ἀλκῆς", ὡς οὐκ ἔπειθεν, εὐφυῶς τούτους τῆς πτοίας ἀνήνεγκε φάμενος ὡς "οὐ χρὴ τὰς ἑλεπόλεις καταλιπεῖν τοῖς ἐχθροῖς καθ' ἡμῶν ὄργανα, ἀλλὰ πῦρ εἰς αὐτὰς ἐμβαλεῖν κἀθ' οὕτως εὐσυντάκτως ὑποχωρεῖν". παραχρῆμα γοῦν μάλα προθύμως ἐπλήρουν οἱ στρατιῶται τὸ
10 προσταττόμενον καὶ οὐ τὰς ἑλεπόλεις μόνον, ἀλλὰ καὶ τὰ P. 392 κατὰ τὸν ποταμὸν Βούσην ἱστάμενα πλοῖα ἐνέπρησαν, ὡς μὴ ῥᾳδίως οἱ Κελτοὶ διαπερᾶν ἔνθεν ἔχοιεν. αὐτὸς δὲ ἀναποδίσας μικρὸν καὶ πεδιάδι τινὶ ἐντυχὼν δεξιόθεν μὲν τὸν καλούμενον Χαρζάνην ποταμὸν ἐχούσῃ, ἐξ εὐωνύμου δὲ
15 ἑλώδη τινὰ τόπον καὶ βαλτώδη καὶ συγχρησάμενος τούτοις ὡς ὀχυρώμασιν αὐτοῦ που τὸν χάρακα ἐπήξατο. οἱ δὲ ῥηθέντες Κελτοὶ παρὰ τῷ χείλει τοῦ ποταμοῦ γενόμενοι τῶν πλοίων ἤδη προεμπρησθέντων ἀστοχήσαντες τῶν ἐλπίδων κεχηνότες ὑπέστρεφον. ὁ δὲ τοῦ Βαϊμούντου ἀδελφὸς Γίδος
20 τὰ ξυμβάντα πυθόμενος παρ' αὐτῶν ἄλλην ἐτράπετο καὶ στρατιώτας γενναίους τῶν ὑπ' αὐτὸν διελόμενος πρὸς Ἱεριχὼ καὶ τὰ Κάνινα ἐξέπεμψε. καταλαβόντες οὖν τὰ ὑπὸ τοῦ B

1. συγχυθέντες F, συνθέντες P. θάτερος F, ἀτέρος sic P. 2. ἵππου F, ἵππον P. ἐπέβαινε F, ἐπέβαινεν P. 7. ἐχθροῖς F, ἐναντίοις P. 8. οὕτως F, οὔπως P. 15. συγχρησάμενοι P, correxi. 16. ἐπήξατο F, ἐπήξαντο P.

ret. strenue quidem repugnabat Cantacuzenus ac saepe perculsis istis equo occurrebat "Estote viri" clamans verba poetae "et fortis mementote pugnae". sed cum irrita omnia essent, placide eos e pavore recipiens "Cur" inquit "machinas nostras hosti relinquamus in nosmet ipsos adhibendas? agite ignem eis iniciamus, quo facto compositi gradum referamus." statim impigre milites imperata faciunt neque suas solum machinas, sed naves quoque ad flumen Busen collocatas incendunt, ne facile Galli traicere possent. tum ipse sensim pedem referens planitiem occupat, quae ad dextram Charzane, quod appellatur, flumine, ad laevam palustri atque uliginoso terminabatur loco. utraque re ad se muniendum usus castra ibi posuit. Galli autem, quos memoravi, simul atque ad ripas fluvii provecti naves iam incensas repererunt, spe frustrata minime alacres revertebantur. verum Boëmundi frater Gidus auditis ex illis quae evenissent itinere mutato fortissimos quosque milites ex exercitu delectos adversus Hierichuntem et Canina dimisit. qui ubi ad saltus ve-

Κεκαυμένου Μιχαὴλ τηρούμενα τέμπη (ἐκεῖνον γὰρ φύλακα τούτων ἐπέστησεν ὁ αὐτοκράτωρ) καὶ συμμάχῳ τῷ τόπῳ χρησάμενοι καὶ θαρρήσαντες τρέπουσι ξυμβαλόντες κατὰ κράτος. ἀνὴρ γὰρ Κελτός, ἐπὰν ἐν στενωπῷ τοῖς ἐχθροῖς ἐντύχοι, ἀκάθεκτος γίνεται, ὥσπερ ἐν πεδιάσι λίαν εὐάλωτος. 5

6. Θαρσήσαντες οὖν ὡς πρὸς τὸν Κανταкουζηνὸν αὖθις ἐπανατρέχουσιν. ἐπεὶ δὲ τὸν τόπον, οὗπερ ἔφθασεν ὁ Κανταкουζηνός, ὡς εἴπομεν, τὸν χάρακα πήξασθαι, μὴ προσβοηθοῦντα τούτοις ἐγνώκεσαν, δειλιάσαντες ἀνεβάλοντο τὴν μάχην. ὁ δὲ αὐτῶν αἰσθόμενος τῆς ἐφόδου δι' ὅλης νυκτὸς 10 C ξυμπάσῃ στρατιᾷ τὴν τοῦ ποταμοῦ περαίαν κατέλαβεν. ἡλίου δὲ τοῦ ὁρίζοντος μήπω ὑπερκύψαντος αὐτός τε θωρακισάμενος καὶ ἅπαν ὁπλίσας τὸ στράτευμα τὴν μέσην τῆς παρατάξεως εἶχε χώραν προμετώπιος, οἱ δὲ Τοῦρκοι ἐξ εὐωνύμου· ὁ δέ γε Ἀλανὸς Ῥωσμίκης τὸ δεξιὸν διεῖπε κέρας μετὰ 15 V. 311 τῶν ὑπ' αὐτὸν ὁμοχθόνων. τοὺς δὲ Σκύθας προέπεμψε κατὰ τῶν Κελτῶν ἐντειλάμενος δι' ἀκροβολισμοῦ ἐπισπᾶσθαι τούτους καὶ βάλλειν μὲν συχνῶς, ὑπεκφεύγειν δὲ αὖθις καὶ παλιμπορεύτους γίνεσθαι. καὶ οἱ μὲν προθύμως ἀπῄεσαν, ἤνυσαν δὲ οὐδαμῶς, ἐπείπερ οἱ Κελτοὶ συνησπικότες οὐδ' ὅλως τὴν 20 D παράταξιν ἔλυον, ἀλλὰ βραδεῖ ποδὶ συντεταγμένοι λίαν ᾔεσαν. ὡς δὲ κατὰ τὰ προσήκοντα μέτρα τῆς μάχης ἄμφω τὰ στρα-

2. ἔστησεν C. 3. ξυμβαλόντες om. C. 4. ἐν addidi. ἐντύχοι F, ἔτυχεν P. 5. πεδίασι F, πεδιάδι P. 9. ἐγνώκεσαν P, ἐγνώκεισαν P. ἀνεβάλοντο F, ἀνεβάλλοντο P. 12. δὲ τοῦ F, τοῦ om. P. 15. Ῥωσμίκης] infra (205, 7) Ῥωμίσκην. 17. ἐπισπᾶσθαι F, ἐπισπάσασθαι P.

niunt Michaeli Cecaumeno ab imperatore ut tueretur traditos, adiuvante loci natura confidenter adgressi illos profligant. Gallo enim militi, cum hostes in arto deprehendit, nulla vi resisti potest: idem in aequo campo facile superatur.

6. Hoc successu elati iterum ad Cantacuzenum recurrunt; sed ubi loco, ubi Cantacuzenum castra posuisse antea diximus, se minime adiuvari cognoverunt animo deiecti pugnam distulerunt. at ille eorum adventus haud ignarus omnem per totam noctem exercitum trans fluvium traiecit. quo facto ante lucem ipse loricatus armatum totum educit exercitum et medium obtinet in acie locum in prima fronte locatus: Turcae laevum, Rosmices Alanus cum popularibus dextrum cornu tenebant. praemisit autem contra Gallos Scythas, quibus mandat ut Gallos procul telis elicerent modo crebro iacientes, modo pedem referentes rursusque procedentes. qui quidem alacres abierunt nec tamen quidquam effecerunt, cum Galli clipeos clipeis admoventes nec acie usquam soluta lento gradu com-

τεύματα ἐλήλυθεσαν, οἱ μὲν Σκύθαι οὐκέτι βάλλειν οἰστοὺς ἠδύναντο σφοδρᾷ τῇ ῥύμῃ τῶν Κελτῶν κατ' αὐτῶν ἐξιππασαμένων, ἀλλ' ἐδίδουν εὐθὺς τοῖς Κελτοῖς τὰ μετάφρενα. τούτοις ἐπαμύνειν οἱ Τοῦρκοι προθυμηθέντες προσέβαλον·
5 καὶ οὐδὲ τούτων λόγον ὅλως ποιησάμενοι οἱ Κελτοὶ ἐκθυ- P. 393 μότερον ἐμάχοντο. ὁ δὲ Καντακουζηνὸς ἡττωμένους ἀπάρτι τούτους ὁρῶν τὸν ἐξουσιοκράτορα Ῥωμίσκην τὸ δεξιὸν ἐπέχοντα κέρας μετὰ τῶν ὑπ' αὐτόν (Ἀλανοὶ δὲ ἦσαν ἄνδρες μαχιμώτατοι) τὴν μετὰ τῶν Κελτῶν μάχην ἐπέτρεψεν. ἀλλὰ
10 καὶ οὗτος προσβαλὼν ὀπισθόπους ἐφαίνετο καίπερ ὡς λέων δεινὸς κατ' αὐτῶν βρυχώμενος. ὡς δὲ καὶ τοῦτον ἡττώμενον ὁ Καντακουζηνὸς ἐθεάσατο, ἐπιρρώσας ἑαυτὸν ὥσπερ ἐξ ὁρμητηρίου τινὸς κατὰ μέτωπον τῆς τῶν Κελτῶν παρατάξεως ἵεται καὶ εἰς μέρη πολλὰ διαλύσας τὸ στράτευμα
15 τρέπει τοὺς Κελτοὺς κατὰ κράτος διώξας ἄχρι πολιχνίου B τοῦ καλουμένου Μύλου πολλοὺς μὲν τῆς δευτέρας τύχης καὶ τῶν μειζόνων ἀνελών, τινὰς δὲ καὶ τῶν ἐπιφανῶν κομήτων ζωγρήσας, τόν τε Οὖβον * ἀδελφὸν Ῥιτζάρδον καλούμενον καὶ τὸν Κοντοπαγάνον νικητὴς ὑπέστρεψεν. ἀκριβεστέραν τοί-
20 νυν τὴν νίκην τῷ βασιλεῖ παραστῆναι βουλόμενος πολλῶν Κελτῶν κεφαλὰς τοῖς δόρασι περιπείρας καὶ τοὺς μείζονας

4. ἐπαμύνειν F, ἐπαμοίβειν P. προσέβαλον F, προσέβαλλον P. 8. δὲ scripsi: καὶ P. 18. Οὖβον C, Οὔβου P. καὶ ἀδελφὸν P, καὶ om. FC: lacunam signavi; fortasse talia καὶ τὸν αὐτοῦ post Οὖβον interciderunt. 20. τὴν C, τὸν P.

positi succederent. cum vero idoneum ad pugnam spatium utraque acies esset assecuta, Scythae vehementer Gallis equitibus contra ipsos currentibus missilia iacere iam non potuerunt, sed celeriter terga verterunt. quos defensuri Turcae procurrunt: sed ne hos quidem magni facientes Galli acrius instant. quos Cantacuzenus statim ac victos vidit, exusiocratorem Romiscen, qui cornu dextrum tenebat, eosque quibus praeerat Alanos manu promptissimos cum Gallis committere iussit. sed et hic recedere visus est, quamquam saevi instar leonis in illos furebat. superatum hunc quoque cum intellegeret Cantacuzenus, forti ipse animo tamquam ex receptaculo prodiens in adversam Gallorum aciem erumpit divisoque in multas partes exercitu Gallos plane fusos oppidulum usque quod Myli dicitur insecutus est cum multis et inferioris dignitatis et nobilioribus occisis, tum captis nonnullis e numero comitum illustrium, in quibus erant Ubus et frater eius, qui Richardus nominabatur, atque Contopaganus. quo facto victor rediit. quam quidem victoriam ut manifestius imperatori nuntiaret, multorum Gallorum capita hastis

τῶν κατασχεθέντων, Οὖβον καὶ τὸν Κοντοπαγάνον καλούμενον, παραχρῆμα ἐξέπεμψεν. ἐνταῦθα δὲ γενομένη καὶ πρὸς λύχνων ἀφὰς τὸν κάλαμον ἐπισύρουσα μικρὸν πρὸς C τὴν γραφὴν ἐπινυστάζουσα ἐπαισθάνομαι τοῦ λόγου ἀπορρέοντος. ὅπου γὰρ βαρβαρικῶν ὀνομάτων ἐξ ἀνάγκης ἀπαι- 5 τεῖται χρῆσις καὶ ἀλλεπαλλήλων ὑποθέσεων διήγησις, τὸ σῶμα τῆς ἱστορίας καὶ τὸ συνεχὲς τῆς γραφῆς κατ' ἄρθρα ἔοικε διακόπτεσθαι· καὶ οὐ νέμεσις τοῖς γε εὔνως ἐντυγχάνουσι τῇ γραφῇ. ὡς δὲ ὁ μαχιμώτατος Βαϊμοῦντος ἐν στενῷ κομιδῇ τὰ κατ' αὐτὸν ἑώρα ἔκ τε θαλάσσης ἔκ τ' 10 ἠπείρου βαλλόμενος, ὡς καὶ τῶν χρειωδῶν αὐτῷ ἐπιλειπόντων ἤδη πάντοθεν ἐξαπορούμενος, ἱκανὸν ἀποδιελὼν στρά- D τευμα πρὸς τὰς κατὰ τὸν Αὐλῶνα καὶ τὴν Ἱεριχὼ καὶ τὰ Κάνινα διακειμένας πόλεις πέπομφεν ἁπάσας λῃΐσασθαι. ἀλλ' οὐδ' ὁ Κανταχουζηνὸς ἠμέλει οὔτε νήδυμος ὕπνος ἔσχε 15 τὸν ἄνδρα κατὰ τὸν ποιητήν, ἀλλὰ γοργῶς τὸν Βεροΐτην μετὰ ἀξιομάχου στρατιᾶς ἀντίπαλον τοῖς Κελτοῖς ἐξέπεμψεν. P. 394 ἡττᾷ μὲν οὖν αὐτοὺς καταλαβὼν παραυτίκα καὶ οἷόν τι πό- V. 812 ρισμα τὰς τοῦ Βαϊμούντου ναῦς ἐν τῷ ἐπανέρχεσθαι πυρπολήσας διεληλύθει. ὡς ᾔσθητο δὲ ὁ τυραννικώτατος Βαϊ- 20 μοῦντος τῆς τῶν πεμφθέντων ἥττης, ὥσπερ μηδένα τοῦ στρατεύματος ἀπολωλεκὼς κατέπιπτεν οὐδαμῶς· μᾶλλον μὲν

3. λύχνων F, λίχνων P. 4. ἀπορρέοντος F, ἀπορέοντος P, ὑπορέοντος C. 10. τ' A, τε P. 12. πάντοθεν F, πανταχόθεν P. 22. μᾶλλον ... (p. 208, 20) οὐδαμῶς om. C.

infixa captorumque nobiliores Ubum et Contopaganum qui appellabatur confestim ei misit. huc usque in narratione progressa, dum ad lucernam stilum duco, sensi obrepere mihi somnum taedio orationis parum concinnae. quando enim mentionis barbaricorum nominum inserendae atque tot tamque variarum rerum narrandarum necessitas instat, historiae corpus perpetuitasque orationis articulatim dissecari videntur. nec mihi succensebunt aequi lectores. Boëmundus vero pugnandi cupidissimus, cum in angustias se compulsum neque a mari solum terraque exclusum, sed etiam necessariis omnibus rebus egentem videret, undique pressus idoneam manum urbes cunctas circa Aulonem Hierichuntem Canina sitas depraedatum emisit. nec segnis erat Cantacuzenus nec eum dulcis, ut ait poeta, somnus tenebat, verum alacri animo Beroiten sat magnis instructum copiis contra Gallos dimisit. qui ex primo congressu victor discedens succensis in reditu tamquam victoriae corollario navibus Boëmundi rediit. Boëmundus autem atrox tyrannus audita eorum, qui missi erant, clade, quasi neminem e suo exercitu amisisset, animum nihil demisit, quin immo

οὖν καὶ θαρραλεώτερος ἐφαίνετο καὶ ἀποδιελόμενος αὖθις πεζοὺς καὶ ἱππεῖς πρὸς μάχας ἐκθυμοτάτους εἰς χιλιάδας ἓξ ποσουμένους κατὰ τοῦ Κανταχουζηνοῦ ἐξαπέστειλεν οἰόμενος αὐτοβοεὶ αἱρήσειν σὺν τῷ Ῥωμαϊκῷ στρατεύματι καὶ
5 αὐτὸν τὸν Κανταχουζηνόν. ἀλλ' ἐκεῖνος σκοποὺς ἀεὶ τοὺς ἐφεδρεύοντας τὰ Κελτικὰ πλήθη ἔχων μεμαθηκὼς τὴν αὐτῶν ἐπέλευσιν νυκτὸς τὴν στρατιωτικὴν ὡπλίζετο πανοπλίαν B καὶ ὥπλιζε τοὺς στρατιώτας σφαδάζων ἐπεισπεσεῖν αὐτοὺς κατὰ τὸ περίορθρον. ὡς δ' οἱ Κελτοὶ κεκοπιακότες παρὰ
10 τῷ χείλει Βούσῃ τοῦ ποταμοῦ ῥαστώνης μικρᾶς ἕνεκα κατεκλίθησαν, αὐτοῦ που καταλαμβάνει τούτους μειδιώσης ἀπάρτι τῆς ἡμέρας καὶ παραχρῆμα ἐπιθέμενος πολλοὺς μὲν ζωγρίαν ἄγει, πλείονας δὲ κτείνει· οἱ δέ γε λοιποὶ ταῖς δίναις τοῦ ποταμοῦ παρασυρέντες ἀπεπνίγησαν καὶ φεύγοντες λύκον
15 περιέτυχον λέοντι. τοὺς μὲν οὖν κόμητας ἅπαντας πρὸς τὸν αὐτοκράτορα ἐξέπεμψε κἀθ' οὕτως ἀνέρχεται πρὸς τὸν Τίμορον. τόπος δὲ οὗτος ἑλώδης καὶ δύσβατος. κεῖθι γοῦν ἑβδόμην ἡμέραν ἐγκαρτερήσας μετρητοὺς σκοποὺς ἐν διαφόροις ἐξέπεμπε τόποις περιαθρεῖν τὰ περὶ τὸν Βαϊμοῦντον C
20 καὶ γλῶτταν αὐτῷ ἐκεῖθεν κομίσαι, ὡς τὰ κατὰ τὸν Βαϊμοῦντον πυθόμενος ἀκριβέστερον ἐγνωκέναι. ἐντυγχάνουσι δὲ τυχαίως οἱ πεμφθέντες Κελτοῖς ἑκατὸν σχεδίας εὐτρεπίζουσι, δι' ὧν τὸν ποταμὸν διανηξάμενοι τὸ πρὸς τὴν περαίαν δια-

5. σκοποὺς F, σκοπὸς P.

ferocior apparens fortissimos pedites equitesque sex millia elegit et in Cantacuzenum misit, confidens fore ut Romanorum exercitum una cum ipso Cantacuzeno primo impetu caperent. at ille per exploratores, quos semper ad Gallorum copias observandas habebat, de istorum adventu certior factus nocte cum semet ipsum tum milites armavit vehementer cupiens, ut illi primo mane in se irruerent. verum Gallis valde defatigatis ad Busae amnis ripas paululum acquiescentibus ipse, ubi ridere dies coepit, invadens illos acriterque urgens multos vivos cepit, plures caedit; reliqui autem fugientes, quod aiunt, lupum occurrunt leoni, fluminis videlicet vorticibus hauriuntur. omnibus igitur comitibus ad imperatorem missis Timorum se confert, qui quidem locus paluster est et aditu difficilis. hic ad septimum diem moratus speculatores multos in varias partes dimisit, qui Boëmundi res observarent et inde sibi nuntium referrent, ut de Boëmundi rebus certior factus accuratius eas perspiceret. occurrunt hi forte Gallis centum pontem e ratibus conficientibus, ut flumine traiecto oppidulum in adversa ripa situm

κείμενον πολίχνιον αἱρήσειν ἠβούλοντο. τούτοις ἀθρόον ἐπεισπεσόντες ζωγροῦσι μικροῦ ἅπαντας καὶ αὐτὸν τὸν τοῦ Βαϊμούντου ἐξάδελφον εἰς δέκατον πόδα ἀνέλκοντα τὸ μέγεθος, εὖρον δὲ καθάπερ τινὰ ἄλλον Ἡρακλῆν. καὶ ἦν ἰδεῖν καινόν τι, τὸν μέγαν ἐκεῖνον γίγαντα καὶ τῷ ὄντι πελώριον 5 ὑπὸ πυγμαίου κατασχεθέντα Σκυθιδίου. παρεκελεύσατο δὲ D ὁ Καντακουζηνὸς τοὺς κατασχεθέντας ἀποστέλλων τὸν πυγμαῖον Σκύθην δέσμιον τὸν πελώριον ἐκεῖνον εἰσάξαι τῷ αὐτοκράτορι ἀστεϊζόμενος τάχα πρὸς τὸν αὐτοκράτορα. ὡς P. 395 δὲ φθάσαντας τούτους ὁ βασιλεὺς μεμαθήκει, ἐπὶ τοῦ βασι- 10 λικοῦ προκαθίσας θρόνου ἐκέλευσεν εἰσάγεσθαι τοὺς δεσμώτας· εἴσεισι δὲ καὶ ὁ Σκύθης μηδ' ἄχρι γλουτοῦ φθάνων τοῦ γιγαντιαίου ἐκείνου Κελτοῦ δέσμιον τοῦτον ἐπαγόμενος. εὐθὺς οὖν γέλως πάντων ὦρτο πολύς. καὶ τοὺς μὲν λοιποὺς κόμητας φρουρᾷ διεδέξατο· * *. 15

7. Οὔπω μικρὰν ἐπιμειδιάσαντος τοῦ αὐτοκράτορος ἐπὶ τῷ τοῦ Καντακουζηνοῦ κατορθώματι ἑτέρα τις ἀπόφημος κατέλαβεν ἀγγελία φόνον ἀμύθητον τῶν μετὰ τοῦ Καμύτζη καὶ τοῦ Καβασίλα Ῥωμαϊκῶν ταγμάτων μηνύουσα. κατέπιπτε μὲν οὖν οὐδαμῶς ὁ αὐτοκράτωρ, καίτοι σφόδρα δηχθεὶς τὴν 20 B καρδίαν καὶ ἀνιώμενος ἐπιστενάζων τε τοῖς πεσοῦσιν, ἔστιν οὗ καὶ δακρύων τὰ καθ' ἕκαστον, ἀλλὰ Κωνσταντῖνον τὸν

1. πολίχνιον F, πολύχνιον P. 2. ζωγροῦσι F, ζωγροῦς P. 4. εὑρὴν P, correxi. 14. λοιποὺς] τοιούτους A. 15. lacunam signavi. 16. οὔπω δὲ A. 20. δηχθεὶς F (corr. m. 1.) 22. τὰ scripsi: τὸν P. καθ' F, κατ' P.

occuparent. in quos subito irruentes omnes paene vivos capiunt ipsumque inter eos Boëmundi patruelem, qui in decem pedum altitudinem porrectus latus erat ut alter Hercules; fuitque novum sane spectaculum, magnum illum ac vere monstruosum gigantem a pygmaeo correptum videre Scythula. cum igitur Cantacuzenus captivos hos mitteret, lepide praecepit, ut monstrum illud vinculis astrictum pygmaeus Scytha ad imperatorem duceret. imperator, ubi captivos istos adesse rescivit, in regium solium ascendens eos introduci iubet, intratque etiam Scytha vinctum illum immanis corporis Gallum inducens, cuius ne femur quidem attingebat. quae res magnum omnium risum concitavit. tum in custodiam reliqui comites dati sunt: **.

7. Necdum imperator de rebus a Cantacuzeno feliciter gestis subriserat, cum alter calamitosus adfertur nuntius, infandam Romanarum cohortium, quae cum Camytze ac Cabasila fuerant, caedem indicans. neque tamen imperator animum despondit, quamquam perculsus erat maxime et afflictus, ita ut ingemisceret iis, qui ceciderant, quin etiam lacrimas interdum ob unumquemque funderet: sed Constantinum

Γαβρᾶν, ἄνδρα ἀρήϊφιλον καὶ πῦρ κατὰ τῶν ἐναντίων πνέοντα, μεταπεμψάμενος εἰς τὴν οὕτω καλουμένην Πέτρουλαν V. 313 ἀπέστειλε κατασκεψόμενον, ὅθεν οἱ Κελτοὶ εἰς τὰ τέμπη ἐμπεσόντες τὸν τοσοῦτον φόνον εἰργάσαντο καὶ ἀποταφρεῦ-
5 σαι τοῦ λοιποῦ τούτοις τὴν δίοδον. δυσχεραίνοντος δὲ τοῦ Γαβρᾶ καὶ πρὸς τὴν ἐπιχείρησιν οἷον ἀποκναίοντος (οἰηματίας γὰρ ὁ ἀνὴρ καὶ μεγάλοις ἐγχειρεῖν ἐφιέμενος πράγμασι) Μαριανὸν τὸν Μαυροκατακαλὼν παραχρῆμα, τὸν ἐπ' ἀδελφῇ γαμβρὸν τοὐμοῦ Καίσαρος, ἄνδρα ἀρειμάνιον καὶ διὰ πολλῶν
10 ἀνδραγαθημάτων τοῦτο παραστησάμενον φιλούμενόν τε λίαν C παρὰ τοῦ αὐτοκράτορος μετὰ χιλίων γενναιοτάτων ἀνδρῶν ἐκπέμπει. οἷς καὶ πολλοὺς τῶν τοῖς Πορφυρογεννήτου καὶ τῷμῷ Καίσαρι ἐξυπηρετουμένων σφαδάζοντας πρὸς μάχην συγκαταλέξας ἐξέπεμψεν. ἐδεδίει μέντοι πρὸς τοῦτο καὶ
15 οὗτος, ἀλλ' ὅμως σκοπήσων εἰς τὴν ἰδίαν ἀπῄει σκηνήν. περὶ μέσας δὲ φυλακὰς τῆς νυκτὸς γράμματα τοῦ Λαντούλφου κατέλαβε ξυνόντος τῷ τότε μετὰ Ἰσαακίου τοῦ Κοντοστεφάνου θαλασσοκράτορος τυγχάνοντος κατατρέχοντα αὐτῶν τε τῶν Κοντοστεφάνων τοῦ τε Ἰσαακίου καὶ τοῦ αὐταδέλφου
20 αὐτοῦ Στεφάνου καὶ τοῦ Εὐφορβηνοῦ ὡς καταρραθυμούντων τοῦ πορθμοῦ Λογγιβαρδίας καὶ ἐξερχομένων ἐνίοτε πρὸς D τὴν ἤπειρον χάριν ῥᾳστώνης, προκειμένου τοῖς γράμμα-

1. ἐναντίων] Ῥωμαίων C. 3. τὰ τέμπη F, τὴν τέμπην P. 9. τοῦ μοῦ P, correxi. 12. τοῖς F, τῆς P. πορφυρογεννήτου F, Πορφυρογενήτου P. 13. τῷ μῷ P, correxi. 14. ἐξέπεμψεν F, ἐξέπεμψε P. 16. φυλακὰς τῆς F, τῆς φυλακὰς P. 21. περὶ F.

Gabram virum bellicosum et quasi ignivomum in hostes, arcessitum Petrulam, quam vocant, dimisit exploraturum, unde penetrantes in angustias Galli caedis tantae auctores fuissent, iisque in posterum iter praeclusurum. Gabra autem id aegre ferente, cum mandato quasi premeretur (habebat enim homo nimiam sui opinionem magnaque moliri cupiebat), statim ad id negotii Marianum Maurocatacalonem Caesaris mei sororium, pugnandi cupiditatem suam qui multis egregiis factis iam probaverat, in eius locum substituit. quem sibi carissimum imperator cum mille misit viris fortissimis. quibus etiam multos addidit de familia porphyrogeniti meique Caesaris, pugnandi qui cupidissimi erant. sed ne hic quidem ad eundum promptus fuit; quin etiam deliberabundus in suum se tabernaculum recepit. circa medias vero noctis vigilias Lantulphi litterae, qui tum erat apud Isaacium Contostephanum classis praefectum, adferuntur, quibus graviter Contostephani Isaacius eiusque frater Stephanus Euphorbenusque incusabantur, quippe qui neglecta Longibardiae freti custodia animi relaxandi causa in continentem terram interdum exirent.

σιν ὅτι "κἂν σύ, βασιλεῦ, τὰς προνομὰς καὶ ἐκδρομὰς τῶν Κελτῶν ὅλῃ χειρὶ καὶ γνώμῃ κωλύων ἦσθα, ἀλλὰ τούτων ἀναπεπτωκότων καὶ ἐπινυσταζόντων ἔτι περὶ τὴν φυλακὴν τοῦ πορθμοῦ Λογγιβαρδίας σχολὴν ἐξ ἀνάγκης οἱ πρὸς τὸν Βαϊμοῦντον διαπλωΐζόμενοι καὶ τὰ πρὸς χρείαν κομίζοντες ἔχου- 5 σιν. οἱ γὰρ ἀπὸ Λογγιβαρδίας πρὸ μικροῦ πρὸς τὸν Βαϊμοῦντον τὸν ἀπόπλουν ποιησάμενοι τὸν ἐπιπνέοντα τούτοις εὔθε- P. 396 τον ἐπιτηρήσαντες ἄνεμον (καὶ γὰρ νότοι μὲν εὑρεῖς εὔθετοι τοῖς ἀπὸ Λογγιβαρδίας πρὸς τὸ Ἰλλυρικὸν διαπλέουσίν εἰσιν, οἱ δέ γε βορεῖς ἀνάπαλιν), πτερώσαντες τὰς ναῦς τοῖς λαίφεσι 10 τὸν πρὸς τὸ Ἰλλυρικὸν ἀπόπλουν τότε ἐθάρρησαν. σφοδρῶς δὲ ὁ νότος ἐπιπνέων προσορμίσαι μὲν εἰς τὸ Δυρράχιον οὐδαμῶς παρεχώρει, παραπλεῦσαι δὲ τὴν ἠϊόνα Δυρραχίου καὶ τὸν Αὐλῶνα καταλαβεῖν ἠνάγκασε. κεῖθι δὲ τὰς μυριοφόρους ὁλκάδας προσορμίσαντες δυνάμεις τε πολλὰς ἐξ ἱππέων καὶ 15 πεζῶν συνεπαγόμενοι καὶ τὰ ζωαρκῆ ἅπαντα τῷ Βαϊμούντῳ προσαγηόχασι. κἀντεῦθεν πανηγύρεις πολλὰς συνεστήσαντο, B ὡς ἀφθονώτερον ἐκεῖθεν οἱ Κελτοὶ τὰ πρὸς διοίκησιν ἐμπορεύωνται." ὁ δὲ βασιλεὺς θυμοῦ πλησθεὶς τὸν Ἰσαάκιον πολλὰ κατεμέμψατο καὶ ἀπειλησάμενος, εἰ μὴ διορθώσοιτο, 20 ἀνυστάκτως ἐγρηγορέναι ἀνέπεισεν. ἐπεὶ δὲ μὴ κατὰ γνώμην τῷ Κοντοστεφάνῳ ἐπεραίνετο (καὶ γὰρ ἅπαξ καὶ δὶς ἐπι-

17. προσηγηόχασι F. 18. ἐκεῖθεν οἱ F, ἐκεῖθεν om. P. 19. *τὸν F. 20. διορθώσοιτο F, διορθώσατο P. 21. ἀνέπεισεν F, ἀνέπεισε P. 22. ἐπιχειρήσας F, ἐπιχειρίσας P.

inerant in iis haec: "quamvis tu, imperator, excursiones Gallorum ac populationes omni vi omnique studio praepedire volueris, socordia tamen eorum, quibus Longibardiae freti custodia mandata erat, factum est, ut naves ad Boëmundum traicientes cum rebus omnibus necessariis minime turbentur. qui enim paullo ante e Longibardia ad Boëmundum pervecti sunt, idoneum sibi ventum expectaverant. nam cum austri late spirantes in Illyricum e Longibardia navigantibus prosperi sint, boreae autem adversi, plenis velis in Illyricum pervecti navigationem feliciter confecerunt. austro vero acerrimo ad Dyrrachium appellere non permissi litus Dyrrachii praetervecti ad Aulonem proficisci coacti sunt, ubi naves onerarias capacissimas constituerunt, ut equestres ac pedestres copias magnas cum omnis generis commeatibus Boëmundo adferrent. deinde multos mercatus instituerunt, ut largius illinc importarent." at imperator ira elatus in Isaacium graviter invectus est; cumque simul minaretur, nisi prudenter rem gereret, ad vigilandum quidem intentius eum excitavit, sed minime Contostephano res ex animo cessit. nam semel iterumque Gallos

χειρήσας τοὺς ἐκεῖθεν πρὸς τὸ Ἰλλυρικὸν διαπερῶντας ἀπεῖρξαι ἡμάρτανε τοῦ σκοποῦ· μέσον γὰρ τοῦ πορθμοῦ καταλαμβάνων, ἐπεὶ τοὺς Κελτοὺς ἐξ οὐρίας πλέοντας ἑώρα τά θ' ἱστία ἀναπετάσαντας καὶ σφοδρὸν τὸν ἀπόπλουν ποιου-
5 μένους, οὐχ οἷός τε ἦν πρὸς τοὺς Κελτοὺς ἅμα καὶ τοὺς ἀνέμους ἀπομάχεσθαι κατὰ πρώραν τοῦ πνεύματος ἱσταμένου· οὐδὲ γὰρ τὸν Ἡρακλέα πρὸς δύο φασί· τῇ βίᾳ τοίνυν C τοῦ πνεύματος παλίνορσος ἐγίνετο), ἐπὶ τούτοις ὁ αὐτοκράτωρ διεπρίετο· διαγνοὺς δέ, ὅτι οὐχ ὅπῃ προσήκει τὸν
10 Ῥωμαϊκὸν στόλον ὁ Κοντοστέφανος προσώρμισε καὶ διὰ V. 314 τοῦτο αὐτὸν οἱ νότοι ἀπείργουσιν εὔθετον τοῖς Κελτοῖς μᾶλλον τὸν πλοῦν παρεχόμενοι, διαγράψας τὴν τῆς Λογγιβαρδίας ᾐόνα καὶ τοῦ Ἰλλυρικοῦ καὶ τοὺς παρ' ἑκάτερα διακειμένους λιμένας ἀπέστειλε τῷ Κοντοστεφάνῳ ὑποδείξας
15 ἐν γράμμασι, καὶ ὅπῃ δεῖ προσορμίσαι τὰς ναῦς καὶ ὅθεν οὐρίου τύχοι τοῦ πνεύματος κατὰ τῶν διαπλωϊζομένων Κελτῶν ἐξορμῶν. ἀνέρρωσέ τε αὖθις τὸν Κοντοστέφανον καὶ ἔργου ἅψασθαι ἀνέπεισεν. ἀνακτησάμενος οὖν ἑαυτὸν ὁ Ἰσαάκιος καὶ καταλαβὼν οὗπερ ὁ αὐτοκράτωρ αὐτῷ παρεκελεύσατο D
20 τὰς ναῦς προσώκειλε. καὶ καιρὸν ἐπιτηρήσας, ὁπηνίκα οἱ ἀπὸ Λογγιβαρδίας μετὰ πολλῆς παρασκευῆς πρὸς τὸ Ἰλλυρικὸν τὸν ἀπόπλουν ἐποιοῦντο, ἀνέμου δεξιοῦ τηνικαῦτα

2. μέσου F. 9. ὅπῃ F, ὅπου P. προσήκει F, προσήκοι P. 15. ὅπῃ F, ὅποι P. 16. τύχοι F, τύχῃ P. 17. ανέρρωσε F, ἀνέρωσέ P.

inde in Illyricum transeuntes arcere conatus id quod petebat non assecutus est. medium enim fretum tenens, cum Gallos vento adiutos plenis velis et ingenti impetu navigantes videret, contra Gallos ventumque proris adversum simul pugnare non potuit, quoniam ne Hercules quidem, ut aiunt, contra duos. vi igitur tempestatis coactus recessit. quibus compertis imperator dentibus frendebat intellegensque haud apta in statione a Contostephano Romanam classem esse constitutam eamque ob causam austrum, qui prosperam Gallis navigationem praeberet, ei adversum esse, tabulam Longibardicae Illyricaeque orae, in qua utriusque portus notati erant, Contostephano permisit litteris admonens, et quibus in locis ad ancoras naves eum deligare oporteret et unde ventum nanctus secundum in traicientes Gallos incurrere posset, rursusque animum Contostephani erexit atque ut rem aggrederetur persuasit; viribusque collectis Isaacius ad locum imperatoris consilio delectum naves applicavit. observato deinde opportuno tempore, quo Longibardi in Illyricum cum magno commeatu vehebantur, secundo vento in eos incurrens naves-

ἐπιπνέοντος δέχεται τούτους τοῦ πορθμοῦ μέσον καί τινα
μὲν τῶν ληστρικῶν πλοίων πυρίκαυστα πεποίηκε, πλείω δὲ
καὶ αὔτανδρα τῷ βυθῷ παρέπεμψεν. οὔπω ταῦτα μεμαθη-
κὼς ὁ βασιλεύς, ἀλλὰ πρὸς τὰ παρὰ τοῦ Λαντούλφου γρα-
φέντα καὶ αὐτοῦ δουκὸς Δυρραχίου ἐγκείμενον ἔχων τὸν 5
P. 397 νοῦν, ἑτέρου λογισμοῦ γεγονὼς παραχρῆμα τὸν ἤδη ῥηθέντα
Μαριανὸν τὸν Μαυροκατακαλὼν μεταπεμψάμενος ἐκεῖθεν
δοῦκα τοῦ στόλου προχειρίζεται, τὰ δὲ τῆς Πετρούλας
ἑτέρῳ ἀνατίθησιν. οὗτος οὖν ἀπελθὼν καὶ κατά τινα συν-
τυχίαν εὐθὺς ἐντυχὼν ταῖς ἀπὸ Λογγιβαρδίας πρὸς τὸν 10
Βαϊμοῦντον διαπλωϊζομέναις ληστρικαῖς καὶ φορτηγοῖς ναυσὶ
κατέσχεν ἁπάσας πλήρεις παντοίων ἐδωδίμων. καὶ τοῦ λοι-
ποῦ ἄγρυπνος φύλαξ τοῦ ἀναμεταξὺ Λογγιβαρδίας καὶ Ἰλ-
λυρικοῦ πορθμοῦ τυγχάνων οὐ συνεχώρει τὸ παράπαν τοῖς
Κελτοῖς τὸν πρὸς τὸ Δυρράχιον ἀπόπλουν. 15

8. Ὁ δέ γε αὐτοκράτωρ περὶ τοὺς πρόποδας τῶν κλει-
B σουρῶν καὶ κατὰ τὴν Διάβολιν αὐλιζόμενος ἀπεῖργε μὲν τοὺς
προχωρῆσαι τῷ Βαϊμούντῳ ὠδίνοντας, ὡσεὶ νιφετοὺς δὲ
πρὸς τοὺς τὰς κλεισούρας τηροῦντας ἐξέπεμπεν ἑκάστῳ
ὑποτιθέμενος, ὁπόσους εἰς τὴν πεδιάδα Δυρραχίου ἐξαπο- 20
στέλλειν κατὰ τοῦ Βαϊμούντου καὶ ὁποῖον τὸ τοῦ πολέμου
σχῆμα διατυποῦν τοὺς κατερχομένους χρὴ ἐν τῷ μάχεσθαι,
τὰ πλεῖστά τε προτρέχειν τοῖς ἵπποις καὶ αὖθις ἀνθυποσ-

1. ἐπιπνέοντος F, ἐπιπεσόντος P. 7. μαυροκατακαλὼν F, μαυροκατακαζὼν A, Μαυροκατακαλὸν P. 17. Διαβολιν F, Δεάβολιν P. ἀπεῖργε Possinus in mg.: ἀπῆγχε FP.

que in medio freto excipiens piraticas quasdam incendit, plures cum classiariis submersit. at imperator, antequam haec audiisset, quia Lantulphi ipsiusque ducis Dyrracheni litterae altius in animo insidebant, mutato repente consilio arcessitum, quem iam commemoravimus, Marianum Maurocatacalonem classis ducem creavit Petrula alii mandata. ille igitur cito profectus deprehensas feliciter piraticas onerariasque e Longibardia ad Boëmundum transeuntes naves variis commeatibus refertas cepit omnes vigilque deinde custos maris, quod inter Longibardiam est ac fretum Illyricum, omne prorsus Gallis cum Dyrrachio commercium interclusit.

8. Imperator autem Diaboli considens in collibus ante claustra sitis, cum eos qui ad Boëmundum transfugere cuperent, arcebat, tum nivium instar nuntios ad duces misit clisuras custodientes, unumquemque docens, quot in campum Dyrrachenum contra Boëmundum essent mittendi quaque forma in occasione pugnae acies instrui oporteret. plerumque subito eos equitatu irruere iussit indeque celeriter

τεῖν καὶ οὕτω πάλιν καὶ πάλιν ποιοῦντας διὰ τῆς τοξείας μάχεσθαι, τοὺς δὲ τὰ δόρατα φέροντας ὄπισθεν αὐτῶν βραδεῖ ποδὶ στείχειν, ἵν' εἴ που γένηται τοῖς τοξόταις πλέον τοῦ δέοντος πρὸς τὰ ὄπισθεν παρασυρῆναι, δέχωνται τού-
5 τους, ἅμα δὲ καὶ τὸν εἰς χεῖρας τούτων ἴσως ἐλθόντα Κελτὸν πλήττοιεν. ἐπεχορήγει δὲ δαψιλῆ τούτοις τὰ βέλη παρακελευόμενος μὴ φείδεσθαι τούτων ὅλως, ἀλλὰ κατὰ τῶν ἵππων μᾶλλον ἢ τῶν Κελτῶν ἐπιτοξάζεσθαι, τοῦτο μὲν εἰδὼς ὅτι ὅσον ἐπὶ τοῖς θώραξι καὶ τοῖς σιδηροῖς χιτῶσι
10 δύστρωτοι ἦσαν ἢ καὶ παντάπασιν ἄτρωτοι. βάλλειν οὖν εἰς μάτην καὶ πάντη ἀνόητον ᾤετο. ὅπλον γὰρ Κελτικὸν χιτὼν ἐστι σιδηροῦς κρίκος ἐπὶ κρίκῳ περιπεπλεγμένος καὶ τὸ σιδήριον ἀγαθοῦ σιδήρου, ὥστε καὶ βέλος ἀπώσασθαι ἱκανὸν καὶ τὸν χρῶτα φυλάξαι τοῦ στρατιώτου. προσθήκη δὲ τῆς
15 φυλακῆς καὶ ἀσπὶς οὐ περιφερής, ἀλλὰ θυρεὸς ἀπὸ πλατυτάτου ἀρξάμενος καὶ εἰς ὀξὺ καταλήγων καὶ τἄνδον ἠρέμα ὑποκοιλαινόμενος, λεῖος δὲ καὶ στίλβων κατὰ τὴν ἔξωθεν ἐπιφάνειαν καὶ ἐπ' ὀμφαλῷ χαλκοχύτῳ μαρμαίρων. βέλος τοίνυν, κἂν Σκυθικὸν εἴη, κἂν Περσικόν, κἂν ἀπὸ βραχιόνων
20 ἀπορριφείη γιγαντικῶν, ἐκεῖθεν ἀποκρουσθὲν παλινδρομήσειε πρὸς τὸν πέμψαντα. διὰ ταῦτα τοίνυν ἔμπειρος ὤν, οἶμαι, ὁ βασιλεὺς τῶν Κελτικῶν ὅπλων καὶ τῶν ἡμετέρων τοξευμάτων

C V. 315 D P. 398

4. τὰ F, τὰς P. 18. ὀμφαλῷ F, ὀφθαλμῷ P. 20. παλινδρομήσειε F, παλινδρομήσειεν P. 21. ὢν F, ων P.

gradum referre atque iterum hoc iterumque facientes sagittis dumtaxat pugnare. a tergo vero his praesto esse hastatos volebat lento gradu subsequentes, ut si vehementius sagittarii ad novissimum agmen reicerentur, ab hoc excipi possent simulque ut, si qui Galli ipsis occurrissent, eos ferirent. largam iis distribuit telorum copiam, quibus ne parcerent magnopere exhortatus est utque in equos potius quam in ipsos Gallos iacularentur. sciebat enim, telis in thoraces ac ferreas tunicas coniectis illos aut vix aut omnino non posse vulnerari, frustra vero tela mittere plane amens ei videbatur. armatura enim Gallorum lorica est ferrea anulis conserta et ferramentum tam bono ferro fabricatum, ut et tela reiciat et militis corpus tueatur. accedit ad hoc munimentum scutum, non illud quidem rotundum, sed latiore ab imo ambitu in acutius fastigium desinens, cuius interior pars paululum excavata est, exterior levigata et resplendens aeneo umbone fulgurat. itaque Scythicum licet aut Persicum telum vel immanibus lacertis intortum inde ad iaculatorem ipsum repulsum resilit. quare imperator et Gallicae armaturae et nostrae

ἀφεμένους τῶν ἀνδρῶν τοῖς ἵπποις μᾶλλον ἐπιθέσθαι παρεκελεύετο καὶ καταπερᾶν αὐτοὺς τοῖς τοξεύμασι παρῄνει, ἅμα δὲ καὶ ἵνα τῶν ἵππων ἀποβεβηκότες εὐχείρωτοι γένοιντο. Κελτὸς γὰρ ἀνὴρ ἔποχος μὲν ἀκατάσχετος καὶ κἂν τεῖχος
B διατετρήνειε Βαβυλώνιον, ἀποβεβηκὼς δὲ τοῦ ἵππου ἄθυρμα 5
τοῖς ἐθέλουσι γίνεται. γινώσκων γὰρ τὸ διάστροφον τῶν συνεφεπομένων αὐτῷ οὐκ ἤθελε τὰς κλεισούρας ὑπερβῆναι, καίτοι πολλὰ σφαδάζων δημοσίαν τὴν τοῦ Βαϊμούντου μάχην αὐτὸς ἀναδέξασθαι, καθά γε καὶ πάλαι πολλάκις ἡμῖν δεδιήγητο. ἦν γὰρ πρὸς τὰς μάχας παντὸς ξίφους τομώτερος, 10
ἄτρεπτος τὴν γνώμην καὶ παντάπασιν ἀκατάπληκτος· ἀλλὰ τὰ συμπεσόντα οἱ ἀπεῖργε τοῦ ἐγχειρήματος δεινῶς αὐτοῦ τὴν ψυχὴν ἐκπιέζοντα. στενοχωρούμενος οὖν ὁ Βαϊμοῦντος ἀπό τε ἠπείρου καὶ θαλάσσης (καὶ γὰρ ὁ μὲν αὐτοκράτωρ οἷον θεατὴς τῶν κατὰ τὴν πεδιάδα τοῦ Ἰλλυρικοῦ πραττο- 15
C μένων καθῆστο, κἂν ὅλῃ ψυχῇ καὶ γνώμῃ καὶ συμπαρῆν τοῖς μαχομένοις καὶ τῶν αὐτῶν ἐκείνοις ἱδρώτων καὶ πόνων μετεῖχεν, εἰ μή που καὶ πλείω τις φαίη, ἐρεθίζων πρὸς μάχας καὶ πολέμους τοὺς κατὰ τὰς ἀκρολοφίας τῶν κλεισουρῶν κατατεθέντας ἡγεμόνας καὶ ὑποτιθέμενος, ὅπως χρὴ προσ- 20
βάλλειν τοῖς Κελτοῖς· ὁ δέ γε Μαριανὸς τοῦ ἀναμεταξὺ Λογγιβαρδίας καὶ Ἰλλυρικοῦ πορθμοῦ τὰς κελεύθους ἐπιτη-

2. καταπερᾶν Elberlingius: καταπεροῦν P. 5. διατετρήνειε F, διατετρήνεις P. 9. πάλαι F, πάλιν P. 14. θαλάσσης F, θαλάττης P. 16. καὶ συμπαρῆν F, καὶ om. P. 17. ἐκείνων F. 20. ὅπως C, ὅπερ P.

iaculationis gnarus imperabat, ut hominibus neglectis equos potius peterent iaculisque figerent, quippe cum illi equis deiecti facile caperentur. Gallus enim equo impositus omnino superari non potest, quin etiam Babylonios muros perrumpet: simul autem de equo descendit, volentibus ludus est. cumque perversitatem hominum ipsum comitantium bene nosset, claustra excedere noluit, quamquam, id quod saepius mihi olim confirmavit, maxime cupiebat proelii fortunam cum Boëmundo experiri. erat enim omni gladio ut ita dicam acrior, summa constantia ac plane inperterritus, sed quae ipsi acciderant quaeque vehementer eius animum cruciabant, ab incepto tunc quidem desistere eum coegerunt. interim Boëmundus terra marique inclusus est. sedebat enim imperator quasi spectator eorum, quae in Illyrici planitie gerebantur, totoque animo et consilio pugnantibus suis aderat, ita ut et omnium sudorum laborumque eorum particeps esset (immo plures eum pertulisse dixeris) et duces, qui montium vertices claustraque tenebant, ad proelia pugnasque adhortaretur et, quomodo Galli invadendi essent, instrueret. iam Marianus, qui omnes tum vias freti, quod Longibardiae atque Illyrico interia-

ρῶν ἀπεῖργε παντάπασι τοὺς ἐκεῖθεν πρὸς τὸ Ἰλλυρικὸν
διαπερῶντας, οὐ τριάρμενον οὐδὲ μυριοφόρον ὁλκάδα οὐδὲ
μυοπάρωνα δίκωπον τὸ παράπαν ξυγχωρῶν πρὸς τὸν Βαϊ-
μοῦντον διαπερᾶν) καὶ αὐτῶν γοῦν τῶν διὰ θαλάττης κομι-
5 ζομένων τροφίμων ἐκλειπόντων αὐτῷ καὶ τῶν διὰ ξηρᾶς D
ἐπιτιθεμένων σὺν ἐμπειρίᾳ πολλῇ τὸν πόλεμον ἑώρα προ-
βαίνοντα (ὁπηνίκα γὰρ τοῦ χάρακος χορταγωγίας χάριν ἐξῄει P. 399
τις ἢ καί τινων συγκομιδῶν ἄλλων ἢ καὶ τοὺς ἵππους εἰς
ποτὸν ἐξήλαυνον, ἐπετίθεντο τούτοις οἱ Ῥωμαῖοι καὶ τοὺς
10 πλείονας ἀνῄρουν, ὡς κατὰ μικρὸν τὸ αὐτοῦ δαπανᾶσθαι
στράτευμα) ἀποστείλας πρὸς τὸν δοῦκα Δυρραχίου Ἀλέξιον
τὰ περὶ εἰρήνης ἐπερωτᾷ. ἐπεὶ δὲ καὶ εἷς τις εὐγενὴς τῶν
τοῦ Βαϊμούντου κομήτων Γελίελμος ὁ Κλαρέλης ἑώρα τὸ
ἅπαν στράτευμα τῶν Κελτῶν ὑπό τε λιμοῦ καὶ νόσου (δεινὴ V. 316
15 γάρ τις τούτους ἐπέσκηψεν ἄνωθεν) διαφθειρόμενον, τὴν
ἑαυτοῦ σωτηρίαν πραγματευόμενος μεθ' ἵππων πεντήκοντα
αὐτομολεῖ πρὸς τὸν αὐτοκράτορα. ὁ δὲ βασιλεὺς τὸν τοιοῦ- B
τον ἀποδεξάμενος πυθόμενός τε τὰ κατὰ τὸν Βαϊμοῦντον
καὶ τήν τε ὑπὸ λιμοῦ τοῦ στρατεύματος πτῶσιν βεβαιωθεὶς
20 καὶ ὡς ἐν στενῷ κομιδῇ τὰ κατ' αὐτοὺς ἐληλάκει, αὐτὸν μὲν
τῷ τοῦ νωβελλισίμου τηνικαῦτα τιμᾷ ἀξιώματι πολλαῖς
δωρεαῖς καὶ χάρισιν ἀμειψάμενος, μεμαθηκὼς δὲ διὰ τῶν
τοῦ Ἀλεξίου γραμμάτων, ὅτι ὁ Βαϊμοῦντος τὰ περὶ εἰρήνης

18. δεξάμενος A. 19. τοῦ λιμοῦ P, τοῦ om. F. 22. δὲ καὶ A.

cet, custodiebat, omnes inde in Illyricum traiecturos prohibuit atque effecit, ut nec navi trinis instructae velis nec vastae onerariae nec denique myoparoni duorum remorum transfretare ad Boëmundum ullo modo liceret. is igitur deficientibus maritimis commeatibus, cum a terra iam undique se premi bellumque prudentissime geri conspiceret (si qui enim pabulandi aut aliarum rerum afferendarum causa castris exirent vel ad potum equos educerent, Romani in eos invadentes plurimos eorum trucidabant, ita ut paene consumeretur illius exercitus), missis ad Alexium Dyrrachii ducem legatis de pace agere coepit. Gulielmus vero Clarelas, vir praecellens inter Boëmundi comites, cum universum Gallorum exercitum videret et fame et morbo terribili divinitus immisso laborantem, saluti suae consulens cum quinquaginta equitibus ad imperatorem transfugit. quem benigne exceptum imperator, ubi Boëmundi rerum condicionem cladem que exercitus fame pressi audivit quantisque ille esset in angustiis, multis beneficiis donisque cumulatum ipsa nobilissimi dignitate ornavit. cumque ex Alexii litteris cognovisset, Boëmundum

πρὸς αὐτὸν διαπρεσβεύεται, κατανοῶν δὲ καὶ τοὺς ἀμφ' αὐτὸν ἀεί τι κακὸν κατ' αὐτοῦ διανοουμένους καὶ ὅσαι ὧραι ἐπανισταμένους ὁρῶν καὶ βαλλόμενος μᾶλλον ὑπὸ τῶν C ἐγκολπίων ἢ τῶν ὀθνείων ἐχθρῶν, ἐπεὶ ἐδόκει αὐτῷ μὴ ἐπὶ πλέον πρὸς ἑκατέρους ἀμφοτέραις χερσὶ μάχεσθαι, τὴν 5 ἀνάγκην φιλοτιμίαν ποιησάμενος, ὥς πού τις ἔφη, βέλτιον ἔγνωκεν εἶναι τὴν μετὰ τῶν Κελτῶν εἰρήνην ἀσπάσασθαι καὶ μὴ τὰς τοῦ Βαϊμούντου ἀπώσασθαι αἰτήσεις, ἐπτοεῖτο δὲ ἐπὶ τὰ προσωτέρω χωρῆσαι δι' ἣν ἄνωθεν ὁ λόγος ἐνέφηνεν αἰτίαν. διὰ ταῦτα αὐτὸς μὲν αὐτοῦ που προσέμενεν 10 ἀντικαθιστάμενος πρὸς ἄμφω τὰ μέρη, τῷ δὲ δουκὶ Δυρραχίου τοιαῦτα πρὸς τὸν Βαϊμοῦντον εἰπεῖν διὰ γραμμάτων ἐπέσκηψεν "οἶσθα πάντως, ὁσάκις ἠπάτημαι πιστεύων τοῖς D σοῖς ὅρκοις καὶ ῥήμασιν. καὶ εἰ μὴ ὁ τοῦ εὐαγγελίου θεῖος νόμος Χριστιανοῖς ἅπαντα συγχωρεῖν ἀλλήλοις παρεκελεύετο, 15 οὐκ ἂν πρὸς τοὺς σοὺς λόγους τὰ ὦτα ἀνέῳξα. βέλτιον δὲ ὅμως ἀπατᾶσθαι ἢ προσκεκρουκέναι Θεῷ καὶ θείους παραβαίνειν νόμους. διά τοι τοῦτο οὐκ ἀποπέμπομαί σου τὴν αἴτησιν. εἰ μὲν οὖν ἐν ἀληθείᾳ τὴν εἰρήνην καὶ αὐτὸς βούλει μυσαχθεὶς τὸ ἄτοπον οὗπερ ἐπεχείρησας ἔργον καὶ 20 P. 400 ἀτέλεστον καὶ οὐκέτι αἵμασι Χριστιανῶν ἐκχεομένοις χαίρειν ἐθέλεις οὔθ' ὑπὲρ τῆς σφῶν πατρίδος οὔθ' ὑπὲρ τῶν Χρισ-

8. ὑπὸ F, ἀπὸ P. 9. ἄνωθεν F, ἄνω P. 20. ἐπεχείρησας F, ἐπεχείρισας P. 22. sq. οὔθ' ὑπὲρ . . . θελήματος om. C.

legatos misisse, qui pacem peterent, reputans nefarios istos domi insidiatores periculum semper aliquod moliri cogitansque, quoties contra se coniuraverint et a familiaribus magis quam ab exteris hostibus se petitum esse, nec utraque manu amplius cum utroque hoste pugnandum ratus necessitate, quod aiunt, in studium versa optimum duxit, Boëmundi precibus minime reiectis cum Gallis pacem inire atque ob causas supra relatas quominus longius progrederetur desistere. quare ipse quidem ibi, ubi erat, remansit utrique resistens parti, litteris autem ad Dyrrachii ducem redditis responderi Boëmundo iubet hunc fere in modum: "nosti omnino, quoties deceptus sim tuis credens et iuramentis et verbis. nec nisi divina evangelii lex Christianis praeciperet, ut cuncta sibi mutuo ignoscerent, faciles nunc sermonibus tuis aures praeberem. sed quia falli melius est, quam deum offendere divinasque leges migrare, non repudio preces tuas. quodsi igitur revera pacem et ipse desideras perversam quam suscepisti et temerariam rem detestatus neque amplius Christianorum sanguine non patriae vestrae nec Christiano-

τιανῶν, ἀλλὰ σοῦ γε καὶ μόνου χάριν θελήματος, ἐπεὶ βραχὺ τὸ ἀναμεταξὺ ἡμῶν διάστημά ἐστιν, αὐτὸς παραγενοῦ μεθ' ὅσων ἂν βούλῃ. καὶ εἴτε τὰ σφῶν ἡμῶν θελήματα ἐς ταὐτὸν συμβαῖεν, ὡς ἡ σύμβασις ἕξει τῶν πραγμάτων, εἴτε
5 καὶ μή, καὶ οὕτως, ὡς εἴρηται, ἀβλαβὴς πρὸς τὴν ἰδίαν ἐπαναστρέψεις παρεμβολήν."

9. Ταῦτα ἀκούσας ὁ Βαϊμοῦντος ὁμήρους τῶν ἐπιφανῶν ᾐτήσατο δοθῆναί οἱ, ἐφ' ᾧ τούτους παρὰ τῶν αὐτοῦ κομήτων ἐλευθέρους ἐν τῇ ἰδίᾳ κατέχεσθαι παρεμβολῇ, μέ- B
10 χρις ἂν αὐτὸς ἐπαναστρέψῃ· ἄλλως γὰρ μὴ ἀποθαρρεῖν τὴν πρὸς τὸν αὐτοκράτορα ἔλευσιν. μεταπεμψάμενος τοίνυν ὁ βασιλεὺς τὸν Νεαπολίτην Μαρῖνον καὶ τὸν ἐπ' ἀνδρείᾳ περίκλυτον Φράγγον Ῥογέρην, ἄνδρας φρενήρεις καὶ τῶν Λατινικῶν ἐθῶν ἐν πείρᾳ καθεστηκότας πολλῇ, καὶ Κωνσταν-
15 τῖνον τὸν Εὐφορβηνόν (γενναῖος δὲ οὗτος καὶ χεῖρα καὶ γνώμην καὶ μηδέποτε κατά τι τῶν αὐτῷ παρὰ τοῦ βασιλέως ἐπιτεταγμένων διημαρτηκώς) καὶ Ἀδράλεστόν τινα τῆς Κελτικῆς γλώττης εἰδήμονα, τούτους, ὡς εἴρηται, πρὸς τὸν C Βαϊμοῦντον ἀπέστειλεν ἐπισκήψας παντοίως αὐτὸν μετελ-
20 θεῖν καὶ πεῖσαι αὐτόμολον ἀφικέσθαι πρὸς τὸν αὐτοκράτορα, ἐφ' ᾧ ἀπαγγεῖλαι ἅπερ ἂν βούλοιτο καὶ ζητοίη ἐξ αὐτοῦ· V. 317 κἂν μὲν ἀρεστὰ δόξῃ τῷ αὐτοκράτορι, ἐξ ἀνάγκης αὐτῶν

3. ἐς F, εἰς P. 5. πρὸς τὴν F, τὴν om. P. 14. ἐθνῶν C. 18. γλώττης F, γνώμης P.

rum, sed tuae solius libidinis causa effuso laetaris, age, cum haud magnum spatium inter nos intersit, ipse huc venias cum quotcumque placebit comitibus. ac sive consentientes res inter nos componemus sive id non faciemus, incolumis tamen, ut dictum est, in tua te castra recipies."

9. Quibus auditis Boëmundus obsides petiit ex numero virorum illustrium, qui liberi in suis ipsius castris in custodia tenerentur suorum comitum, dum ipse rediisset. alioquin enim umquam se ad imperatorem venturum negavit. quapropter hic vocatos ad se Marinum Neapolitanum et Rogerium Francum, fortitudinis gloria praeclarum, prudentes viros et Latinorum morum peritissimos, praeterea Constantinum Euphorbenum et manu et consilio promptissimum, qui omnia sibi ab imperatore imperata feliciter semper fecerat, et Adralestum quendam linguae Gallicae peritum ad Boëmundum misit dato illis negotio, omni ratione ut eum adirent eique persuaderent, ut ad imperatorem sese sponte conferret et ea quae vellet ab eoque peteret enuntiaret: nam ea, modo commoda essent imperatori, haud

ἐπιτεύξεσθαι, εἰ δὲ μή, ἀβλαβῆ αὖθις εἰς τὴν οἰκείαν παλινοστῆσαι παρεμβολήν. καὶ ταῦτα μὲν πρὸς ἐκείνους ὁμιλήσας ὁ βασιλεὺς ἐκεῖθεν ἀπέλυσεν· οἱ δὲ τὴν πρὸς τὸν Βαϊμοῦντον φέρουσαν ὥδευον. ὃς τὴν τούτων πυθόμενος D ἔλευσιν καὶ δεδιώς, μή τιν τοῦ στρατεύματος αὐτοῦ πτῶσιν 5 κατανοήσαντες τῷ βασιλεῖ τὰ περὶ τούτων ἀπαγγείλαιεν, ἔποχος πόρρω τῆς παρεμβολῆς αὐτοῖς ὑπήντησεν. οἱ δὲ τὰ τοῦ αὐτοκράτορος πρὸς αὐτὸν ἀπεστομάτισαν ὡς "οὐκ ἐπιλέλησται πάντως ὁ βασιλεύς, φησι, τῶν ὑποσχέσεων καὶ τῶν ὅρκων, ὧν ἐποιήσω οὐ σὺ μόνον, ἀλλὰ καὶ πάντες οἱ 10 τότε διεληλυθότες κόμητες. καὶ ὁρᾷς πάντως, ὡς οὐκ εἰς καλὸν τὰ τῆς παραβάσεως τῶν ὅρκων ἐκείνων ἀπέβη σοι." τούτων ὁ Βαϊμοῦντος ἀκούσας "ἅλις" ἔφη "τῶν τοιούτων λόγων. εἰ δέ τι ἕτερον παρὰ τοῦ βασιλέως διεμηνύθη μοι, τοῦτο μαθεῖν ἐθέλω." καὶ οἱ πρέσβεις πρὸς αὐτόν "ὁ βα- 15 σιλεὺς τὴν σήν τε καὶ τοῦ ὑπὸ σὲ στρατεύματος σωτηρίαν P. 401 βουλόμενος ταῦτά σοι δι' ἡμῶν ἀποφθέγγεται. οἶσθα πάντως, ὅτι πολλὰ μογήσας οὔτε τὴν πόλιν Δυρραχίου κατασχεῖν οἷός τε γέγονας οὔτε σαυτῷ καὶ τοῖς ὑπὸ σὲ ἀγαθόν τι προσενήνοχας. εἰ γοῦν μὴ παντελῆ ἀπώλειαν ἑαυτοῦ τε 20 καὶ τοῦ ὑπὸ σὲ λαοῦ βούλει πραγματεύσασθαι, ἴθι πρὸς τὴν βασιλείαν μου ἀδεῶς ἀποκαλύψας ἅπαν τὸ σοὶ βουλη-

6. ἀπαγγείλαιεν scripsi: ἀπαγγείλοιεν F, ἀπαγγέλοιεν P. 7. ὑπήντησεν F, ἀπήντησεν P. 9. φησὶ F, φησὶν P. 18. τὴν πόλιν FC, πόλιν om. P. 22. πρὸς τὴν F, τὴν om. P.

dubie eum assecuturum, sin minus, incolumem in sua ipsius castra rediturum. quod ubi cum illis imperator communicavit, eos dimisit. illi vero viam ad Boëmundum ferentem inierunt. hic venire ad se eos certior factus ac veritus, ne cognitam exercitus miseriam imperatori renuntiarent, equo conscenso obviam iis longe a castris factus est. qui imperatoris ad eum verba hunc in modum tradiderunt: "minime imperator oblitum se esse dicit promissa iuramentaque illa, quibus non tu solum, sed omnes etiam, qui tunc transiere comites, vos ipsi obstrinxeritis. ac plane intellegis, minime tibi bene cessisse periuria." haec ut audivit Boëmundus "Iam satis est" inquit "talium verborum; sed, si quid aliud mihi ab imperatore affertis, scire id cupiam". cui legati "Haec tibi" inquiunt "tuae tuique exercitus saluti consulens imperator per nos denuntiat: scis utique, te nec Dyrrachium, etsi multa tuleris, occupare potuisse nec tibi tuorumve cuipiam commodum ullum paravisse. nisi igitur summum et tuum et tui exercitus vis exitium moliri, accedas ad maiestatem meam et

τὸν καὶ ἀκουσόμενος αὖθις τὰ ἡμῖν δοκοῦντα. καὶ εἰ μὲν ἐς ταὐτὸν αἱ ἀμφοτέρων γνῶμαι ξυνδράμοιεν, Θεῷ χάρις· εἰ δ' οὖν, ἀσινῆ σε αὖθις πρὸς τὴν οἰκείαν ἐκπέμψω παρεμβολήν. ἀλλὰ καὶ ὅσοι τῶν ὑπὸ σὲ πρὸς τὴν τοῦ
5 ἁγίου τάφου προσκύνησιν ἀπιέναι βουλήσονται, διασωθήσονται παρ' ἐμοῦ· ὅσοι δὲ τὴν πρὸς τὴν χώραν αὐτῶν B ἀναχώρησιν ἕλωνται, δαψιλῶν τῶν ἐξ ἐμοῦ δωρεῶν ἀπολαύσαντες πρὸς τὰ οἴκοι ἀπολυθήσονται." καὶ ὃς πρὸς αὐτούς "νῦν ἔγνων ὄντως, παρὰ τοῦ βασιλέως σταλῆναι ἄνδρας
10 ἱκανοὺς εἰπεῖν τε λόγον καὶ δέξασθαι. αἰτῶ γοῦν ἀφ' ὑμῶν πληροφορίαν λαβεῖν εἰς τὸ παντελές, μὴ ἀτίμως ὑποδεχθῆναι παρὰ τοῦ αὐτοκράτορος, ἀλλὰ πρὸ ἓξ σταδίων τοὺς γνησιωτάτους τῶν καθ' αἷμα προσῳκειωμένων αὐτῷ τὴν ἐμὴν ποιήσασθαι προϋπάντησιν, περὶ δὲ τὴν βασιλικὴν
15 σκηνὴν πελάσαντα ἅμα τῷ τὰς πύλας εἰσιέναι καὶ αὐτὸν τῆς βασιλικῆς ἐξαναστάντα περιωπῆς ἐντίμως με ὑποδέξασθαι C καὶ μηδ' ἡντιναοῦν ἀναφορὰν τῶν προγεγονυιῶν συμφωνιῶν γεγονέναι μοι ἢ ὅλως εἰς κρίσιν ἀγαγέσθαι με, ἀλλ' ἐλεύθερον ἄδειαν σχόντα κατὰ τὸ ἐμοὶ βουλητὸν εἰπεῖν ὁπόσα
20 καὶ βούλομαι· πρὸς δὲ τούτοις καὶ τὸν βασιλέα τῆς ἐμῆς κρατῆσαι χειρὸς καὶ πρὸς τῇ κεφαλῇ τῆς κλίνης αὐτοῦ παραστῆσαί με καὶ μετὰ δύο χλαμύδων τὴν εἴσοδον ποιησά-

3. οὖν F, οὐ P. ἐκπέμψω F, πέμψω P. 5. διασωθήσονται F, διεσωθήσονται P, διασωθήσεται C. 10. αἰτῶ F, αὐτῷ P. ἀφ' F, παρ' P. 17. οἱαντιναοῦν C. 19. σχόντα F, ἐχόντα P, ἔχοντα C.

quidquid cupis exponas auditurus quid mihi videatur. ac si unum uterque sentit probatque, deo gratias; sin minus, incolumem te in castra tua remittam. tuorum vero quicumque ad sanctum sepulcrum venerandum discedere cupient, a me sustentabuntur; quotquot autem patriam repetere malent, amplis a me donis aucti domum revertentur." ad quae Boëmundus "Nunc vero" inquit "intellego missos ad me esse ab imperatore viros idoneos ad rationes reddendas recipiendasque. fidem igitur plenam mihi a vobis dari volo, minime contemptim me ab imperatore iri exceptum, sed ultra sex stadia obviam mihi familiarissimos ipsius consanguineorum ad me prosequendum prodituros esse; ubi autem accessero ad regium tabernaculum ac portas eius ero ingressurus, ipsum e regio solio surrecturum et honorifice me suscepturum nulla omnino facta mentione eorum quae olim inter nos pepigerimus: neve a me rationem exigat, verum me liberum atque plane securum, quaecumque libuerit, loqui sinat. ad haec spondeatis velim, imperatorem manu me prehensurum et ad caput lecti sui locum mihi daturum concessurumque, ut cum

μενον μηδ' ὅλως εἰς προςκύνησιν κάμψαι γόνυ ἢ τράχηλον
τῷ αὐτοκράτορι." τούτων ἀκούσαντες οἱ ἀνωτέρω δηλω-
θέντες πρέσβεις τὸ μὲν ἐξαναστῆναι τοῦ βασιλικοῦ θρόνου
D αὐτὸν οὐ προσεδέξαντο, ἀλλὰ καὶ ὡς περιττὴν τὴν αἴτησιν
ἀπεπέμψαντο· οὐ μόνον δὲ τοῦτο ἀπεδοκίμασαν, ἀλλὰ καὶ 5
τὸ μὴ κλῖναι γόνυ μήτε τράχηλον εἰς προσκύνησιν τῷ βα-
V. 318 σιλεῖ. πρὸς δὲ τὸ τινὰς τῶν πορρωτέρω συγγενῶν αὐτοῦ
μεταβῆναι διάστημα ἱκανὸν καὶ οὕτως τοῦτον προσδέξασθαι
πρὸς τὸν βασιλέα εἰσελευσόμενον χάριν οἰκονομίας καὶ θε-
ραπείας τῆς πρὸς αὐτὸν καὶ πρὸς τὸ σὺν δυσὶ χλαμύσιν 10
εἰσελθεῖν, ἀλλὰ δὴ καὶ τὸ τῆς χειρὸς τούτου τὸν βασιλέα
ἐφάψασθαι καὶ στῆσαι πρὸς τῷ ἄνωθεν μέρει τοῦ βασιλι-
κοῦ σκίμποδος οὐκ ἀπεπέμψαντο. μετὰ τὸ ταῦτα ῥηθῆναι
διέστησαν οἱ πρέσβεις ἀπελθόντες, ἔνθα ἡτοίμαστο ἡ τού-
των ἀνάπαυσις, φυλαττόμενοι ὑπὸ σεργεντίων ἑκατόν, ἵνα 15
μὴ νυκτὸς ἐξεληλυθότες τὰ περὶ τὸ στράτευμα κατασκοπή-
P. 402 σαιεν καὶ οὕτω καταφρονητικώτερον πρὸς αὐτὸν διατεθή-
σονται. τῇ δὲ μετ' αὐτὴν μεθ' ἱππέων τριακοσίων καὶ τῶν
κομήτων πάντων κατέλαβεν, οὗ τοῖς δηλωθεῖσιν ἀνδράσι
τῇ προτεραίᾳ ὡμίλησε, κᾀθ' οὕτως τοὺς ἐκκρίτους ἓξ τὸν 20
ἀριθμὸν συμπαραλαβὼν ἄπεισι πρὸς τοὺς πρέσβεις τοὺς ὑπο-
λοίπους αὐτοῦ που καταλιπὼν ἀπεκδέχεσθαι αὐτὸν ἐκεῖθεν

19. οὗ τοῖς FC, οὕτοις P. δηλωθεῖσιν F, δηλωθεῖσι P.

duobus militibus eum adiens nec genu imperatoris venerandi causa nec collum flectam." quibus auditis legati, quos supra memoravimus, assurgendum esse illi e regio solio minime agnoscebant superbasque eius preces repudiabant. neque hoc solum denegaverunt, sed etiam id, quod sibi petebat, ut imperatoris venerandi causa nec genu nec collum flecteret. cetera haud perinde abnegarunt, videlicet cognatorum nonnullos, sed non qui maxime propinqui essent imperatori, aliquantum spatii prodeuntes exceptum illum ad imperatorem adducturos curae honorisque causa, porro ipsum cum duobus eum militibus aditurum, manu denique ab imperatore prehensum iri atque fore ut ei ad superiorem lecti regii partem stare liceret. his dictis discesserunt legati eoque abierunt, ubi paratum iis hospitium erat attributa centum satellitum custodia, ne noctu egressi exercitum specularentur Boëmundumque contemptius haberent. postridie ille cum equitibus trecentis cunctisque comitibus in eum progressus locum, ubi pridie cum illis viris convenerat, relictis illic ceteris iussisque se redeuntem opperiri cum electis sex ad legatos abit. ibi resumpta pri-

ἐπανελθόντα. περὶ γοῦν τῶν προλεχθέντων αὖθις διασκεπτομένων, ἐπεὶ ὁ Βαϊμοῦντος ἐνίστατο, κόμης τις τῶν λίαν ὑψηλῶν Οὖβος τὴν κλῆσιν πρὸς τὸν Βαϊμοῦντον ἔφη ὡς "οὐδεὶς ἀφ' ἡμῶν τῶν μελλόντων μετὰ τοῦ βασιλέως συνάψαι 5 τὸν πόλεμον οὔπω ἔπληξέ τινα διὰ δόρατος. ἔα τοίνυν τὰ B πολλά· τὴν εἰρήνην τῆς μάχης ἀλλάξασθαι χρή." λόγων οὖν πολλῶν ἐξ ἑκατέρων κινηθέντων, βαρέως ὁ Βαϊμοῦντος εἶχεν ὑβριοπαθῶν, εἰ μὴ πάντα γένοιντο ὁπόσα φθάσας ἐπεζήτει τοὺς πρέσβεις. τῶν δ' ἐπί τισι συγκατατιθεμένων, ἐφ' ὧν 10 δὲ ἀνανευόντων, πείθεται ὁ Βαϊμοῦντος καὶ τὴν ἀνάγκην, ὅ φασι, φιλοτιμίαν ποιησάμενος ὅρκον ἐξ αὐτῶν ἐζήτει, ὥστε ἐντίμως ὑποδεχθῆναι καὶ εἰ μὴ τοῖς θελήμασιν αὐτοῦ ὁ αὐτοκράτωρ ἀνανεύσειεν, ἀσινὴς πρὸς τὴν ἰδίαν ἐκπεμφθῆναι παρεμβολήν. τῶν οὖν ἁγίων εὐαγγελίων προτεθέντων ὁμή-15 ρους ἐζήτει παραδοθῆναι τῷ ἀδελφῷ αὐτοῦ Γίδῳ καὶ φυ- C λάττεσθαι παρ' αὐτοῦ μέχρις οὗ αὐτὸς ὑποστρέψῃ. οἱ δὲ πρέσβεις πρὸς τοῦτο κατανεύσαντες ὅρκους αὖθις ὑπὲρ τῆς τῶν ὁμήρων ἀσφαλείας καὶ αὐτοὶ ἀντεπεζήτουν. κατανενευκὼς δὲ πρὸς τοῦτο ὁ Βαϊμοῦντος καὶ ὅρκους δοὺς καὶ λα-20 βὼν τοὺς μὲν ὁμήρους, τόν τε Σεβαστὸν Μαρῖνον καὶ τὸν καλούμενον Ἀδράλεστον καὶ τὸν Φράγγον Ῥογέρην, παραδί-

6. ἀντιλέξασθαι C. 9. δὲ F. 16. ὑποστρέψῃ F, ὑποστρέψαι P. 17. πρὸς F, εἰς P. αὖθις F, ἂν P. ὑπὲρ τῆς τῶν ὁμήρων ἀσφαλείας καὶ αὐτοὶ F, καὶ αὐτοὶ ὑπὲρ τῆς τῶν ὁμήρων ἀσφαλείας P. 21. Φράγγον Ῥογέρην om. F spatio octo litterarum relicto. ῥογέριον A.

ori disceptatione, cum Boëmundus instaret, comes quidam ex praestantissimis, cui Ubus nomen fuit, sic Boëmundum alloquitur: "nemo adhuc nostrum, qui huc cum imperatore proeliaturi veneramus, quemquam hasta percussit. omitte ista tot verba; pax proelio mutanda est." tum multa est sermonum altercatio exorta aegre ferente Boëmundo et contumeliae loco ducente, si non omnia, quae petierat a legatis, fierent. quibus quaedam concedentibus, reliqua vero denegantibus Boëmundus necessitate, ut dici solet, in studium versa postulavit ut iurarent se honorifice exceptum iri et si imperator quae vellet concedere recusaret, incolumem in castra sua dimissum iri. sanctis igitur evangeliis propositis obsides Gido fratri tradi custodirique ab eo ad suum usque reditum iussit. quae legati approbantes et ipsi ad iusiurandum de obsidum incolumitate eum vicissim adegerunt; quod Boëmundus iis praestitit. datis igitur acceptisque iuramentis Sebastum Marinum, Adralestum qui vocabatur et Rogerium Francum obsides

δωσι τῷ ἀδελφῷ αὐτοῦ Γίδῳ, ἵν' ὁπηνίκα ἢ μετὰ τοῦ βασιλέως εἰρηνικὰς σπονδὰς ποιήσειεν ἢ εἰ μὴ τοῦτο, ἀβλαβεῖς ἐκεῖθεν κατὰ τοὺς ὅρκους αὐτοὺς πρὸς τὸν αὐτοκράτορα ἐξαποστείλῃ.

10. Μέλλων τοίνυν τῆς πρὸς τὸν βασιλέα μετὰ τοῦ 5 D Εὐφορβηνοῦ Κωνσταντίνου τοῦ Καταχαλὼν φερούσης ἅψασθαι, ἐπεὶ δυσωδία πολλὴ διὰ τὸ περὶ τὸν αὐτὸν τόπον καιρὸν ἱκανὸν τὸ ὑπ' αὐτὸν στράτευμα χρονοτριβῆσαι γέγονε, βουλόμενος μεταθεῖναι τὸ στράτευμα μηδὲ τοῦτ' ἄνευ τῆς αὐτῶν βουλῆς ἐθέλειν γενέσθαι ἔλεγε. τοιοῦτον γὰρ τὸ 10 Κελτῶν γένος ἀνώμαλον καὶ ἐφ' ἑκάτερα ἐν ὀξείᾳ καιροῦ ῥοπῇ μεταφερόμενον· καὶ ἔστιν ἰδεῖν τὸν αὐτὸν καὶ ἕνα ποτὲ μὲν αὐχοῦντα τὴν γῆν κλονήσειν ἅπασαν, ποτὲ δὲ ὑποπεπτωκότα καὶ μέχρι κονίας αὐτῆς καταγόμενον καὶ μᾶλλον, ὁπηνίκα στερροτέροις ἐντύχοι φρονήμασιν. οἱ δὲ πλείω τῶν 15 δύο καὶ δέκα σταδίων οὐ συνεχώρουν μετατεθῆναι τὸ στράP. 403 τευμα καὶ "εἰ τοῦτο βούλει," πρὸς τὸν Βαϊμοῦντον ἔλεγον "συνελευσόμεθα καὶ ἡμεῖς ὀψόμενοι τὸν τόπον". κατανεύV. 319 σαντος δὲ καὶ πρὸς τοῦτο τοῦ Βαϊμούντου, παραχρῆμα διὰ γραμμάτων τοῖς τὰς κλεισούρας φυλάσσουσιν ἐδήλωσαν, ὥστε 20 μὴ ἐκδρομὰς ποιουμένους καταβλάπτειν αὐτούς. ὁ δὲ Εὐφορβηνὸς Κωνσταντῖνος ὁ Καταχαλὼν ᾐτεῖτο αὖθις τὸν Βαϊ-

8. γέγονε F, γέγονεν P. 9. τοῦτ' F, τοῦτο P. 10. αὐτοῦ C. ἔλεγε F, ἔλεγεν P. 11. Κελτῶν F, Κελτικὸν P. 15. στερροτέροις F, στεροτέροις P. 16. μετατεθεῖναι F, μεταθεῖναι P. 20. φυλάσσουσιν F, φυλάττουσιν P.

Gido fratri tradidit ea condicione, ut, sive cum imperatore pacem conciliaret sive minus, illaesos ex iureiurando imperatori remitteret.

10. Antequam vero iter ad imperatorem una cum Euphorbeno Constantino Catacalone capesseret, castra diuturna in eodem loco commoratione fetidissima transferre cupiens ne id quidem se sine illorum consilio facturum esse affirmavit. est enim Gallorum natura tam inaequalis et uno temporis puncto utrimque mutabilis, ut qui modo terram se unum iactabat concussurum universam, idem mox plane demissus animo et ad pulverem, ut aiunt, deiectus sit, praesertim cum in fortioris animi viros inciderit. illi igitur ultra stadia duodecim traduci exercitum non permittunt et Boëmundo "nos quoque," inquiunt "sis, comites erimus locumque inspiciemus." Boëmundo etiam id concedente, illi datis confestim ad custodes claustrorum litteris interdixerunt, ne qua eruptione Gallos infestarent. tum Euphorbenus Constantinus Catacalo petita impetrataque a Boë-

μοῦντον, παραχωρηθῆναί οἱ τὴν εἰς τὸ Δυρράχιον ἀπέλευσιν. κατανεύσαντος δὲ τοῦ Βαϊμούντου, γοργῶς τὸ Δυρράχιον ὁ Καταχαλὼν καταλαμβάνει καὶ τὸν φυλάσσοντα τὴν πόλιν Ἀλέξιον τὸν υἱὸν Ἰσαακίου τοῦ σεβαστοκράτορος ἀναζητήσας 5 ἀπήγγειλε τὰ παρὰ τοῦ αὐτοκράτορος διαμηνυθέντα πρὸς B αὐτόν τε καὶ τοὺς συγκατελθόντας μετ' αὐτοῦ λογάδας τῶν στρατιωτῶν. καὶ γὰρ οὐκ ἠδύναντο τοῦ τείχους προκύπτειν διὰ τὴν γεγενημένην ἄνωθεν παρὰ τὰ κρήδεμνα τοῦ Δυρραχίου μηχανὴν τοῦ αὐτοκράτορος. σανίδες γάρ τινες περὶ 10 τὰς ἐπάλξεις τοῦ κάστρου εὐμηχάνως ἐτέθησαν ἐπὶ τούτῳ αὐτῷ κατασκευασθεῖσαι ἀνήλωτοι, ὥστε τοὺς ἴσως ἀπὸ τῶν Λατίνων διὰ κλιμάκων ἀναρριχᾶσθαι πειρωμένους, ἐπὰν τῶν ἐπάλξεων ἐπιβαῖεν, μὴ ἐστηριγμένους ἵστασθαι, ἀλλὰ σὺν αὐταῖς σανίσι διολισθαίνειν τηνικαῦτα καὶ πίπτειν ἐντός, 15 καθά γε καὶ εἴρηται. τούτοις οὖν ὁμιλήσας ὁ Εὐφορβηνὸς καὶ τὰ τοῦ βασιλέως μηνύματα ἀπαγγείλας καὶ θάρσους ἐμπλήσας αὐτοὺς ἐρωτήσας τε τὰ περὶ τοῦ κάστρου καὶ C διαγνοὺς τὰ κατ' αὐτοὺς ἀρίστης τετυχηκέναι οἰκονομίας, ὡς τῶν πρὸς χρείαν αὐτάρκως ἔχοντας καὶ παρ' οὐδὲν τὰς τοῦ 20 Βαϊμούντου λογιζομένους μηχανάς, καταλαμβάνει τὸν Βαϊμοῦντον τὴν ταφρείαν, ἔνθα προεῖπε, ποιησάμενον. καὶ ἑνωθεὶς αὐτῷ τῆς πρὸς τὸν βασιλέα φερούσης εἴχετο. οἱ δ' ἐπίλοιποι τῶν πρέσβεων κατὰ τὰ προϋπεσχημένα μετὰ τῶν Γίδου κατελείφθησαν. Μανουὴλ δὲ τὸν Μοδηνὸν πισ-

1. οἱ om. F. 23. δ' F, δὲ P.

mundo venia ingrediendi Dyrrachii statim illuc festinavit aditoque urbis praefecto Alexio Isaacii sebastocratoris filio, quid ipsi militumque ducibus simul missis imperator denuntiasset, exposuit. etenim propter machinam, quam omnibus Dyrrachii pinnis imperator imponendam curaverat, nemo e moenibus despectare poterat. erant enim tabulae moenium propugnaculis affabre additae nulloque affixae clavo ita ut, si quando Latini scalis eniti conarentur et iam muros ascendissent, ibi stare non possent, sed cum ipsis tabulis lapsantes in urbem, ut dictum est, deciderent. Euphorbenus igitur Dyrrachenos adiens mandata imperatoris exposuit; cumque iis optimum addidisset animum, inquisivit in castelli condicionem, et ut summa providentia apud eos omnia fuisse administrata intellexit ipsosque omnibus, quae opus essent, abundare ac plane nihili ducere Boëmundi machinas, ad hunc rediit, qui iam castra transtulerat eum in locum, quem praedixerat. cui se adiungens ad imperatorem proficiscitur ceteris legatis, prout erat constitutum, in Gidi potestate relictis. Manuelem autem Modenum, famu-

τότατόν τε καὶ εὐνούστατον τῶν αὐτοῦ θεραπόντων ὑπάρχοντα προαποστέλλει πρὸς τὸν βασιλέα τὴν πρὸς αὐτὸν τοῦ Βαϊμούντου ἀπαγγέλλοντα ἔλευσιν. ἐπεὶ δὲ ἀγχοῦ τῆς βασιλικῆς ἐγεγόνει σκηνῆς, παρεσκεύαστο καὶ τὰ τῆς αὐτοῦ
D ὑπαντῆς, καθὼς οἱ πρέσβεις τούτῳ συνέθεντο. εἰσελθόντος 5
δὲ τούτου, ἐκτείνας τὴν χεῖρα ὁ βασιλεὺς καὶ τῆς ἐκείνου ἀψάμενος χειρὸς καὶ τὴν συνήθη τοῖς βασιλεῦσι προσαγόρευσιν ποιησάμενος ἐγγὺς τοῦ βασιλικοῦ παρεστήσατο θρόνου. ἦν δὲ τοιοῦτος ὁ ἀνὴρ οἷος, ὡς ἐν βραχεῖ μὲν εἰπεῖν, οὐδεὶς κατ' ἐκεῖνον ὤφθη ἐν τῇ τῶν Ῥωμαίων γῇ οὔτε βάρ- 10
βαρος οὔτε Ἕλλην (θάμβος γὰρ ἦν ὀφθαλμῶν ὁρώμενος καὶ φημιζόμενος ἔκπληξις), κατὰ μέρος δὲ ὑπογράψαι τὸ τοῦ βαρβάρου εἶδος, τοιῶσδε μακρὸς ἦν τὴν ἀναδρομὴν τοῦ σώ-
P. 404 ματος, ὥστε εἰς πῆχυν ἕνα μικροῦ τοὺς μακροτάτους ὑπερελαύνειν, τὴν γαστέρα συνεσταλμένος καὶ τὰς λαγόνας καὶ 15
τοὺς ὤμους εὐρὺς καὶ τὰ στέρνα πλατὺς καὶ τοὺς βραχίονας καρτερὸς καὶ τὴν ὅλην ἕξιν τοῦ σώματος οὔτε περιεπτισμένος οὔτε περιβριθόμενος ταῖς σαρξίν, ἀλλ' ὡς ἄριστα κεκραμένος καὶ οἷον εἰπεῖν κατὰ τὸν Πολυκλείτειον κανόνα ἐνηρμοσμένος· τὰς χεῖρας ἁδρὸς καὶ τῶν ποδῶν τὰς βάσεις 20
στερρὸς καὶ τὸν αὐχένα καὶ τὰ μετάφρενα εὐπαγής. ὑποκεκυφὼς δὲ μετρίως τῷ ἀκριβῶς αὐτὸν περιεργαζομένῳ

5 sq. ἐλθόντος δὲ μετὰ δύο χλαμύδων, καθὼς καὶ τοῦτο ᾐτήσατο, ἐκτείνας A. 8. ποιήσας A. 9. ὡς ἐν F, ἐν om. P. 13. τοιῶσδε scripsi: τοιόσδε P. 15. τὰς C, τοὺς P. 17. καρτερὸς F, κρατερός P. περιεσφιγμένος sic C. 18. τῇ σαρκί C. 21. στερρός F, στερός P.

lum sibi omnium deditissimum fidissimumque, ad imperatorem praemisit, qui Boëmundi adventum nuntiaret. is cum prope regium tabernaculum venisset, parata invenit omnia illa, quibus ut exciperetur ipsi cum legatis convenerat. ubi vero ingressus est, Augustus extensa manu eius manum prehendit eaque ratione eum salutavit, qua salutare imperatores solent, et ut ad regium solium consisteret, eum invitavit. talis fuit vir, qualem, ut iam nunc breviter dicam, nullum illo tempore neque barbarum neque Graecum Romanorum terra parem vidit. nam mirum erat oculorum spectaculum famaque eius omnes percellebat. sed, ut accuratius per singula barbari figuram describam, tam alta fuit statura ut procerissimos uno paene cubito superaret, ventrem et ilia contractior, latus humeros, spatioso pectore, lacertosus totoque corporis habitu nec strigoso nec carnibus tumente, sed optime moderato et ut ita dicam ad Polycleti regulam formato, vigentibus manibus, gressu valido; cervicis denique ac dorsi apta compages; sed si quis curiosius attendebat, inclinari in

ἐφαίνετο οὐ τῶν νωτιαίων σπονδύλων τι πεπονθότων τῆς ῥάχεως, ἀλλ' οὕτω μετρίως ἐκ γενετῆς, ὡς ἔοικε, τὴν διά- B
πλασιν ἔσχηκε. τὸ χρῶμα κατὰ τὸ ἄλλο μὲν σῶμα λευκότατον, τὸ δὲ πρόσωπον μετὰ τοῦ λευκοῦ ἐπυρσοῦτο. καὶ ἡ
5 κόμη ὑπόξανθος, ἀλλ' οὐ μὲν οὖν μέχρι τῶν μεταφρένων αἰωρουμένη κατὰ τοὺς ἄλλους βαρβάρους· οὐ γὰρ ἐτριχο- V. 320
μάνει ὁ ἀνήρ, ἀλλὰ κουρίας ἦν μέχρι τῶν ὤτων. τὸ δὲ γένειον εἴτε πυρσὸν εἴτε ἄλλο τι χρῶμα εἶχεν, οὐκ ἔχω λέγειν· ὁ ξυρὸς γὰρ ἐπεξῆλθεν αὐτὸ καὶ τιτάνου παντὸς ἀκρι-
10 βέστερον· ἐδόκει δ' οὖν εἶναι καὶ τοῦτο πυρσόν. τὸ βλέμμα γλαυκὸν καὶ ἅμα θυμὸν καὶ ἐμβρίθειαν ὑποσημαῖνον· καὶ ἡ ῥὶς αὐτῷ καὶ ὁ μυκτὴρ ἐλεύθερον ἔπνει τὸν ἀέρα· συνηγόρει δὲ τῷ μυκτῆρι διὰ τῶν στέρνων καὶ διὰ τοῦ μυκτῆρος τὴν τῶν στέρνων εὐρύτητα. ἡ γὰρ φύσις διεξόδους ἐδεδώκει C
15 διὰ τῶν ῥινῶν τοῦ ἀπὸ τῆς καρδίας παφλάζοντος πνεύματος. ἡδὺ δέ τι καὶ ἐνεφαίνετο τῷ ἀνδρὶ τούτῳ, ἀλλὰ τοῖς ἁπανταχόθεν φοβεροῖς ὑπεθραύετο. ὅλος γὰρ δι' ὅλου τοῦ σώματος ἀμείλικτος ἦν καὶ θηριώδης ὁ ἄνθρωπος ἀπὸ τοῦ μεγέθους, ἀπὸ τοῦ βλέμματος, δοκεῖ μοι, καὶ ὁ γέλως αὐτοῦ
20 τοῖς ἄλλοις ἐμβρίμημα ἦν. οὕτως εἶχε ψυχῆς τε καὶ σώματος, ὡς καὶ τὸν θυμὸν ἐν τούτῳ κορύσσεσθαι καὶ τὸν ἔρωτα καὶ ἀμφοτέρους ὁρᾶν πρὸς πόλεμον. τὸ δὲ φρόνημα

3. κατὰ scripsi: καὶ P. 9. γὰρ] γοῦν C. 14. ἐδεδώκει F, ἐδεδόκει P. 18 sq. ἀπό τε μεγέθους ἀπό τε βλέμματος?

pronum videbatur, non quo vertebrae aut spina dorsi laesae essent, sed, ut probabile fuit, quod inde ab infantia aliquantum in istum habitum declinabat. color reliquo corpore candidissimus; in facie candidus color cum rubicundo mixtus. capilli subflavi, non ceterorum barbarorum more in humeros demissi; ab isto enim insano comae studio alienus ad aures usque tonsus erat. barba rutili aliusne coloris fuerit, dicere non possum. etenim barba novaculae acie ad cutem rasa superficiem ille habebat gypso leviorem; quamquam et haec rufa fuisse videbatur. glauci oculi, irae et gravitatis vim prodentes; nasus naresque liberam spiritu animam ducebant; nasum vero pectore adiuvabat et latum rursus pectus naribus. natura enim per nares exitum fecit effervescentis e corde aeris. emicabat vero suave quiddam ex universa huius viri specie, sed terroribus undecumque erumpentibus frangebatur. etenim totus totius corporis status ferum habebat aliquod mea quidem sententia et inexorabile, sive magnitudinem sive vultum spectas; atque risus eius aliorum fremitui simillimus fuit. tali erat mente et corpore, ut et ira et amor in ipso arma gereret et ad bellum spectaret. ingenium eius

αὐτῷ παντοδαπὸν καὶ πανοῦργον καὶ πρὸς ἅπασαν λαβὴν
D διαδιδράσκον. αἱ γὰρ ὁμιλίαι τούτῳ ἀκριβεῖς καὶ τὰς ἀποκρίσεις ἐδίδου πανταχόθεν ἀπεριδράκτους. καὶ τοιοῦτος ὢν καὶ τοσοῦτος μόνῳ τῷ αὐτοκράτορι ἁλώσιμος ἦν καὶ
P. 405 τύχῃ καὶ λόγοις καὶ τοῖς ἄλλοις τοῖς ἀπὸ τῆς φύσεως 5 πλεονεκτήμασιν.

11. Ἀναμνήσας οὖν ὁ αὐτοκράτωρ αὐτὸν τῶν προτέρων ἐπιτροχάδην καὶ συνεσκιασμένως πως αὐτῷ παραστήσας ἑτέραν λόγου περίοδον ἐποιήσατο. ὁ δὲ τὴν ἰδίαν συνείδησιν ἔχων ἐλέγχουσαν ἐπιτηδείως τὰς πρὸς τοὺς λόγους αὐ- 10 τοῦ ἐξέφυγεν ἀνθυποφορὰς τοῦτο μόνον φάμενος ὡς "οὐχὶ περὶ τῶν τοιούτων ἀνακρίνεσθαι ἐλήλυθα. εἶχον γὰρ ἂν καὶ αὐτὸς πολλὰ λέγειν. τοῦ Θεοῦ δὲ ἐνταυθοῖ με συνελάσαντος πάντα τοῦ λοιποῦ τῷ σῷ ἀνατίθημι κράτει." ὁ δὲ
B βασιλεὺς πρὸς αὐτόν "τὰ μὲν παρεληλυθότα ἐατέον τὸ νῦν, 15 σὲ δέ, εἰ βούλει σπείσασθαι μεθ' ἡμῶν, πρῶτον μὲν ἕνα τῶν ὑπὸ τὸ ἐμὸν κράτος χρὴ γενέσθαι, εἶτα δηλῶσαι περὶ αὐτοῦ τε τούτου τῷ σῷ ἀνεψιῷ Ταγγρὲ ἐπισκῆψαί τε αὐτῷ, τοῖς ἐξ ἐμοῦ ἀποσταλεῖσι παραδοῦναι τὴν Ἀντιόχειαν κατὰ τὰς γεγονυίας ἐξ ἀρχῆς συμφωνίας ἡμῶν, εἶτα καὶ τἆλλα 20 πάντα ὅσα τότε συμπεφώνηται ἡμῖν τηρῆσαί σε νῦν τε καὶ

1. ἅπασαν F, ἅπαντα P. 5. ἀπὸ τῆς F, τῆς om. P. 11. ἐξέφυγεν FA, ἐξέφυρεν P. 13. αὐτὸς FA, πρὸς αὐτὰ C. 16. σὲ F, σὺ PA. ἕνα σε A. 17. τὸ FA, τὸν P. χρὴ σὲ P, σὲ om. FA. 20. ἐξ ἀρχῆς FA, ἐξαρχὴν P. ἡμῶν AC, ἡμῖν P. 21. ὅσα τότε F, τότε om. P. τηρῆσαί σε F, σε om. P.

multiplex fuit et versutum atque ne ullam ansam praeberet, providens, sermones eius accurati responsaque maxime circumspecta. talis ac tantus vir uno imperatore cum fortuna et eloquentia tum ceteris naturae dotibus inferior erat.

11. Imperator igitur obiter et obscure memoria praeteritorum revocata eum urgebat diversumque sermonis iter tenuit. at ille conscientia culpae turbatus sedulo cavit, ne quid ad sermones eius referret, hoc tantum affirmans, minime advenisse se istis de rebus responsurum; nam et ipsum multa habere, de quibus diceret: tamen deo huc ipsum ducente maiestati eius in futurum omnia se permittere. cui imperator "Vetera" inquit "nunc sane mittamus; te vero, si nobiscum in amicitiam convenire vis, primum omnium subicere te nostro imperio oportet eiusque ipsius rei consobrinum tuum Tancredum certiorem facere eidemque praecipere, ut ex pacto inde ab initio facto Antiochiam iis, quos misero, tradat; tum cetera omnia, quae inter nos

μετέπειτα". ταῦτα τοῦ βασιλέως καὶ ἄλλα πλείω πρὸς αὐτὸν εἰπόντος τε καὶ ἀκούσαντος, ἐπεὶ ὁ αὐτὸς ἐκεῖνος ἦν Βαϊμοῦντος καὶ οὐκ ἠλλοίωτο, ἔφη "ἀδυνάτως ἔχω τὴν τοιαύτην ὑπόσχεσιν ποιήσασθαι" καὶ δι' ἄλλα τινὰ παρὰ τοῦ βασι- C
5 λέως ἀπαιτούμενα ᾐτεῖτο τὴν πρὸς τὸ ἴδιον στράτευμα ἐπανάζευξιν κατὰ τὴν γενομένην συμφωνίαν παρὰ τῶν πρέσβεων. ὁ δὲ βασιλεὺς φησι πρὸς αὐτὸν ὅτι "κρείττονα ἐμοῦ οὐκ ἔχω τὸν μετὰ ἀσφαλείας σε διασώσοντα". καὶ ἅμα τῷ λόγῳ τοῖς ἡγεμόσι παρρησίᾳ ἐπέταττε τοῦ στρα- V. 321
10 τεύματος, ἑτοιμάσαι τοὺς ἵππους αὐτῶν, ἐφ' ᾧ τῆς πρὸς τὸ Δυρράχιον φερούσης ἅψασθαι. τοῦτο ὁ Βαϊμοῦντος ἀκούσας ἐξελθὼν ἐπὶ τῷ πρὸς τὴν ἀποτεταγμένην αὐτῷ ἀπιέναι σκηνὴν τὸν ἐμὸν Καίσαρα Νικηφόρον τὸν Βρυέννιον τῷ τοῦ πανυπερσεβάστου τότε τετιμημένον ἀξιώματι ἐζήτει D
15 θεάσασθαι. ὁ δὲ ἐξελθὼν καὶ πᾶσαν πειθὼ λόγων κινήσας, ὁποῖος ἐκεῖνος ἐν δημηγορίαις καὶ διαλέξεσιν ἀπαράμιλλος, πείθει τὸν Βαϊμοῦντον τοῖς πλείστοις συνθέσθαι τῶν παρὰ τοῦ βασιλέως ῥηθέντων. κρατήσας οὖν αὐτὸν τῆς χειρὸς εἰσάγει πρὸς τὸν βασιλέα. τῇ δὲ μετ' αὐτὴν ἐνωμότως καὶ P. 406
20 μετὰ τῆς οἰκείας προαιρέσεως κατὰ τὸ δοκοῦν αὐτῷ τὴν συμφωνίαν ἐπλήρωσεν. εἶχε δὲ τὰ συμπεφωνημένα οὕτως.

2. ἦν ὁ P, ὁ om. FA. 3. ἔχω FA, ἔχειν P. τὴν τοιαύτην AP, τὴν om. F. 7. φησιν P, correxi. 8. διασώσαντα A. 13. Βρυένιον F. 17. πλείοσι A. 21. post οὕτως versus vacuus est in F.

tum convenerint, nunc et in posterum te religiose servare." cum haec et alia eiusmodi plura imperator dixisset audivissetque, Boëmundus, quia idem ille erat nec se ullo modo mutaverat, "Fieri" inquit "omnino non potest, ut talia promittam" et ob alia quaedam, quae imperator postulaverat, petiit ut ex iis, quae cum legatis pepigerat, in castra sibi redire liceret. cui imperator "Nullum profecto" inquit "ad te tuto deducendum me ipso aptiorem habeo." quibus dictis exercitus ducibus palam imperavit, ut equos pararent et mox secum Dyrrachium versus proficiscerentur. his auditis Boëmundus, cum ad designatum sibi tabernaculum se reciperet, Caesarem meum Nicephorum Bryennium panhypersebasti dignitate iam tum ornatum videre cupiebat. egreditur ille omnemque contendens, qua summa valuit, dicendi vim cum in concionibus tum in familiaribus sermonibus omnino invictam Boëmundo persuasit, ut pleraque eorum, quae imperator poposcerat, acciperet, victumque manu ad imperatorem duxit. ac postridie iureiurando dato ex eius voluntate et sententia pactum conclusum est his verbis conceptum.

12. "Ἡ μὲν προτέρα συμφωνία, ἥτις δὴ καὶ κατ' ἐκεῖνο καιροῦ γέγονε πρὸς τὸ θεοστεφὲς κράτος σου, ὁπόταν μετὰ τῆς πολυπληθοῦς ἐκείνης στρατιᾶς τῶν Φράγγων εἰς τὴν βασιλίδα πόλιν ἐπιδεδήμηκα διαβαίνων ἀπὸ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν ἐπὶ τῇ τῶν Ἱεροσολύμων ἐλευθερίᾳ, ἐπειδὴ 5
B κατά τινας περιπετείας πραγμάτων ἠθέτηται, ἐκείνη μὲν σχολασάτω καὶ μὴ ἐχέτω τὸ ἐνεργὸν ὡς τὸ ἄκυρον ἀποφερομένη διὰ τὴν τῶν πραγμάτων περίστασιν. καὶ ἐξ ἐκείνης οὐ χρὴ κατ' ἐμοῦ δίκαιόν τι ἔχειν τὴν βασιλείαν σου κἀντεῦθεν ἰσχυρίζεσθαι περὶ τῶν ἐν ἐκείνῃ συμπεφωνημένων 10 τε καὶ ἀναγεγραμμένων. πόλεμον γὰρ ἀραμένου μου κατὰ τοῦ σοῦ θεοπροβλήτου κράτους καὶ παραλύσαντος τὰ συμπεφωνημένα συμπαραλέλυται τούτοις καὶ τὰ ἀπὸ τοῦ σοῦ κράτους κατ' ἐμοῦ αἰτιάματα. νῦν δὲ αὖ ὥσπερ ἐκ μεταμελείας
C ἐρχόμενος καὶ ὥσπερ ἁλιεὺς πληγεὶς καὶ ἀπενεγκάμενος νοῦν 15 καὶ μονονουχὶ τῷ δόρατι τῷ σῷ νουνεχέστερος γεγονὼς καὶ τῆς κατ' ἐκεῖνο καιροῦ ἥττης καὶ τῶν πολέμων ἀναμνησθεὶς εἰς ἑτέραν συμφωνίαν μετὰ τοῦ κράτους σου τρωπῶμαι ταντηνί, ὥστε λίζιον γενέσθαι τοῦ σκήπτρου σου ἄνθρωπον καὶ ἵνα σαφέστερον εἴποιμι καὶ φανερώτερον, οἰκέτην καὶ 20 ὑποχείριον, ἐπειδὴ καὶ σὺ ὑπὸ τὴν σὴν δεξιὰν ἕλκειν ἐμὲ βεβούλησαι καὶ ἄνθρωπόν σου ἐθέλεις ποιήσασθαι λίζιον. ἔσομαι τοίνυν ἀπὸ τοῦ νῦν κατὰ τὴν δευτέραν ταυτηνὶ συμ-

1. συμφωνία F, σωμφωνία P. 10. περί τε F. 14. αὖ FC, οὖν P. 18. τρωπῶμαι scripsi: τράπωμαι P. 21. ἕλκειν ἐμὲ F, ἐμὲ ἕλκειν P.

12. "Prius illud pactum, quod cum potestate tua a deo coronata tum confeci, cum ex Europa cum numerosissimo illo Francorum exercitu in Asiam ad Hierosolyma liberanda transiens in regiam urbem profectus sum, ut rerum quibusdam vicibus irritum factum est, ita abrogatum sit nec ratum amplius habeatur, si quidem rebus nunc mutatis plane antiquatum est. nec inde maiestatem tuam ius sibi adversus me sumere fas est eove niti circa ea, quae tunc pacta scriptaque fuerunt. etenim cum bello adversus tuam a deo promotam potestatem suscepto pacta illa dissolverim, una cum illis item potestatis tuae in me sunt crimina dissoluta. nunc vero tamquam poenitentia motus atque veluti ictus piscator ad sanitatem reversus ac, paene dixerim, tua hasta prudentior factus, gravis denique illius temporis cladis bellorumque memor accedo ad hanc cum tua potestate alteram conventionem ineundam: qua me lizium fore hominem sceptri tui spondeo, vel, ut clarius apertiusque loquar, servum ac subditum, quandoquidem et tu me sub dextram tuam trahere hominemque tuum lizium facere vis. itaque ero deinceps ex hoc secundo pacto,

φωνίαν, ἣν καὶ φυλάττειν εἰς ἀεὶ βούλομαι καὶ ἐπόμνυμι D
Θεόν τε καὶ πάντας τοὺς ἁγίους αὐτοῦ, ἐπεὶ καὶ ἐπὶ μάρ-
τυσι τούτοις τὰ συμπεφωνημένα [καὶ] γράφεταί τε καὶ λέ-
γεται, ἄνθρωπος πιστὸς τῆς σῆς βασιλείας καὶ τοῦ περι-
5 ποθήτου σου υἱοῦ καὶ βασιλέως κυρίου Ἰωάννου τοῦ πορ-
φυρογεννήτου, καὶ ὁπλίσομαι τὴν δεξιὰν κατὰ παντὸς
ἀνθισταμένου τῷ κράτει σου, εἴτε τοῦ Χριστιανικοῦ γένους V. 322
ἐστὶν ὁ χεῖρας ἀνταράμενος εἴτε καὶ ἀλλοτρίων ἐστὶ τῆς
ἡμετέρας αὐλῆς, οὓς παγάνους ἡμεῖς ὀνομάζομεν· ὥστε, ὅπερ
10 καὶ τῷ προμνημονευθέντι συμφώνῳ περιείχετο καὶ ἀμφοῖν
τοῖν μεροῖν συνήρεσε, τῇ τε βασιλείᾳ ὑμῶν καὶ ἐμοί, τῶν ἄλ-
λων ἀνῃρημένων τοῦτο μόνον ἐκεῖθεν ἕλκω καὶ ἰσχυρίζομαι P. 407
καὶ ἀπρὶξ ἔχομαι τὸ δοῦλον τῆς βασιλείας καὶ ἀμφοτέρων
εἶναι καὶ λίζιον ἄνθρωπον ὥσπερ καταλυθὲν ἀνανεούμενος.
15 καὶ οὐδ' ἂν εἴ τι γένοιτο, εἰς ἀθέτησιν τούτου ἐλεύσομαι·
οὐδέ τις αἰτία ἔσται ἢ τρόπος φανερός τε καὶ ἀφανής, καθ'
ὃν ἐγὼ παραβάτης τῶν συνθηκῶν καὶ τῶν νῦν συμπεφωνη-
μένων φανήσομαι. ἀλλ' ἐπειδὴ λαμβάνω τὰ νῦν τὴν ῥητῶς
ἐνταυθοῖ [τὴν] δηλωθησομένην χώραν ἐν τοῖς μέρεσι τῆς
20 ἀνατολῆς διὰ χρυσοβούλλου λόγου τῆς βασιλείας σου, ἐν ᾧ
καὶ τὸ κράτος τὸ σὸν ὑποσημαίνεται δι' ἐρυθροβαφοῦς ὑπο- B
γραφῆς, ὃς δὴ χρυσόβουλλος λόγος καὶ ἀμοιβαῖος γεγονὼς

2. ἐπιμάρτυσι P, correxi. 3. καὶ seclusi. 5. κυροῦ P, correxi. 8. ἀλλοτρίων ἐστὶ scripsi: ἀλλότριον ἐστὶ F, ἀλλότριον P. 9. ἡμετέρης P, correxi. 14. λίζιον καὶ P, καὶ om. F. 15. εἴ τι F, εἴτε P. 19. τὴν seclusi. 20. ἀνοτολῆς P, correxi. 22. χρυσόβουλλος FC, χρυσόβουλος P.

quod in omne tempus me servaturum esse iuro deum obtestans sanctosque eius, quibus testibus hic quoque tractatus et scribitur et dicitur, homo fidelis tuae maiestatis et desideratissimi tui filii et imperatoris domini Ioannis porphyrogeniti ac dexteram armabo contra omnes qui potestati tuae adversantur. sive Christiani erit generis qui manus in te tollere audeat, sive alienus a religione nostra ex eorumque numero, quos nos paganos appellamus. itaque illud solum ex supra commemorata pactione inter partem utramque, vestram maiestatem et me, facta reliquis abolitis huc transfero et amplector et mordicus teneo tantum hoc quasi abrogatum renovans, fore me servum et lizium hominem maiestatis utriusque vestrum nec ullum umquam tempus futurum, quo hoc irritum faciam nec denique ullam causam modumve apertum aut absconditum, quo harum sponsionum pactorumque ruptor appaream. et quoniam nunc regionem nominatim hic indicandam, positam in Orientis partibus, per maiestatis tuae bullam auream a potestate tua rubro atramento subscriptam accipio, cuius quidem bullae

ἐπεδόθη μοι, δεχόμενος τὰς δοθείσας χώρας ὡς ἀπὸ τῆς βασιλείας ὑμῶν δεδωρημένας καὶ τὸ ἐνδύναμον ἔχων τῆς δωρεᾶς ἐκ τῆς χρυσοβούλλου γραφῆς ἀντίδοσιν τῶν τοσούτων χωρῶν καὶ πόλεων δίδωμι τὴν πίστιν τὴν ἐμαυτοῦ πρὸς τὴν ὑμῶν βασιλείαν, σοῦ τε, τοῦ μεγάλου αὐτοκράτορος κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ τοῦ τριποθήτου υἱοῦ σου τοῦ βασιλέως κυρίου Ἰωάννου τοῦ πορφυρογεννήτου, ἣν ἀμετακίνητον καὶ ἀσάλευτον καθέξειν ὑπισχνοῦμαι καθάπερ ἄγκυραν ἀσφαλῆ. καὶ ἵνα ἐπαναλάβω τὸν λόγον σαφέστερον καὶ τὴν ἰδιότητα φυλάξαιμι τῶν ἐγγράφως συμφωνούντων, ἰδοὺ ἐγὼ Βαϊμοῦντος υἱὸς Ῥομπέρτου Γισκάρδου συμφωνῶ μετὰ τοῦ κράτους ὑμῶν καὶ τὴν συμφωνίαν ἀρραγῆ τίθημι φυλάττειν πρὸς τὴν βασιλείαν ὑμῶν, τοῦτ᾽ ἔστι σέ τε, τὸν αὐτοκράτορα Ῥωμαίων κύριον Ἀλέξιον, καὶ τὸν βασιλέα καὶ υἱόν σου τὸν πορφυρογέννητον, καὶ τὸ λίζιον ἄνθρωπον ἀνόθευτόν τε καὶ ἀπαραποίητον, ἕως ἂν ἐμπνέω καὶ μετὰ τῶν ζώντων συναριθμῶμαι. καὶ ἐξοπλισαίμην τὴν χεῖρα κατὰ τῶν ἐντεῦθεν ἀναφανησομένων ἐχθρῶν ὑμῶν καὶ τῆς βασιλείας τῆς ὑμετέρας τῶν ἀεισεβάστων σεβαστῶν βασιλέων τῆς τῶν Ῥωμαίων ἡγεμονίας. καὶ ἔνθα ἂν καὶ προσταχθείην ὑφ᾽ ὑμῶν, μετὰ πάσης τῆς περὶ ἐμὲ στρατιᾶς ἀπροφασίστως ἐκδουλεύσω κατὰ τὴν παρισταμένην

1. δεχόμενος scripsi: δέχομαι μὲν P. 2. ὑμῶν F, ἡμῶν P. 6. 7. κυροῦ P, correxi. 8. ὑπισχνοῦμαι scripsi: ἐπισχνούμενος P. 11. ὁ Βαιμοῦνδος C. 14. κύριον F, κῦρ P, om. C. 15. ἀνθρώπων P, correxi.

aureae alterum exemplar mihi traditum est, terras illas accipiens ut a tua maiestate donatas, cuius donationis auctoritas in aurea bulla posita est, in remunerationem tot regionum urbiumque maiestati utriusque vestrum, tuae inquam magni imperatoris domini Alexii Comneni et desideratissimi filii tui imperatoris domini Ioannis porphyrogeniti, fidem meam exhibeo, quam ut firmam ancoram immotam inconcussamque me conservaturum polliceor. atque ut clarius sermonem repetam legitimasque formulas usurpem eorum, qui litteris pactionem consignant, en ego Boëmundus Roberti Giscardi filius paciscor cum vestra potestate et pactionem inviolatam esse volo erga maiestatem vestram, hoc est, te imperatorem Romanorum dominum Alexium et imperatorem ac filium tuum porphyrogenitum, me vobis lizium fore hominem verum sincerumque, quoad spiritum duco et in vivorum numero habeor, meque manum contra omnes armaturum, qui ab hoc inde tempore vestri et maiestatis vestrae principum Romani imperii semper augustorum hostes apparebunt. et ubicumque me adesse iubebitis, cum universis meis copiis sine excu-

χρείαν. καὶ οἵτινες ἂν καὶ εἶεν δυσμενῶς ἔχοντες πρὸς τὸ ὑμέτερον κράτος, εἰ μή που τοῖς ἀθανάτοις ἀγγέλοις ἰσάζοιντ' ἂν καί εἰσι τοῖς ἡμετέροις δόρασιν ἄτρωτοι ἢ ἀδαμάντινά τινα περίκειται σώματα, κατὰ τούτων πάντων
5 ὑπεραγωνισαίμην τῆς βασιλείας ὑμῶν. καὶ εἰ μὲν ὑγιῶς ἔχω τοῦ σώματος καὶ ἐλευθεριάζω πολέμου τινὸς βαρβαρικοῦ τε καὶ Τουρκικοῦ, αὐτὸς ἐγὼ τῷ ἐμῷ σώματι ἀγωνιοῦμαι τὸν ὑπὲρ ὑμῶν πόλεμον μετὰ τοῦ ξυνεπομένου στρατεύματος. P. 408 εἰ δὲ ἢ νόσῳ βαρείᾳ πεδοῦμαι, οἷα πολλὰ τὰ ἀνθρώπινα,
10 ἢ πόλεμος ἐπικείμενος πρὸς ἑαυτὸν ἕλκει με, τότε δὴ τότε ὑπισχνοῦμαι διὰ τῶν περὶ ἐμὲ γενναίων ἀνθρώπων μου τὴν δυνατὴν ἐξαποστέλλειν βοήθειαν ὡς ἐπανασωζόντων ἐκείνων τὸ ἐμὸν ἔλλειμμα. ἡ γὰρ ὀρθὴ πίστις, ἣν σήμερον πρὸς τὴν βασιλείαν ὑμῶν δίδωμι, τοῦτο ἔστι τὸ ἢ δι' ἐμαυτοῦ ἢ δι' ἑτέ-
15 ρων, καθάπερ εἴρηται, ἀνακρωτηρίαστα διατηρεῖν τὰ τῆς συμ- V. 323 φωνίας. ὀρθήν τε πίστιν φυλάττειν διόμνυμι καὶ καθόλου B καὶ κατὰ μέρος ὑπὲρ τοῦ ὑμετέρου κράτους καὶ τῆς ὑμετέρας ζωῆς, ταυτησὶ λέγω τῆς κάτω τε καὶ γηΐνης. ὑπὲρ γὰρ τῆς τοιαύτης ὑμῶν ζωῆς σιδηροῦς τις ἀνδριὰς καὶ σφυρή-
20 λατος γενοίμην τοῖς ὅπλοις. ἀλλὰ μέχρι καὶ τῆς τιμῆς τῆς ὑμετέρας καὶ μέχρι βασιλικῶν ὑμῶν μελῶν ἐκτείνω τὸν ὅρκον, εἴ τις αὐτοῖς ἐπιβουλεύεται κάκωσις παρά τινων ἀλιτη-

1. οἵτινες scripsi: εἴ τινες P. 3. ἰσάζοιντ' scripsi: ἱστάζοιντ' F, ἱστάζοιντο P. 7. καὶ τὸν P, καὶ om. F. 14. ὑμῶν δίδωμι F, δίδωμι om. P. 15. διατηρεῖν F, τηρεῖν P.

satione, prout res exiget, obsequar. praeterea omnes, si qui erunt, potestati vestrae infensos, nisi forte angelis immortalibus similes nostris hastis vulnerari nequeunt et indomitis corporibus tecti sunt, pro vestro imperio debellabo. ac dum ego et corpore valeam et a bello quocumque barbarico et Turcico liber sim, ipse per me praesens cum copiis meis vestra causa belli discrimen subibo. sin me, qualia multa humanam vitam infestant, gravis morbus impedierit aut bellum imminens ad se traxerit, tunc polliceor emissurum me validissimum quantum potero virorum fortium, qui mihi subiecti sint, auxilium, ut deficientis mei locum suppleant. est enim haec recta fides, quam hodie vestrae maiestati exhibeo, id est pacta aut per me aut per alios, ut iam dictum est, sanctissime me servaturum: rectamque fidem me praestiturum iuro et generaliter et speciatim pro vestro imperio proque vita vestra, hac, inquam, infra solem vita et terrestri. pro hac igitur vestra vita tamquam ferrea et malleo procusa statua in armis stabo. atque usque ad dignitatem vestram et regia vestra membra iusiurandum extendo, si qui hostes sceleratissimi ea

ρίων ἐχθρῶν, οὓς δυνατόν ἐστιν ἐμὲ καταλύειν καὶ ἀπείργειν τοῦ κακοῦ ἐγχειρήματος. ἀλλὰ καὶ ὑπὲρ πάσης χώρας τῆς C ὑμετέρας καὶ πόλεως μικρᾶς τε καὶ μείζονος καὶ νήσων αὐτῶν καὶ ἁπαξαπλῶς, ὁπόση τίς ἐστι γῆ τε καὶ θάλασσα ὑπὸ τὰ ὑμέτερα σκῆπτρα ἐξ αὐτοῦ δήπουθεν τοῦ Ἀδριαν- 5 τικοῦ πελάγους καὶ ἄχρι πάσης ἀνατολῆς καὶ κατὰ μῆκος τῆς μεγάλης Ἀσίας, ἔνθα τὰ τῶν Ῥωμαίων ὁρίσματα ἦν. ἔτι συμφωνῶ, καὶ ἔσται τῶν συμπεφωνημένων μάρτυς καὶ ἐπήκοος ὁ Θεός, μηδεμίαν μηδέποτε χώραν τεταγμένην ὑπὸ τὰ ὑμέτερα σκῆπτρα εἴτε νῦν εἴτε πρότερον μήτε πόλιν ἢ 10 νῆσον κρατεῖν τε καὶ ἔχειν, καὶ ἁπλῶς, ὁπόσα ἡ βασιλεία Κωνσταντινουπόλεως περιεῖχεν ἢ νῦν κατέχει κατά τε τὴν D ἀνατολὴν καὶ τὴν δύσιν, ἐκτὸς τῶν ῥητῶς δεδωρημένων μοι παρὰ τοῦ θεοπροβλήτου κράτους ὑμῶν, ἃ καὶ κατ' ὄνομα δηλωθήσεται ἐν τῷ παρόντι ἐγγράφῳ. ἀλλ' ὁπόσην ἂν δυ- 15 νηθείην χειρώσασθαι χώραν τελοῦσάν ποτε ὑπὸ τὴν βασιλείαν ταύτην ἀπωσάμενος τοὺς τὴν χώραν ἐκείνην κατέχοντας, εἰς τὴν γνώμην τὴν ὑμετέραν ἀναρτᾶν ὀφείλω τὴν περὶ ταύτης οἰκονομίαν. καὶ εἰ μὲν ἐμὲ βούλεσθε ἐπιτροπεύειν τῆς κυριευθείσης χώρας ὡς ἄνθρωπον ὑμέτερον λίζιον καὶ 20 δοῦλον πιστόν, ἔσται τοῦτο· εἰ δ' οὖν, ἀλλὰ παραδοίην ἄν, P. 409 ᾧ ἂν ἀνδρὶ ἡ βασιλεία ὑμῶν βουληθείη, μὴ ἀμφιβάλλων

3. μείζονος F, μεγάλης P. 5. δήπουθεν F, δήπουθε P. 6. ἄχρι F, μέχρι P. 8. τῶν] τοῦ F. 9. ἐπήκοος F, ὑπήκοος P. 10. μήτε πόλιν F, εἴτε πόλιν P. 13. ἀνατολήν τε F. τὴν om. F.

laesuri sunt, quoad eos evertere et a scelere prohibere licebit; neque minus hoc faciam pro quavis vestra terra et urbe cum parva tum maiori, pro insulis quoque ipsis, denique, ut uno verbo dicam, pro omnibus locis terrae marisque imperio vestro subiectis, scilicet ab Adriatico mari usque ad totum Orientem et per latitudinem magnae Asiae, ubi Romanorum fines erant. paciscor praeterea ac pactorum sit testis auditorque deus, nullam me umquam regionem imperio vestro sive nunc sive antehac subiectam neque urbem insulamve occupaturum retenturumque, id est, ut simplicius dicam, nullum omnino ex iis locis, quos vel conplectebatur vel nunc conplectitur per Orientem perque Occidentem imperium Constantinopolitanum exceptis terris, quae diserte mihi a maiestate vestra divinitus promota donatae sunt quaeque in hoc scripto nominatim indicabuntur. sed quamcumque terram subigere potuero, quae olim sub huius imperii dicione fuit, expulsis iis qui illam obtinent, ad vestrum arbitrium istius administrationem deferre debeo; ac si quidem a me subactae terrae imperium mihi concedere vultis quippe homini vestro lizio servoque

κατά τι τὸ σύνολον. χώραν δὲ οὐ δέξομαι ὑφ' ἑτέρου τινὸς προδιδομένην ἐμοὶ ἢ πόλιν τινὰ ἢ πολίχνιον, ἅπερ ποτὲ ὑπὸ τὴν τῆς βασιλείας ἐξουσίαν ἐτύγχανον, ὡς ἐμοὶ διαφέροντα· ἀλλὰ καὶ τὰ πολιορκίᾳ κρατούμενα καὶ τὰ ἄνευ πο-
5 λιορκίας, ὑμέτερα δ' ἦσαν καὶ πάλιν ὑμέτερα ἔσονται μηδ' ὁπωστιοῦν δικαιολογουμένου μου περὶ τούτων. ἀλλ' οὐδὲ ὅρκον δέξομαι παρά τινος Χριστιανοῦ ἢ δώσω πρὸς ἕτερον ἢ συμφωνίαν ἡντιναοῦν πρὸς βλάβην ὑμετέραν ὁρῶσαν ἢ πρὸς ζημίαν καὶ ὑμῶν καὶ τῆς βασιλείας τῆς ὑμετέρας. ἀλλ' B
10 οὐδὲ ἄνθρωπος ἑτέρου γενήσομαι ἢ ἑτέρας ἀρχῆς μείζονος ἢ ἐλάσσονος ἄνευ τοῦ κράτους τοῦ ὑμετέρου· ἀλλὰ μία κυριότης ἐμοί, ᾗ ὑπισχνοῦμαι δουλεύειν, ἡ βασιλεία σοῦ τε καὶ τοῦ τριποθήτου υἱοῦ σου. τοὺς δὲ προσερχομένους μοι ἀνθρώπους τῆς βασιλείας σου ὡς κατεξαναστάντας τοῦ κράτους τοῦ
15 σοῦ καὶ ἐμοὶ ἐκδουλεύειν ἐθέλοντας καὶ μισήσω καὶ ἀποπέμψομαι, μᾶλλον δὲ κατ' αὐτῶν ἐξοπλίσομαι. τοὺς δὲ V. 324 ἄλλους βαρβάρους, * ἐθέλοντας δὲ ὅμως ὑπὸ τὸ ἐμὸν δόρυ γίνεσθαι, δεξαίμην μέν, ἀλλ' οὐκ ἰδίῳ προσώπῳ· ὁρκιῶ δὲ C τούτους ἕνεκα σοῦ τε καὶ τοῦ περιποθήτου υἱοῦ σου καὶ
20 τὰς ἐξ αὐτῶν χώρας παραλήψομαι δικαίῳ τῆς βασιλείας τῆς ὑμετέρας καὶ ἐντεῦθεν τὸ ὑπὲρ αὐτῶν προσταττόμενον ἀπροφασίστως ποιεῖν ἐπαγγέλλομαι. ταῦτα μὲν περὶ τῶν

15. καὶ ἐμοὶ FC, καὶ om. P. ἐκδουλεύειν ἐθέλοντας C, ἐθέλοντας om. P. 17. lacunam signavi.

fideli, esto; sin minus, nihil cunctatus eam viro a maiestate vestra designato tradam. neque omnino si quis terram aliquam aut urbem aut oppidulum ex iis, quae sub imperii quondam dicione fuerunt, mihi prodere mihique attribuere velit, accipiam; verum seu oppugnatione seu absque oppugnatione capta vestra, uti antea fuerant, sic iterum erunt me quidem nequaquam de iis litigante. ad haec nec iusiurandum adigam quemquam Christianum nec ipse adigar cuiquam alteri conventionemve inibo ullam, quae detrimentum aut vobis aut vobis et imperio vestro importare queat. neque alterius homo fiam aut principatus alterius maioris minorisve sine auctoritate vestra; verum una mihi dominatio, cui me serviturum promitto, tua est carissimique tui filii maiestas. iam si qui ad me venient imperii tui homines eo animo ut a potestate tua desciscentes mihi serviant, eos ego detestabor reiciamque, quin etiam arma contra eos sumam. alios vero barbaros meae se hastae subicere cupientes accipiam quidem, sed non privato iure: immo eos in tuum nomen tuique filii dilectissimi iureiurando adigam eorumque terras iure imperii vestri accipiam, et quidquid de illis constitueritis, id prompto animo me esse facturum polliceor. haec de

V. 325 μὲν διὰ τεσσαρακονθημέρου τινὸς διαστήματος ἐπαναγαγεῖν με εἰς τὴν πίστιν τῆς βασιλείας ὑμῶν καθάπαξ τραχηλιάσαντα. τοῦτο δ' ἂν γένοιτο, εἰ καὶ γενέσθαι παραχωρηθείη, μανίας ἄντικρυς καὶ λύττης καταλαβούσης ἐμὲ ἢ ὅταν δηλονότι τὰς φρένας ἐλαύνωμαι. εἰ δ' ἀνοήτως ἔχω καὶ ἀστεμφῶς πρὸς 5 τὰς παραινέσεις ἐκείνων καὶ λάβρως ἐπαιγίζει τὰ τῆς λύττης τὴν ψυχὴν τὴν ἐμήν, ἀλλὰ τότε γε ἐξομόσονται μὲν ἐμὲ καὶ πάντα τρόπον ἀποπροσποιήσονται, μεταθῶνται δὲ πρὸς τὸ ὑμέτερον κράτος καὶ χεῖρα καὶ γνώμην καὶ τὰς χώρας, ἃς P. 411 ἐμῷ δικαίῳ κατέχουσιν, ἀποσπάσοντες τῆς ἐμῆς ἐξουσίας 10 ὑμῖν καὶ τῷ μέρει τῷ ὑμετέρῳ παραδοῖεν. ταῦτα δὲ ἐνωμότως ποιεῖν καταναγκασθήσονται καὶ τὴν αὐτὴν φυλάξουσι πίστιν καὶ δουλείαν καὶ εὔνοιαν πρὸς ὑμᾶς, ἣν κἀγὼ συμπεφώνηκα, καὶ ὑπὲρ τῆς ὑμετέρας ζωῆς καὶ τῆς ἐπιγείου τιμῆς ἀροῦνται τὰ ὅπλα, ἀλλὰ καὶ ὑπὲρ τῶν ὑμετέρων βασιλικῶν 15 μερῶν καὶ μελῶν, ὡς μή τι πάθοιεν παρά τινος ἐχθροῦ, πολεμησείοντες οὐκ ἀνήσουσιν, εἴ γε τέως εἰς αἴσθησιν ἔλθοιεν τῶν ἐπιβούλων καὶ σφαλερῶν. ταῦτα ἐπόμνυμι καὶ διαμαρτύρομαι καὶ Θεὸν καὶ ἀνθρώπους καὶ τοὺς ὑπερτάτους ἀγγέλους, ὡς ἄρα B καταναγκάσω φρικαλέοις ὅρκοις αὐτοὺς κατειληφὼς ποιεῖν τε 20 καὶ πράττειν εἰς δύναμιν· ὡς δὲ καὶ ὑπὲρ τῶν κάστρων τῶν ὑμετέρων καὶ τῶν πόλεων καὶ χωρῶν καὶ ἁπλῶς τῶν ὅλων

3. μανίαν P, correxi. 6. λάβρως F, λαύρως P. 11. ἐνωμότως FC, ἐνομότως P. 17. πολεμησείοντες C, πολεμεσείοντες P. 22. καὶ τῶν πόλεων καὶ F, καὶ τῶν πόλεων om. P.

designato ad id quadraginta dierum spatio ad fidem maiestati vestrae debitam redire me repugnantem cogant. haec vero fiant, si ut fiant concedatur, cum quis furor atque insania me corripuerit vel cum mente alienatus sim. sin vero nihil de amentia remiserim surdumque ad monita ipsorum me furor impotentior egerit, illi quidem iureiurando erga me soluti atque a me plane abalienati in vestram potestatem manumque et arbitrium transferentur: et quas meo iure terras obtinebant, meae potestati ereptas vobis vestroque iuri assignabunt. quod se facturos illi iureiurando adigentur eandemque erga vos fidem servitutemque et benevolentiam servabunt, quam egomet ipse pollicitus sum, ac pro vestra vita et terrestri honore arma sument pariterque pro regiis vestris partibus ac membris, ne quid patiantur ab hoste ullo, armis certare non desinent, si quidem insidiatores corruptoresque in eorum notitiam venerint. ac iuro testans deum hominesque et supremos angelos, me adacturum illos horrifico iureiurando ad illa facienda praestandaque pro viribus. de urbibus etiam

μερῶν τῶν ὑπὸ τὴν βασιλείαν ὑμῶν, ὅσα ἡ δύσις ἔχει, ὅσα ἡ ἀνατολὴ περιέχει, ἐνόρκως τὰ αὐτὰ συμφωνήσουσιν ἃ κἀγὼ πρὸς ὑμᾶς συμπεφώνηκα· καὶ ταῦτα ποιήσουσι καὶ ζῶντος ἐμοῦ καὶ ἀποτεθνηκότος· καὶ ἕξει καὶ τούτους τὸ κράτος
5 ὑμῶν ἀνθρώπους ὑποχειρίους καὶ χρήσει τούτοις ὅσα καὶ ὑπηρέταις πιστοῖς. καὶ ὅσοι μὲν ἐνταυθοῖ τυγχάνουσι συνεπιδημοῦντες ἐμοί, αὐτίκα καὶ τὰς ἐνόρκους πίστεις καὶ τὰς συμφωνίας δώσουσι πρὸς ὑμᾶς τοὺς σεβαστούς, τόν τε κύριον C Ἀλέξιον καὶ αὐτοκράτορα τῶν Ῥωμαίων καὶ τὸν πορφυρο-
10 γέννητον βασιλέα καὶ σὸν υἱόν, ὅσοι δὲ ἀπῶσι τῶν ἐμῶν ἱππέων καὶ ὁπλιτῶν, οὓς καβαλλαρίους συνήθως καλοῦμεν, ἀποστειλάσης ἄνθρωπον τῆς βασιλείας σου κατὰ τὴν Ἀντιόχειαν πόλιν, ἐκεῖ τοὺς αὐτοὺς ὅρκους ἀποτελέσουσι κἀκεῖνοι, ὁρκιοῦντος μὲν αὐτοὺς τοῦ ἀνθρώπου τῆς βασιλείας σου,
15 ἐμοῦ δέ, ἐπόμνυμι τοῦτο, παρασκευάσοντος ὀμόσαι τοὺς ἄνδρας καὶ συμφωνῆσαι τὰ αὐτά τε καὶ ἀπαράλλακτα. προσέτι συμφωνῶ καὶ ἐπόμνυμι, ὡς ἄρα καθ' ὧν μὲν ἂν βούληται D ἡ βασιλεία ὑμῶν τῶν κατεχόντων πόλεις καὶ χώρας, αἵ ποτε ὑπέκειντο τῇ βασιλείᾳ τῆς Κωνσταντινουπόλεως, ἀντάρασθαι
20 χεῖρας καὶ ξυγκροτῆσαι πόλεμον, τοῦτο ποιήσω κἀγὼ καὶ

2. συμφωνήσουσιν C, σομφωνήσουσιν P. 3. ζῶντος C, ξῶντος P. 4. ἀποτεθνηκότος F, ἀποθανόντος P. ἕξει] ε prius in ras. F. 6. ὑπηρέτοις F. τυγχάνουσι συνεπιδημοῦντες ἐμοὶ F, τυγχάνουσιν ἐμοὶ συνεπιδημοῦντες P. 7. τοὺς ἐνόρκους P, correxi. 8. κύριον F, κύριν P. 11. συνήθως F, σύνηθες P. 14. ὁρκιοῦντος F, ὁρκοῦντος P. 15. παρασκευάσαντος P, correxi. 20. ξυγκροτῆσαι F, συγκροτῆσαι P.

vestris et castris locisque ac de cunctis omnino partibus in imperii vestri dicionem redactis, quas Occidens habet, quas Oriens amplectitur, iurati promittent eadem, quae et ego vobis promisi, eaque et me vivo et me mortuo facient. habebit igitur illos quoque potestas vestra obnoxios iisque tribuet quaecumque ministris fidelibus tribuuntur. et qui hic forte reperiuntur huc mecum profecti, extemplo iureiurando interposito fidem promittent pactaque vobiscum Augustis, domino Alexio, Romanorum imperatore, et porphyrogenito imperatore, filio tuo, facient. quotquot autem absunt meorum equitum et armatorum, quos caballarios solemus appellare, misso ad urbem Antiochiam a maiestate tua homine et ipsi iusiurandum interponent, quod quidem ille ab iis accipiet; ac iuro equidem curaturum me ut eadem nulla parte mutata iurati spondeant. praeterea polliceor et iuro, quoties maiestati vestrae lubebit, manus me sublaturum et bellum paraturum adversus omnes qui oppida et loca obtinent, quae olim imperio Constantinopolitano dediticia fuerunt. quos vero bello temptare tibi non

ὁπλοποιήσομαι κατ' αὐτῶν. καθ' ὧν δὲ οὐκ ἔστι σοι θυ-
μῆρες στρατὸν κινῆσαι, οὐδὲ αὐτοὶ κατ' ἐκείνων στρατεύ-
σαιμεν. διὰ πάντων γὰρ βουλόμεθα θεραπεύειν τὸ ὑμέτε-
ρον κράτος καὶ πᾶσαν πρᾶξιν καὶ πᾶσαν βούλησιν τῆς σῆς
βουλήσεως ἐξαρτᾶν. τῶν τε Σαρακηνῶν καὶ τῶν ἐκ τοῦ Ἰσ- 5
μαὴλ ὁπόσοι συρρέουσιν εἰς τὴν βασιλείαν σου ηὐτομοληκό-
τες καὶ τὰς πόλεις αὐτῶν παραδιδόντες, οὔτε ἀποκωλύσω
οὔτε διὰ σπουδῆς θείην ὑποποιήσασθαι ἐμαυτῷ, εἰ μή που
ἄρα διὰ τοῦ ἐμοῦ δόρατος καταναγκασθὲν τὸ μέρος ἐκεῖνο
καὶ πανταχόθεν στενοχωρηθὲν πρὸς τὸ κράτος τὸ σὸν ἀπέ- 10
P. 412 βλεψε κίνδυνον ὑφορώμενον καὶ τὴν σωτηρίαν ἑαυτῷ ἐκ
V. 326 τοῦ προσέρχεσθαί σοι πραγματευόμενον. ἀλλὰ τοὺς τοιού-
τους τε πάντας καὶ ὅσοι τὸ Φραγγικὸν πεφοβημένοι ξίφος καὶ
τὸν ἐπηρτημένον θάνατον ἀποκλίναντες τοὺς σεβαστοὺς βα-
σιλέας ἐπικαλοῦνται ὑμᾶς ** οὐ διὰ τοῦτο ἀνθέξεσθε τῶν 15
ἡμετέρων δορυαλώτων, ἀλλὰ δηλονότι τῶν ἄνευ πόνων ἡμε-
τέρων καὶ κόπων καὶ ἐθελουσίως εἰς τὴν ὑμετέραν δούλωσιν
ἐρχομένων. πρὸς τοῖς ἄλλοις καὶ ταυτὶ συμφωνῶ, ὅτι τοι
ὅσοι ἂν ἐθέλωσι διαπεράσαι μετ' ἐμοῦ τὸν Ἀδρίαν ἀπὸ
B Λογγιβαρδίας ἄνδρες στρατιῶται, ὀμοῦνται καὶ αὐτοὶ καὶ 20
συμφωνήσουσι τῇ δουλείᾳ τῆς βασιλείας σου, ὁρκίζοντος
δηλονότι τούτους ξύμπαντας ἀνθρώπου τινὸς τοῦ ὑμετέρου

1. καθ' P, ἐφ' F. 11. ἑαυτῷ F, ἑαυτῶν P. 12. τοὺς τοιούτους τε F, τούτους P. 15. lacunam signavi. 16. ἄνευ πόνων ἡμετέρων καὶ κόπων F, ἄνευ κόπων ἡμετέρων καὶ πόνων P. 18. τοι om. C.

placuerit, contra eos ne nos quidem ipsi bellabimus. in omnibus enim rebus obsequemur potestati vestrae omnisque actio nostra et omne consilium ex arbitrio tuo pendebunt. Saracenorum et Ismaelitarum quicumque ad maiestatem tuam transfugae confluent urbesque suas tradent, eos nec impediam nec ulla ratione mihi conciliare conabor: exceptis tamen iis, qui hasta mea coacti et in summas angustias redacti, ubi se in periculo versari cognoscent, ad potestatem tuam oculos convertent et ad te fugientes salutem suam petent. hos enim cunctos, qui Francorum arma metuentes ac mortem expavescentes imminentem augustos vos imperatores invocabunt, ** non eam ob causam captivorum nostrorum curam habebitis, sed potius eorum, qui sine ullo nostro labore et opera in vestram servitutem ultro pervenerint. praeterea etiam hoc promitto, curaturum me, ut quicumque mecum traicere Adriaticum mare e Longibardia voluerint milites, iurent et ipsi in maiestatis vestrae servitium adigente ad ius-

κράτους, ὃν ἂν αὐτοὶ ἐπὶ τούτῳ αὐτῷ ἀποστείλητε κατὰ τὸ πέραν Ἀδρίου. εἰ δ' ἀποπηδῶσι τὸν ὅρκον, μὴ ἄλλως ἐᾶσαι διαπερᾶν ὡς τὰ αὐτὰ φρονεῖν ἡμῖν ἀπαναινομένους. δεῖ δὲ καὶ τὰς διὰ χρυσοβούλλου λόγου δωρηθείσας μοι 5 παρὰ τοῦ θεοπροβλήτου κράτους ὑμῶν χώρας καὶ πόλεις ἐκθεῖναι ἐν τῷ παρόντι συγγράμματι· ἡ κατὰ τὴν Κοίλην Συρίαν Ἀντιόχου πόλις μετὰ τῆς περιοχῆς αὐτῆς καὶ τῆς διακρατήσεως σὺν αὐτῷ Σουετίῳ, ὃ παρὰ τὴν θάλασσαν ἵδρυται· τὸ Δοὺξ μετὰ τῆς διακρατήσεως αὐτοῦ πάσης C 10 σὺν τῷ τοῦ Καυκᾶ τό τε τοῦ Λουλοῦ λεγόμενον καὶ τὸ τοῦ Θαυμαστοῦ Ὄρους καὶ τὰ Φερέσια μετὰ τῆς ὑπ' αὐτὰ πάσης χώρας· ὁ Ἅγιος Ἠλίας ἡ στρατηγὶς μετὰ τῶν ὑπ' αὐτὴν πολιχνίων· ἡ στρατηγὶς τὸ Βορζὲ καὶ τὰ ὑπὸ ταύτην πολίχνια· ἡ περὶ τὴν στρατηγίδα τὸ Σέζερ ἅπασα χώρα, 15 ἥντινα Λάρισσαν Ἕλληνες ὀνομάζουσιν· ὡς δὲ καὶ τὸ Ἀρτὰχ καὶ τὸ Τελοὺχ αἱ στρατηγίδες μετὰ τῆς ἑκάστης περιοχῆς· σὺν τούτοις ἡ Γερμανίκεια καὶ τὰ ὑπὸ ταύτην πολίχνια· τὸ Μαῦρον Ὄρος καὶ πάντα τὰ ὑπ' ἐκεῖνο ταττόμενα κάστρα καὶ ἡ ὑποκειμένη τούτῳ σύμπασα πεδιὰς ἄνευ δηλον- 20 ότι τῆς τῶν Ῥουπενίων διακρατήσεως Λέοντός τε καὶ Θεο- D δώρου τῶν Ἀρμενίων γεγονότων ἀνθρώπων τοῦ κράτους

1. ἀποστείλητε F, στείλητε P. 3. τὰ om. F. ἡμῖν F, ὑμῖν P. 4. χρυσοβούλλου FC, χρυσοβούλου P. 10. τὸ posterius addidi. 11. καὶ C, τὸ P. 15. Ἀρταχὸν C. 16. Τελουχὸν C. 20. Ἰουπελίων C. 21. ἀνθρώπων Montfaucon, ἀνθρώπον P, ἄνω C.

iurandum omnes illos aliquo potestatis vestrae homine transmisso ad id ipsum a vobis trans mare Adriaticum. ac si qui eorum iusiurandum se dare pernegant, eos polliceor me utpote consentire nobis renuentes ne traiciant prohibiturum. sed oportet iam regiones urbesque mihi per bullam auream a potestate vestra divinitus promota muneri datas in hoc scripto exponere; sunt autem hae: Antiochi civitas in Coele Syria cum suburbanis et agro suo cumque ipso Suetio ad mare sito; tum qui Dux vocatur locus cum agro suo omni; locus, qui Caucae quique Luli et qui Montis Admirabilis nomen habet; Pheresia cum tota ipsis subiecta regione; Sanctus Elias strategis cum oppidulis ei subiectis; Borze strategis et quae illi subiuncta oppidula sunt; universa regio circa strategidem Sezer posita, quam Larissam Graeci nominant; praeterea strategides Artach et Teluch cum agris suis ac simul Germanicea eiusque oppidula; Maurus Mons et omnia huc pertinentia castella planitiesque ei subiacens universa excepto scilicet Rupeniorum agro Leonis et Theodori Armeniorum, qui potestatis vestrae homines sunt; postremo una

ὑμῶν· μετὰ τῶν ἀναγεγραμμένων τὸ στρατηγάτον Παγρᾶς, τὸ στρατηγάτον Παλατζά, τὸ Θέμα τοῦ Ζοῦμε καὶ τὰ ὑπὸ ταῦτα πάντα κάστρα τε καὶ πολίχνια καὶ ἡ ἑκάστῳ προσήκουσα χώρα. ταῦτα γὰρ πάντα κἀκεῖ περιέχεται ἐν τῷ χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας ὑμῶν ὡς δεδωρημένα μοι 5 παρὰ τοῦ θείου κράτους μέχρι πέρατος τῆς ἐμῆς βιοτῆς, ὡς ὀφειλόντων μετὰ τὴν ἐνθένδε μου μετάστασιν εἰς τὴν βασιλείαν ἐπανακάμπτειν τῆς νέας Ῥώμης καὶ βασιλίδος τῶν P. 413 πόλεων Κωνσταντινουπόλεως, ἐφ' ᾧ φυλάττειν πίστιν ἀκραιφνεστάτην καὶ εὔνοιαν καθαρὰν δι' ὑμῶν τῶν ἀεισεβάστων σε- 10 βαστῶν βασιλέων εἰς τὴν βασιλείαν αὐτῆς καὶ τοῦ θρόνου ταύτης καὶ τῆς βασιλικῆς ῥάβδου δοῦλον εἶναι καὶ λίζιον ὑποχείριον. συμφωνῶ δὲ καὶ ὄμνυμι τὸν ἐν τῇ ἐκκλησίᾳ Ἀντιοχείας πρεσβευόμενον Θεόν, ὡς οὐκ ἐκ τοῦ ἡμετέρου γένους πατριάρχης ἔσται Ἀντιοχείας, ἀλλ' ὃν ἂν προβαλεῖ- 15 ται ἡ βασιλεία ὑμῶν ἐκ τῶν θρεμμάτων τυγχάνοντα τῆς κατὰ τὴν Κωνσταντινούπολιν μεγάλης ἐκκλησίας. ὁ τοιοῦτος γὰρ καὶ τοῦ θρόνου τοῦ κατὰ τὴν Ἀντιόχειαν ἐπιβαίη καὶ B πάντα πράξει ἀρχιερατικῶς ἔν τε χειροτονίαις καὶ ταῖς λοιπαῖς ἐκκλησιαστικαῖς ὑποθέσεσι κατὰ τὰ τοῦ θρόνου τοῦδε 20 προνόμια. ἦσαν δὲ ἄρα καὶ αἱ ἀπὸ τῆς δουκικῆς ἀρχῆς V. 327 τῆς κατὰ τὴν πόλιν Ἀντιοχείας ἀποτμηθεῖσαι μερίδες [καὶ] παρὰ τῆς βασιλείας ὑμῶν ὡς ἐθελόντων ταύτας προσοικειώ-

2. *Παλατζά*] *τὰ Πολαδερά* C. 4. *χρυσοβούλλῳ* FC, *χρυσοβούλῳ* P.
β α
7. *ὀφείλοντα γοῦν*? 10. *καὶ* addidi. 12. *εἶναι δοῦλον* (corr. m. 1) F. 13. *ὄμνυμι* F, *ἐπόμνυμι* P. *ἐν* F, *ἐκ* P. 14. *Ἀντιοχείας* F, *Ἀντιόχου* P. 18. *Ἀντιόχειαν* F, *Ἀντιόχου* P. 22. *καὶ* seclusi.

cum supra scriptis strategata Pagrae Palatzaeque, thema Zume et quae his subsunt castra atque oppidula cum agris suis. haec enim omnia in aurea illa maiestatis vestrae bulla commemorata sunt ut a divina potestate ad terminum usque vitae meae mihi muneri data, post meum hinc obitum reditura ad imperium novae Romae reginaeque urbium Constantinopolis: ea lege ut integerrimam fidem custodiam benevolentiamque puram per vos semper augustos principes erga urbis imperium thronique eius ac regii sceptri servus sim ac lizius subditus. promitto etiam atque obtestor iurans qui in ecclesia Antiochiae adoratur deum, non ex nostro fore genere Antiochiae patriarcham, sed eum cui maiestas vestra id munus detulerit, e numero alumnorum magnae ecclesiae Constantinopolitanae delectum. hic conscendat sedem Antiochenam omnibusque fungatur pontificis officiis, et manuum impositionibus et reliquis ecclesiasticis functionibus, ex sedis istius privilegiis. erant autem partes a ducatu

σασθαι καθ' ὁλόκληρον αὐταί· τό τε θέμα τὸ Ποδανδὸν * *
καὶ πρὸς τούτοις τὸ στρατηγάτον τῆς Ταρσοῦ πόλεως καὶ
ἡ Ἄδανα πόλις καὶ αἱ τοῦ Μόψου ἑστίαι καὶ ἡ Ἀνάβαρζα
καί, συνελόντα φάναι, ἡ χώρα πᾶσα τῆς Κιλικίας, ὅσην ὁ
5 Κύδνος καὶ ὁ Ἕρμων περιορίζουσιν· ὡς δὲ καὶ ἡ στρατηγὶς
Λαοδίκεια τῆς Συρίας καὶ αὐτὸ δήπουθεν τὸ στρατηγάτον
Γαβάλων, ὃ καὶ Ζέβελ ὑποβαρβαρίζοντες λέγομεν, τά τε C
στρατηγάτα Βαλανέως καὶ Μαρακέως καὶ ἡ Ἀντάραδος μετὰ
τῆς Ἀνταρτοῦς· στρατηγίδες γὰρ καὶ ἀμφότερα. ταῦτά εἰσιν
10 ἅπερ ἀποκόψασα ἡ βασιλεία ὑμῶν τῆς ὅλης δουκικῆς ἀρχῆς
Ἀντιοχείας καὶ τῷ κύκλῳ τοῦ κράτους προσένειμεν ἐκεῖθεν
ἀφελομένη. καὶ στέργω καὶ τοῖς τε δεδομένοις καὶ τοῖς
ἀφῃρημένοις ὡσαύτως. καὶ ἀνθέξομαι μὲν τῶν δικαίων καὶ
προνομίων ὧν παρέλαβον ἀφ' ὑμῶν, οὐκ ἀντιποιησαίμην δὲ
15 ὧν οὐ παρέλαβον. οὐδ' ἂν ὑπερβαίην τοὺς ὅρους, ἀλλ' ἐμ-
μενῶ τοῖς δεδωρημένοις κρατῶν αὐτὰ καὶ καρπούμενος,
μέχρις ἂν τῷ βίῳ περιῶ, καθὰ προδεδήλωται. μετὰ δὲ τὴν D
ἐμὴν τελευτήν, ὡς καὶ τοῦτο προγέγραπται, ἀναδραμοῦνται
πρὸς τὰς οἰκείας ἀρχὰς καὶ ὅθεν εἰς ἐμὴν ἐξουσίαν ἐδόθη-
20 σαν. ἐπισκήψω γὰρ τοῖς ἐμοῖς ἐπιτρόποις καὶ ἀνθρώποις
κατὰ τὴν τελευταίαν μου βούλησιν ἀποδώσειν τὰς χώρας
ἁπάσας τὰς εἰρημένας τῷ σκήπτρῳ τῆς τῶν Ῥωμαίων ἀρ-
χῆς μηδὲν παρὰ τὴν ἀπόδοσιν περιεργαζομένοις ἢ εἰς ἀμ-

1. Δανδόν C. lacunam signavi. 9. γὰρ] δὲ? 21. ἀπο-
δώσειν F, ἀποδοῦναι P. 23. ἀμφιβολίαν C.

Antiocheno abscissae voluntate maiestatis vestrae adiungere eas integras reliquo imperio cupientis hae: thema Podandum ** et ad haec strategatum Tarsi urbis, Adana civitas, Mopsuestiae et Anabarza et, ut paucis dicam, universa Ciliciae terra, quatenus finitur Cydno et Hermone: strategis porro Laodicea Syriae ipsumque strategatum Gabalorum, quod nos subbarbara appellatione Zebel nominamus; strategata quoque Balanei et Maracei et Antaradus cum Antarto; strategis vero etiam haec utraque. haec sunt, quae divulsa a ducatu Antiochiae potestas vestra orbi imperii adiecit illinc dempta. ego vero acquiesco datis pariter atque ablatis omnibus et ut iuribus inhaerebo privilegiisque, quae vobis accepta refero, ita ab illis abstinebo, quae a vobis non accepi, nec fines transibo, sed iis contentus ero, quae sunt mihi muneri data, possidens ea iisque, quamdiu vita superesit, fruens, ut antea dictum est; post obitum autem meum, prout hoc quoque praescriptum est, ad propria redibunt imperia, unde mihi possidenda tradebantur. sub finem enim vitae meae procuratoribus hominibusque meis supremam voluntatem edicam, restitui me velle Romanorum imperio dictas regiones universas et vetare eos niti contra earum

φισβήτησίν τινα διαπίπτουσι. καὶ ὄμνυμι καὶ τοῦτο καὶ τὴν συμφωνίαν ταύτην κατεμπεδῶ, ὡς ἀνυπερθέτως τε καὶ ἀναμφιβόλως τὸ προσταττόμενον πράξουσι. πλὴν καὶ τοῦτο προσκείσθω ταῖς συμφωνίαις, ὡς ἐπειδὴ ὑπὲρ τῶν ἀφῃρη-
P. 414 μένων παρὰ τοῦ κράτους ὑμῶν ἐκ τῆς Ἀντιοχικῆς ἀρχῆς 5 καὶ τοῦ δουκάτου τῆς πόλεως ἐγώ τε κατελιπάρησα τὸν ὑμέτερον θρόνον ποιήσασθαι ἀντισήκωσιν καὶ οἱ περεγρῖνοι προσκατελιπάρησαν τὴν ὑμετέραν βασιλείαν, καὶ κατένευσε τὸ κράτος ὑμῶν ἀντισηκῶσαί μοι θέματα καὶ χώρας τινὰς καὶ πόλεις κατὰ τὴν ἀνατολὴν διακειμένας. δεῖ καὶ τούτων 10 ἐνταυθοῖ μνημονεῦσαι κατ' ὄνομα, ἵνα μήτε ἡ βασιλεία ὑμῶν ἀμφιβάλλοι κατά τι καὶ ἐγὼ ἔχω περὶ ὧν ἂν ἐπιζητοίην. ἦσαν δὲ ταῦτα· τό τε θέμα τῆς Κασιώτιδος πάσης χώρας, ἧς μητρόπολίς ἐστιν ἡ Βέροια, ὃ κατὰ τὴν τῶν βαρβάρων
B φωνὴν Χάλεπ λέγεται, τὸ θέμα τῆς Λαπάρας καὶ τὰ ὑπὸ 15 ταύτην πάντα πολίχνια, τοῦτ' ἔστι τὰ Πλαστά, τὸ τοῦ Χωνίου κάστρον, τὰ Ῥωμαΐνα, τὸ κάστρον Ἀραμισός, τὸ τοῦ Ἀμηρᾶ πολίχνιον, τὸ κάστρον τοῦ Σαρβάνου, τὸ τοῦ Τελχαμψὼν φρούριον· σὺν οἷς καὶ τὰ τρία Τίλια, τό τε Σθλαβοτίλιν καὶ τἄλλα δύο, τὸ φρούριον τὸ Σγένιν, τὸ κάστρον τὸ Καλτζιέ- 20 ριν· καὶ δὴ καὶ ταυτὶ τὰ πολίχνια, τό τε Κομμερμοέρι καὶ τὸ Καθισμάτιν λεγόμενον καὶ τὸ Σαρσάπην καὶ τὸ Νέκραν

4. προσκείσθω F, προσκεῖσθαι P. 6. δουκάτου] κράτους C. 12. ἀμφιβάλλοι F, ἀμφιβάλοι P. 19. σθλαβοτίλιν F, Ἀθλαβοτίλιν P. 21. ταυτὶ F, ταυτῶν P. 22. τὸ scripsi: τὴν P.

cessionem aut in iurgia incidere. iam vero illud quoque iuro et quam firmisima promissione sancio, curaturum me, ut sine mora ac sine fraude imperata faciant. ceterum et hoc pactionibus additum esto: cum pro urbibus illis per potestatem vestram ab Antiocheno imperio et urbis ducatu separatis supplex ego peterem a solio vestro, ut mihi compensationem gratificaretur, iisdemque precibus peregrini quoque maiestatem vestram fatigarent, his satisfaciens potestas vestra compensationis causa themata ac terras quasdam urbesque Orientem versus sitas mihi dedit, quae hic nominatim sunt commemorandae, ut nec maiestas vestra in aliqua re dubitare possit et ego habeam, quo nitar. sunt igitur haec: thema Casiotidis regionis universae, cuius metropolis est Beroea, quae barbarorum lingua Chalep dicitur; thema Laparae et quae ei subiecta sunt oppidula omnia, scilicet Plasta, Chonii castrum, Romaïna, Aramisus castrum, oppidulum Amerae, castrum Sarbani, Telchampson arx et una cum his tria Tilia, Sthlabotilin et reliqua duo, arx Sgenin, Caltzierin castrum atque oppidula haec, Commermoëri et quod Cathismatin dicitur et Sarsapen et Neoran urbecula. haec in citeriori Syria posita sunt.

τὸ πολισμάτιον. ταῦτα μὲν τὰ ἐπὶ τάδε Συρίας κείμενα· τὰ δὲ ἀπὸ τῆς μέσης τῶν ποταμῶν θέματα, τὰ ἀγχοῦ που κείμενα τῆς πόλεως Ἐδέσης, τό τε θέμα τῶν Λιμνίων καὶ τὸ θέμα τοῦ Ἀετοῦ μετὰ πάσης τῆς ἑκάστου τούτων περιο- C
5 χῆς. μηδὲ ταῦτα ἀμνημόνευτα κείσθω τὰ περὶ τῆς Ἐδέσης μηδὲ τὰ παρὰ τοῦ θεοφρουρήτου κράτους ὑμῶν τετυπωμένα V. 328 μοι ἐτήσια τάλαντα, λέγω δὴ τὰς διακοσίας λίτρας τῆς Μιχαηλάτου χαραγῆς. προσδεδώρηται γάρ μοι διὰ τοῦ εὐσεβοῦς χρυσοβούλλου λόγου τῆς βασιλείας ὑμῶν καὶ τὸ δου-
10 κάτον * ἐξ ὁλοκλήρου μετὰ τῶν ὑπ' αὐτὸ πάντων φρουρίων τε καὶ χωρῶν οὐκ εἰς ἐμὸν πρόσωπον μόνον περιϊσταμένης τῆς δουκικῆς ταύτης ἀρχῆς· ἀλλὰ γὰρ ἐφεῖταί μοι παραπέμπειν αὐτὴν διὰ τοῦ εὐσεβοῦς χρυσοβούλλου λόγου εἰς ὃν ἂν αὐτὸς ἐθέλοιμι, μέλλοντος δηλονότι κἀκείνου ὑποκύπτειν
15 τοῖς τῆς βασιλείας ὑμῶν προστάγμασι καὶ θελήμασι καθα- D περεὶ ἀνθρώπου λιζίου τυγχάνοντος τοῦ αὐτοῦ κράτους καὶ τῆς αὐτῆς βασιλείας καὶ τὰ αὐτὰ βουλομένου καὶ συμφωνοῦντος, ἅπερ κἀγὼ πρὸς ὑμᾶς. ἀλλὰ καὶ τὸ ἀπὸ τοῦδε, ἐπειδὴ καθάπαξ ἐγενόμην ὑμέτερος ἄνθρωπος καὶ τοῦ κύκλου τοῦ
20 κράτους ὑμῶν, ὀφείλω λαμβάνειν κατ' ἐτησίαν δόσιν ἀπὸ τῶν βασιλικῶν θησαυρῶν τάλαντα διακόσια τοῦ προβεβασιλευκότος κυρίου Μιχαὴλ ποιότητά τε καὶ χαραγὴν ἀποφέροντα

1. τῇ Συρίᾳ C. 2. θέματα scripsi: θέματος P. 3. ἐδέσης F, Ἐδέσσης P. 5. τῆς ἐδέσης F, Ἐδέσσης P. 7. διακοσίας F, διακοσίους P. 10. lacunam signavi: apparet olim τὸ δουκάτον τῆς Ἐδέσης vel simile quid fuisse. αὐτὸν F. 12. ἀλλὰ om. C. ἐφεῖται γὰρ C. 13. ὃν ἂν F, ἂν om. P. 15. ὑμῶν om. F. 22. κυρίου F, κυροῦ P.

sequuntur a Mesopotamiae parte themata, quae prope Edessam urbem sita sunt, thema Limniorum et Aeti thema cum omnibus suis agris. neque vero haec neglegenda sunt, quae ad Edessam pertinent, neque quae mihi a divinitus custodita potestate vestra assignata sunt annua talenta, ducentas dico libras nummorum Michaelatorum. nam per piam maiestatis vestrae bullam auream etiam ducatus (Edessae) integer mihi donatus est cum omnibus ad eum pertinentibus et arcibus et terris ita ut non meae tantum personae destinata sit ista ducalis dignitas; sed eam propagare mihi licet per piam bullam auream in quemcunque mihi successorem elegerim, ea tamen condicione, ut successor ille omnibus praescriptis voluntatibusque maiestatis vestrae sese subiciat tamquam eiusdem potestatis ac maiestatis homo lizius eadem quae ego concessi et pepigi concedens et paciscens. iam ab hoc inde tempore, quo homo vester factus sum et ad vestri principatus orbem pertineo, dono annuo e regiis thesauris ducenta talenta monetae qualitatem formamque habentis domini Michaelis, qui antea impe-

P. 415 διά τινος ἀποστολέως ἡμετέρου Συριάθεν πεμπομένου μετὰ
καὶ γραμμάτων ἐμῶν πρὸς ὑμᾶς εἰς τὴν βασιλίδα πόλιν,
ἐφ' ᾧ ταῦτα λαβεῖν εἰς ἡμέτερον πρόσωπον. καὶ ὑμεῖς μέν,
οἱ ἀεισέβαστοι βασιλεῖς καὶ σεβαστοί τε καὶ αὔγουστοι τῆς
τῶν Ῥωμαίων ἡγεμονίας, στέρξετε δήπουθεν τὰ ἐν τῷ χρυ- 5
σοβούλλῳ λόγῳ τῆς εὐσεβοῦς ὑμῶν βασιλείας ἐγγεγραμμένα
καὶ τὰ ὑπεσχημένα διατηρήσετε. ἐγὼ δὲ διὰ τοῦδε τοῦ ὅρ-
κου τὰ παρ' ἐμοῦ πρὸς ὑμᾶς συμπεφωνημένα κατεμπεδῶ.
ὄμνυμι γὰρ εἰς τὰ πάθη τοῦ ἀπαθοῦς καὶ σωτῆρος Χριστοῦ
καὶ εἰς τὸν ἀήττητον ἐκείνου σταυρόν, ὃν ὑπὲρ τῆς τῶν 10
B ἁπάντων σωτηρίας ὑπέμεινε, καὶ εἰς τὰ προκείμενα πανα-
γέστατα εὐαγγέλια, ἃ τὴν οἰκουμένην ἅπασαν ἐσαγήνευσε·
ταῦτα γὰρ κρατῶν ἐπόμνυμι καὶ τὸν πολύτιμον σταυρὸν τοῦ
Χριστοῦ συμπαραλαμβάνω τῷ νῷ καὶ τὸν ἀκάνθινον στέ-
φανον καὶ τοὺς ἥλους καὶ τὴν λόγχην ἐκείνου τὴν διατρήσα- 15
σαν τὴν δεσποτικὴν καὶ ζωοποιὸν πλευρὰν πρὸς σέ, τὸν
κράτιστον καὶ ἅγιον ἡμῶν βασιλέα κύριον Ἀλέξιον τὸν Κομ-
νηνὸν καὶ τὸν συμβασιλεύοντά σοι τριπόθητον κύριον Ἰω-
άννην τὸν πορφυρογέννητον, ὡς πάντα τὰ συμπεφωνημένα
καὶ εἰρημένα ἀπὸ τοῦ στόματός μου φυλάξω καὶ ἀπαράβατα 20

1. ἡμετέρου F, ὑμετέρου P. Συριάθεν F, Συριόθεν P. 2. εἰς F, πρὸς P. 5. χρυσοβούλλῳ F, χρυσοβούλλου P. 8. παρ' ἐμοῦ πρὸς ὑμᾶς F, πρὸς ὑμᾶς παρ' ἐμοῦ P. 11. παναγέστατα F, παναγιώτατα P. 12. ἐσαγήνευσε F, ἐσαγήνευσαν P. 13. τοῦτο F. 17. κύριον F, κύριν P. 18. συμβασιλεύοντα F, συμβασιλεύσαντα P. κύριον F, υἱὸν κύριν P.

rator fuit, accipere debeo per aliquem legatum nostrum e Syria cum litteris meis ad vos in regiam urbem mittendum, ut meo nomine illa accipiat. ac vos quidem semper augusti imperatores et Sebasti Augustique imperii Romanorum observabitis, quaecumque in bulla aurea piae maiestatis vestrae conscripta sunt, et promissis omnibus stabitis. ego vero hoc iureiurando ea, de quibus vobiscum conveni, firmo sancioque. iuro enim per dolores Christi salvatoris impassibilis et per invictam eius crucem, quam pro salute omnium pertulit, perque ea, quae coram video, sacrosanctissima evangelia, quae orbem universum in rete incluserunt; nam manu his imposita iusiurandum iuro pretiosissimamque Christi crucem mente simul comprehendo spineamque coronam et clavos et lanceam, quae dominicum eius vivificansque latus perforavit: tibi potentissimo et sacro nostro imperatori domino Alexio Comneno et regni socio desideratissimo domino Ioanni porphyrogenito omnia me pacta et ore meo prolata custoditurum et inviolata in omne tempus servaturum, quaeque maiestati

διατηρήσω μέχρι παντὸς καὶ τὰ ὑπὲρ τοῦ κράτους ὑμῶν καὶ νῦν φρονῶ καὶ εἰσέτι φρονήσω μηδ' ἄχρι ψιλῆς ἐπινοίας C κακόηθες ἢ δολερὸν πρὸς ὑμᾶς ἐνδεξόμενος, ἀλλ' ἐμμενῶ τοῖς ὑπ' ἐμοῦ συμπεφωνημένοις καὶ καθ' οἱονδήτινα τρό-
5 πον οὔτε ψευδορκήσω πρὸς ὑμᾶς οὔτε εἰς ἀθέτησιν τῶν ὑπεσχημένων χωρήσω οὔτε πρὸς ἄσπονδόν τι ἐπινοήσομαι οὔτε αὐτὸς ἐγὼ οὔτε οἱ σὺν ἐμοὶ πάντες καὶ ὁπίσοι τῆς ἐμῆς ἐξουσίας εἰσὶ καὶ τὸν χορὸν τῶν ἐμῶν στρατιωτῶν ἀπαρτίζουσιν· ἀλλὰ καὶ ὑπὲρ * τῶν σῶν ἐχθρῶν θωρακισού-
10 μεθα καὶ ἀροῦμεν ὅπλα καὶ δόρατα καὶ τοῖς σοῖς φίλοις ἐμβαλοῦμεν τὰς δεξιάς· καὶ πάντα τὰ πρὸς ὠφέλειαν καὶ τιμὴν τῆς τῶν Ῥωμαίων ἀρχῆς καὶ ἐπινοήσω καὶ καταπράξομαι. οὕτως ὀναίμην τῆς τοῦ Θεοῦ βοηθείας, οὕτω τοῦ D σταυροῦ καὶ τῶν θείων εὐαγγελίων.

15 Ταῦτα ἐγράφη τε καὶ οἱ ὅρκοι συνετελέσθησαν παρουσίᾳ τῶν ὑπογεγραμμένων μαρτύρων κατὰ μῆνα Σεπτέμβριον δευτέρας ἐπινεμήσεως ἔτους ἤδη διαρρυϊσκομένου ϛχιζʹ.

Οἱ μέντοι παρουσιάσαντες μάρτυρες καὶ ὑπογεγραφότες, ὧν ἐναντίον ταῦτα τετέλεστο, εἰσὶν οὗτοι· οἱ θεοφιλέστατοι V. 329
20 ἐπίσκοποι, ὅ τε Ἀμάλφης Μαῦρος καὶ ὁ τοῦ Τεραντοῦ Ῥενάρδος καὶ οἱ σὺν αὐτῷ κληρικοί· ὁ εὐλαβέστατος καθηγούμενος τῆς ἐν Λογγιβαρδίᾳ σεβασμίας μονῆς τοῦ ἁγίου Ἀν-

3. ἐνδεξόμενος scripsi: ἐνδειξόμενος P. 4. ὑπ' F, παρ' P. 9. lacunam signavi. 12. καὶ ἐπινοήσω F, καὶ om. P. 16. Σεπτέβριον P, correxi. 17. διαρρυϊσκομένου F, διαρυϊσκομένου P.

vestrae utilia sunt, et nunc curare et in posterum curaturum neque vel minimam suscepturum odii aut fraudis ullius in vos cogitationem, sed omnibus a me promissis staturum nec ullo umquam modo adversum vos me peieraturum aut promissa mea irrita facturum aut quidquam contra foedus excogitaturum neque me ipsum neque meorum quemquam, quicumque mihi subiecti sunt militumque meorum numerum efficiunt. sed pro * adversus hostes tuos loricas induemus armaque tollemus ac lanceas et amicis tuis amicas iniciemus dextras; omniaque ad utilitatem honoremque imperii Romani et excogitabo et perficiam. sic me deus adiuvet, sic crux et divina evangelia. haec scripta sunt et iuramenta praestita praesentibus subscriptis testibus mense Septembri indictionis secundae anni iam desinentis sexies millesimi sexcentesimi decimi septimi. sunt autem praesentes testes, qui his subscripserunt, et coram quibus illa perfecta sunt, hi qui sequuntur: deo gratissimi episcopi Amalfis Maurus et Tarenti Renardus quique cum eo erant clerici; religiosissimus praepositus venerandi in Longibardia monasterii sancti Andreae in

δρέου, τῆς ἐν τῇ νήσῳ τοῦ Βρεντησίου, καί τινες αὐτῶν δύο
P. 416 μοναχοί· οἱ ἄρχοντες τῶν περεγρίνων, ὧν τὰ μὲν σίγνα αὐτοὶ διεχάραξαν οἰκειοχείρως, τὰ δὲ τούτων ὀνόματα διὰ χειρὸς τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἀμάλφης τοῖς σίγνοις προσπαρεγράφησαν, ὃς καὶ πρέσβυς παρὰ τοῦ πάπα πρὸς 5 τὸν αὐτοκράτορα ἐληλύθει. οἱ ἀπὸ τῆς βασιλείου αὐλῆς· ὁ Σεβαστὸς Μαρῖνος, Ῥογέρης ὁ τοῦ Τακουπέρτου, Πέτρος
B Ἀλίφας, Γελίελμος ὁ Γανζῆ, Ῥιτζάρδος ὁ Πριντζίτας, Ἰοσφρὲ Μαλῆς, Οὐμπέρτος ὁ υἱὸς τοῦ Γραούλ, Παῦλος ὁ Ῥωμαῖος, οἱ ἐκ τῶν Δακῶν ἥκοντες ἀποκρισιάριοι παρὰ τοῦ κράλη 10 καὶ συμπενθέρου τῆς βασιλείας, Ζουπάνος ὁ Περῆς καὶ Σίμων, καὶ οἱ ἀποκρισιάριοι Ῥισκάρδου Σινισκάρδου, Βασίλειος νωβελλίσιμος ὁ εὐνοῦχος καὶ Κωνσταντῖνος νοτάριος."

Τὸν μὲν οὖν ἔγγραφον ὅρκον τοῦτον ὁ αὐτοκράτωρ παρὰ τοῦ Βαϊμούντου ἔλαβεν, ἀντιδέδωκε δὲ πρὸς αὐτὸν 15 τὸν εἰρημένον ἄνωθεν χρυσόβουλλον λόγον ἐνσεσημασμένον διὰ κινναβάρεως, ὡς ἔθος, διὰ βασιλικῆς δεξιᾶς.

2. πελεγρίνων C. 6. βασιλικῆς C. 7. Τακουπέρτου Ducangius: Τακουτέρτου P, Τακοτέρτου C. 8. Ἀλίφας F. Ῥιτζάρδος FC, Ῥιντζάρδος P. Πριντζίτας FC, Πρινιζίττας P. 9. Μαλή C. Ῥαούλ Ducangius. 10. ἐκ τῶν FC, τῶν om. P. ἀποκρισιάροι P, correxi. κράλη F, κράλι P. 11. συμπένθεροι C. 13. νωβελλίσιμος F. νωβελίσιμος P. 16. ἐνσεσημασμένον FAC, ἐνσημασμένον P. 17. κινναβάρεως FA, κιναβάρεως P.

Brundisii insula siti et duo eorum monachi; principes peregrinorum, qui signa sua ipsorum manu pinxerunt: eorum nomina manu deo dilectissimi episcopi Amalfis sub eorum signis subscripta sunt, qui etiam legatus a papa ad imperatorem venerat. ex aula regia adfuerunt Sebastus Marinus, Rogerius Tacuperti filius, Petrus Aliphas, Guilelmus Ganze, Ritzardus Printzitas, Iosphre Males, Umpertus Graulis filius, Paulus Romanus, qui ex Dacis venerunt apocrisiarii a Crale, consocero maiestatis, Zupanus Peres et Simon, et apocrisiarii Riscardi Siniscardi, Basilius nobilissimus eunuchus et Constantinus notarius."

Hoc igitur literis mandatum iusiurandum imperator a Boëmundo accepit. dedit autem ei vicissim auream, quam supra memoravimus, bullam, quam rubro colore, ut mos est, imperatoria manus subsignaverat.

ΑΛΕΞΙΑΣ ΙΔ.

ALEXIADIS LIBER XIV.

ARGUMENTUM.

Boëmundi mors. Philocales ad restaurandas Asiae civitates missus Turcas vincit (1). *Alexius in Tancredum bellum differt. Balduinus a Tyro paene occupata repellitur* (2). *imperator in Cherronesum profectus fines imperii munire studet. classis Latinorum re infecta revertitur* (3). *podagra Alexii eiusque causae* (4). *itur in Turcas. Camytze victo captoque imperator de iis victoriam reportat* (5). *caesis duobus Romanorum ducibus iterum Turcae fuganter. Camytzes ex vinculis effugit Cpolinque mittitur* (6). *quomodo Anna historiam conscripserit. vita domestica Alexii* (7). *de Philippopoli urbe multisque eius haereticis. quorum insaniae mederi studet Alexius* (8). *Comani traiecto Istro repelluntur. haereticos conversos large donat imperator, punit renitentes* (9).

1. Τῶν οὖν δεδογμένων τῷ αὐτοκράτορι πέρας ἐσχη- P. 419
κότων τὴν ἐκτεθεῖσαν ἀνωτέρω ἔγγραφον συμφωνίαν ἐνόρ- V. 332
κως ὁ Βαϊμοῦντος βεβαιωσάμενος τῶν ἱερῶν εὐαγγελίων
προτεθέντων καὶ τῆς λόγχης, δι' ἧς τὴν τοῦ σωτῆρος ἡμῶν
5 πλευρὰν οἱ ἄνομοι ἐξεκέντησαν, τὴν πρὸς τὴν ἐνεγκαμένην

2. ἐνόρκως A, ἔνορκος P. 3. βεβαιωσάμενος F, βεβοιωσάμενος P.

1. His ita de imperatoris sententia finitis, cum prolatis sanctis evangeliis et lancea, qua salvatoris nostri latus impii pupugerunt, Boëmundus conventionis instrumentum, quod supra descripsimus,

ἐπάνοδον ᾔτεῖτο ἀναθέμενος πάντας τοὺς ὑπ' αὐτὸν τῇ ἐξουσίᾳ καὶ γνώμῃ τοῦ αὐτοκράτορος ἀξιῶν ἅμα ἐντὸς τῆς τῶν Ῥωμαίων ἐπικρατείας παραχειμάσαι τούτους τῶν χρειωδῶν δαψιλῶς ἐπιχορηγουμένων αὐτοῖς, ἐπὰν δὲ ὁ χειμὼν παρέλθοι καὶ τῶν πολλῶν κόπων ἑαυτοὺς ἀνακτήσαιντο, 5
B ὅπου βουλητὸν αὐτοῖς, συγχωρηθῆναι ἀπελεύσεσθαι. ταῦτα αἰτησάμενος καὶ τὸν αὐτοκράτορα συγκατατιθέμενον ταῖς τούτων αἰτήσεσιν εἶχεν εὐθύς. τιμηθεὶς οὖν τηνικαῦτα τῷ τῶν σεβαστῶν ἀξιώματι καὶ χρήματα λαβὼν ἱκανὰ πρὸς τὸ οἰκεῖον ἐπανέτρεχε στράτευμα. συναπῄει δὲ τούτῳ καὶ Κων- 10 σταντῖνος ὁ Εὐφορβηνὸς ὁ τὴν προσηγορίαν Καταχαλών, ὡς μή τι κατὰ τὴν ὁδὸν δεινὸν παρά τινων στρατιωτῶν τῶν ἡμετέρων ταγμάτων αὐτῷ συμβαίη, ἀλλὰ μᾶλλον πρόνοιαν τοῦ στρατοπέδου αὐτοῦ ποιήσαιτο ἔν τε προσήκοντι τόπῳ καὶ ἀκινδύνῳ στρατοπεδεύοντος καὶ ἐνδεχομένας τὰς αἰτή- 15 σεις παρέχοι αὐτοῖς. καταλαβὼν οὖν τὴν ἰδίαν παρεμβολὴν
C καὶ παραδοὺς τὸ στράτευμα τοῖς ἐπ' αὐτῷ τούτῳ ἀπεσταλμένοις παρὰ τοῦ αὐτοκράτορος εἰς μονήρες εἰσελθὼν τὴν Λογγιβαρδίαν κατέλαβεν. οὐ πλείω δὲ τῶν ἓξ μηνῶν ἐπιβιοὺς τὸ κοινὸν ἀπεδεδώκει χρέος. ὁ δὲ αὐτοκράτωρ τῆς 20 τῶν Κελτῶν ἔτι φροντίδος εἴχετο· καὶ τὰ κατ' αὐτοὺς εὖ διαθέμενος τῆς πρὸς τὸ Βυζάντιον φερούσης ἥψατο. ἐπανελ-

9. τοῦ σεβαστοῦ A. 11. ὁ ante Εὐφορβηνὸς add. m. 1 F. 13. μᾶλλον F, μᾶλλων P. 16. αὐτοῖς F, αὐτῷ C, αὐτοῦς sic P. παρεμβολὴν] παρεμ in ras. F. 17. αὐτὸ τοῦτο A. 20 sq. οὐκέτι τῆς τῶν Κελτῶν φροντίδος εἴχετο A. 21. καὶ om. A. 22. καὶ ἀπὸ διαβόλεως ἀναστὰς (ἐκεῖ γὰρ ἐσχήνου, ὅτι τὰς μετὰ τοῦ βαϊμούνδου συμφωνίας πεποίητο) τῆς A.

iure iurando firmasset, in patriam redire cupiit relictis in arbitrio ac potestate imperatoris copiis suis omnibus, quibus volebat in Romanorum terris hiberna praeberi resque ad victum necessarias liberaliter suppeditari, tum transacta hieme, ubi ex multis laboribus se recrearint, liberam fore quo vellent abeundi potestatem. talia petenti Augustus statim omnia concessit eique praeter sebasti dignitatem pecunias quoque multas in sua castra revertenti tribuit. prosecutus euntem est Constantinus Euphorbenus cognomento Catacalo, partim ne qua ei ab exercitus nostri militibus iniuria in via inferretur, partim idque potissimum ut salubribus tutisque castris designandis Gallici exercitus curam gereret eorumque aequis postulatis obsequeretur. sic Boëmundus ad suos reversus, ubi exercitum iis tradidit quos imperator ad id ipsum delegarat, monere conscensa Longibardiam petiit; nec amplius sex mensibus post commune debitum solvit. imperatorem vero detinuit aliquamdiu cura Gallorum; tandem rebus eorum bene dispositis iter Byzantium versus

θὼν δὲ οὐ πρὸς ἀνέσεις καὶ ἀναπαύλας ἀνέκλινεν ὅλως, ἀλλὰ λογιζόμενος αὖθις, ὅπως τὰ κατὰ τὴν παραλίαν τῆς Σμύρνης καὶ μέχρις αὐτῆς Ἀτταλείας οἱ βάρβαροι τελείως ἠρίπωσαν, ἐν δεινῷ ἐποιεῖτο, εἰ μὴ καὶ τὰς πόλεις αὖθις ἐς
5 τὴν προτέραν ἐπαναγάγοι κατάστασιν καὶ τὸν πρώην ἀπο- D
δοίη κόσμον καὶ τοὺς ἁπανταχῇ σκεδασθέντας ἐποίκους αὐταῖς ἐπανασώσοιτο. οὐ μὴν ἀλλ' οὐδὲ περὶ τῆς τοῦ Ἀττάλου ἀμεριμνίαν εἶχεν, ἀλλὰ πολλὴν ἐποιεῖτο τὴν περὶ αὐτῆς φροντίδα. ὁ Φιλοκάλης οὖν Εὐμάθιος (ἀνὴρ δὲ οὗτος ἐπη-
10 βολώτατος καὶ τῶν ἐπιφανῶν οὐ γένει μόνον, ἀλλὰ καὶ φρονήσει τῶν πολλῶν διαφέρων, ἐλευθέριος καὶ γνώμην καὶ χεῖρα, πιστὸς μὲν πρὸς Θεὸν καὶ τοὺς φίλους, πρὸς δὲ τοὺς δεσπότας εὔνους εἴπερ τις ἄλλος, τῆς μέντοι στρατιω- P. 420
τικῆς παιδείας πάμπαν ἀμύητος· οὔτε γὰρ τόξον καὶ νευρὰν
15 ἐπὶ μαζὸν ἕλκειν ᾔδει οὔτε θυρεῷ σκέπεσθαι· τἆλλα δὲ δεινότατος, λόχους τε ἐφιστᾶν καὶ διὰ παντοίων μηχανημάτων τοὺς πολεμίους ἡττᾶν) οὗτος προσελθὼν τῷ αὐτοκράτορι τὴν τῆς Ἀτταλείας φρουρὰν ἐπιμελῶς ᾐτεῖτο. γινώσκων οὖν τὸ ποικίλον τῶν αὐτοῦ νοημάτων τε καὶ ἐγχειρήσεων
20 ὁ αὐτοκράτωρ καὶ τὴν συμπαρομαρτοῦσαν αὐτῷ εὐτυχίαν, ἥτις ποτέ ἐστί τε καὶ λέγεται (οὐδὲ γὰρ οἱαδήτινι ἐπιβα- V. 333
λὼν ποτε πράξει διημάρτηκε τοῦ σκοποῦ), πείθεται διὰ B

3. μέχρις FA, μέχρι P. Ἀτταλίας A. 4. ἠρείπωσαν A. καὶ F, om. AP. τὰς πόλεις αὖθις εἰς τὴν AP, ἐς τὰς πόλεις αὖθις τὴν F. 9. ἐπηβολώτατος FA, ἐπιβολώτατος P. 14. πάμπαν FA, πάνυ P. 16. λόχους FC, λόγους AP. 18. Ἀττάλου C. ᾔτει C. 22. ἐξημάρτηκε A.

capessivit domumque redux minime in segnitiem remissionesque declinavit, sed animo reputans devastatam a barbaris a Smyrna usque ad Attaliam Asiae oram probro sibi fore credidit, nisi florentes olim civitates illas in pristinam felicitatem restituisset et ubique dispersos cives in eas reduxisset. nec profecto Attali urbem neglexit, sed magnam ei curam impendit. Philocales igitur Eumathius, qui animi promptissimi erat, non genere solum illustris, sed etiam prudentia plerisque praestans, liber animo atque alacer consilio manuque, deo fidelis et amicis, dominis ut qui maxime benevolus, militarium vero exercitationum plane rudis, ut neque arcus nervum ad mammam attrahere nec scuto se tutari posset, ceterum aptissimus ad insidias parandas et variis hostes artibus vincendos, is igitur ad imperatorem accedens etiam atque etiam Attaliae urbis praefecturam sibi poposcit. imperator, qui mentem hominis ad excogitanda exequendaque omnia paratam felicitatemque, qualiscumque ea est diciturve, perpetuam eius comitem esse norat (neque enim quidquam aggressus ferebatur,

ταῦτα καὶ δυνάμεις ἀποχρώσας αὐτῷ δίδωσι πολλὰ ὑποθέμενος καὶ ἐντειλάμενος ἐν πᾶσι νουνεχεῖ τὰς ἐπιχειρήσεις ποιεῖσθαι. ὁ δὲ καταλαβὼν τὴν Ἄβυδον αὐτίκα τὸν ἀναμεταξὺ διαπλωϊσάμενος πορθμὸν καταλαμβάνει τὸ Ἀτραμύτιον. πόλις δὲ πρώην μὲν ἦν πολυανθρωποτάτη· ὁπηνίκα 5 δὲ ὁ Τζαχᾶς τὰ κατὰ τὴν Σμύρνην ἐληΐζετο, καὶ αὐτὴν παντελῶς ἐριπώσας ἠφάνισε. τὸν γοῦν παντελῆ ἀφανισμὸν τῆς τοιαύτης θεασάμενος πόλεως, ὡς δοκεῖν μηδὲ ἄνθρωπον κατοικῆσαί ποτε ἐν αὐτῇ, παραχρῆμα ἀνῳκοδόμησέ τε καὶ εἰς τὸ πρότερον ἀποκατέστησε σχῆμα τούς τε ἐποίκους ἁπαν- 10 C ταχόθεν ἀνεκαλέσατο, ὁπόσοι τέως τῶν αὐτοχθόνων ἐσώζοντο, καὶ ἐξ ἀλλοδαπῶν πολλοὺς μεταπεμψάμενος ἐνῴκισέ τε καὶ τὸν πρότερον ἀποδεδώκει κόσμον. πυθόμενος δὲ περὶ τῶν Τούρκων καὶ μεμαθηκὼς κατὰ τὴν Λάμπην τούτους τῷ τότε ἐνδιατρίβειν ἀπόμοιραν τῶν ὑπ' αὐτὸν δυνά- 15 μεων ἀποδιελόμενος ἐξέπεμψε κατ' αὐτῶν. οἳ καὶ καταλαβόντες αὐτοὺς καὶ πόλεμον καρτερὸν μετ' αὐτῶν συνάψαντες τὴν νικῶσαν εἶχον παραυτίκα· ἀπηνῶς δὲ τοῖς Τούρκοις τοσοῦτον ἐχρήσαντο, ὡς καὶ τὰ νεογνὰ τούτων εἰς λέβητας ἐμβαλεῖν καχλάζοντας· πολλοὺς δὲ καὶ ἔκτειναν καὶ ζωγρίαν 20 D ἄγοντες πρὸς τὸν Εὐμάθιον χαίροντες ἐπανῄεσαν. οἱ δέ γε καταλειφθέντες Τοῦρκοι μελενδυτήσαντες καὶ τὰς σφῶν

2. νουνεχεὶ F, νουνεχῶς P. 6. δὲ A, om. P. τὰ AC, τὸ P. Σμύρνην AF, Σμύρναν P. 7. ἐρειπώσας A. ἠφάνισε A, ἠφάνισεν P. 10. ἀποκατέστησε A, ἀπεκατέστησε P. 16. αἳ καὶ καταλαβοῦσαι C. 17. συνάψασαι C. 19. τοσοῦτον om. AC. 20. ζωγρίαν F, ζωγρείαν P. 22. τὰ C.

quod non confecisset), annuit petenti ac multa monens mandansque, ut quidvis consilio susciperet, idoneis eum copiis instruxit. qui Abydum statim profectus freto traiecto Atramytium se contulit. fuit ea populosissima olim civitas, sed Tzachas, cum Smyrnae oram vastaret, eam penitus evertit ac delevit. quapropter Philocales, ubi talem urbem penitus deletam conspexit, ut nemo in ea umquam habitasse videretur, extemplo eam reficere aggressus priorem ei speciem restituit civesque eius et indigenas, quotquot adhuc fortuna servarat, undecumque convocavit ac multis etiam aliunde arcessitis pristinum urbi ornatum reddidit. nuntiato autem esse Turcas circa Lampen partem ex copiis suis delegit in eosque dimisit; qui eos aggressi acri certamine commisso primo impetu superant. tam crudeliter vero victoria usi sunt, ut Turcarum parvulos in ferventes lebetes inicerent; caesisque tum plurimis captisve laeti ad Eumathium redeunt. at Turcae superstites, quo cladem ipso habitu popularibus suis testaren-

συμφορὰς ἐξ αὐτῶν ἀμφίων παριστάναι τοῖς ὁμοφύλοις βουλόμενοι ἅπασαν τὴν ὑπὸ τῶν Τούρκων κατεχομένην διῄεσαν χώραν γοερὸν ἀνοιμώζοντες καὶ τά σφισιν αὐτοῖς ξυμπεσόντα δεινὰ διηγούμενοι κἀκ τῶν ἀμφίων ἅπαντας εἰς οἶκτον 5 παρακινοῦντες καὶ πρὸς ἄμυναν ἐρεθίζοντες. ὁ δὲ Εὐμάθιος τὴν Φιλαδέλφειαν καταλαβὼν ἔχαιρεν ἐπὶ τῇ εὐτυχίᾳ τοῦ ἐγχειρήματος. ἀρχισατράπης δέ τις Ἀσὰν τὴν κλῆσιν, P. 421 ὁ τὴν Καππαδοκίαν κατέχων, τοῖς αὐτόχθοσι καθαπερεὶ ἀργυρωνήτοις χρώμενος, μεμαθηκὼς τὰ τοῖς ἤδη ῥηθεῖσι 10 Τούρκοις ξυμπεσόντα τὰς οἰκείας δυνάμεις ἀναλαβόμενος καὶ ἑτέρωθεν πολλοὺς μεταπεμψάμενος, ὡς ἐς εἴκοσι πρὸς ταῖς τέσσαρσι χιλιάδας παραστῆναι τὸ ὑπ' αὐτὸν στράτευμα, κατ' αὐτοῦ ἔξεισι. δεινὸς δὲ ὢν ἀνὴρ ὁ Εὐμάθιος, ὡς εἴρηται, οὐκ ἀμελῶς τὴν Φιλαδέλφειαν ᾤκει οὐδ' ἀναπεπτώ-15 κει εἴσω τῶν ταύτης τειχῶν γεγονώς, ἀλλὰ σκοπούς τε ἁπανταχῇ ἔπεμπε καὶ ἵνα μὴ ἀμελοῖεν, αὐτοῖς προσέπεμπεν ἄλλους καὶ πρὸς ἐγρήγορσιν ανηρέθιζεν, ὥστε παννύχους B ἐγρηγορέναι καὶ τὰς ἀμφόδους καὶ τὰς πεδιάδας περιαθρεῖν. τούτων οὖν τις πόρρωθεν τὸ Τουρκικὸν θεασάμενος στρά-20 τευμα δρομαῖος αὐτῷ προσελθὼν ἀπαγγέλλει. ὁ δὲ φρενήρης ὢν καὶ ὀξὺς τὸ δέον συνιδεῖν καὶ ἐν ἀσκέπτῳ χρόνῳ πέρας τοῖς λογισμοῖς διδόναι, ἐπεὶ μὴ ἀποχρώσας πρὸς τοσαύτας

1. συμφορὰς FA, om. P. 11. ὡς ἐς F, ὡς om. P. 12. ὑπ' αὐτὸν] αὐτοῦ C. 16. αὐτοῖς A, αὐτοὶ P. 17. ἐγρήγορσιν FA, ἐγρηγόρησιν P.

tur, pullis vestibus induti cunctas circumibant regiones a Turcis occupatas miserrime querentes et quae sibi acerba contigissent narrantes; quorum lugubris haec species et ad misericordiam et ad vindictam omnes incitavit. interim Eumathius Philadelphiam se contulerat ob successus felicitatem laetissimus. archisatrapa vero quidam, Asan nomine, qui Cappadociam obtinebat indigenisque ut mancipiis utebatur, cum illa Turcarum mala audivisset, confestim et suis et aliis aliunde copiis usque ad quatuor et viginti millia militum contractis contra Eumathium proficiscitur. is, quem acrem virum diximus, minime securus considebat Philadelphiae nec se segnitiae intra eius moenia dabat, sed exploratoribus in omnia loca dimissis, ne essent neglegentes, postea alios submisit, qui ad vigilandum eos excitarent, ita ut totas noctes ad vias camposque vigilias agerent. horum igitur qui primus forte Turcarum exercitum conspexit, celeriter advolans Eumathio id nuntiat. ille praesentissimi animi vir deliberationisque velocis, qui consultationes uno momento corriperet, cum in tantum exercitum haud satis copiarum sibi adesse sensisset, communiri om-

ἔχειν ἐγνώκει δυνάμεις, παραχρῆμα ἁπάσας τὰς πύλας ταυτησὶ τῆς πόλεως ἀσφαλισθῆναι ἐκέλευε καὶ μηδένα τὸ παράπαν ἐς τὸ τεῖχος συγχωρεῖσθαι ἀνιέναι μήτε μὴν κραυγάζειν
C ὅλως μήτε αὐλοὺς ἢ κιθάρας ἠχεῖν· καὶ ἁπλῶς ἐν τοιούτῳ
V. 334 σχήματι τὴν πόλιν κατεστήσατο, ὥστε πάντη ἀοίκητον δο- 5 κεῖν τοῖς διερχομένοις. ὁ δὲ Ἀσὰν καταλαβὼν τὴν Φιλαδέλφειαν τῷ οἰκείῳ περιζώσας τὰ τείχη στρατεύματι ἐπὶ τρισὶ παρέμεινεν ἡμέραις. ὡς δὲ οὐδεὶς τῶν ἐντὸς ἄνωθεν προκύπτων ἐφαίνετο, αἱ δὲ πύλαι εἶχον ἀσφάλειαν, ἑλεπόλεις δὲ οὐ παρῆσαν αὐτῷ οὐδὲ πετροβόλα ὄργανα, νομίσας 10 ὀλίγον εἶναι τὸ τοῦ Εὐμαθίου στράτευμα καὶ διὰ τοῦτο μηδὲ ἀποθαρρεῖν τὴν ἐξέλευσιν πολλὴν ἀσθένειαν καταψη-
D φισάμενος τῶν ἐντὸς ἄλλην ἀτραπὸν ἐτράπετο καταπεφρονηκὼς αὐτοῦ παντάπασι. δέκα γοῦν χιλιάδας τοῦ ἰδίου στρατεύματος διελὼν κατὰ τοῦ Κελβιανοῦ ἐξαπέστειλεν, ἑτέ- 15 ρας δὲ ..... ὡς πρὸς Σμύρνην καὶ τὸ Νύμφαιον, τὰς δέ γε ἐπιλοίπους πρὸς τὰ Χλιαρὰ καὶ τὴν Πέργαμον· ἅπαντας δὲ εἰς προνομὰς ἀποστείλας συνείπετο καὶ αὐτὸς τοῖς πρὸς τὴν Σμύρνην ἀπερχομένοις. ὁ μέντοι Φιλοκάλης διαγνοὺς τὸ τοῦ Ἀσὰν ἐπιχείρημα ἁπάσας τὰς ὑπ' αὐτὸν δυνάμεις κατὰ τῶν 20 Τούρκων ἀπέστειλεν. οἱ καὶ διώκοντες τοὺς πρὸς τὸ Κελβιανὸν ἀπελθόντας ὑπνώττοντας ἀπεριμερίμνως καταλαμβά-

2. ἐκέλευε FC, ἐκέλευσε AP. 3. ἐς F, εἰς AP. 7. καὶ τῷ AP, καὶ om. F. 8. verba τῶν ἐντὸς, quae P post πύλαι habet, huc transposui. 9 sq. ἑλεπόλεις... ὄργανα om. C. 11. τοῦτο] το add. m. 1 F. 12. καὶ πολλὴν P, καὶ om. FA. 15. 21. Κελβ. C, Κερβ. P. 16. lacunam quinque litterarum agnoscit F: in AP nulla lacuna. τὸ AC, τὸν P. 17. χλιερὰ A. 19. τὴν Σμύρναν A, lacuna septem litterarum in F, **** P. 22. ὑπνώττοντας F. om. AP. ἀπεριμερίμνους A.

nes Philadelphiae portas nec quemquam moenia ascendere neque clamare nec tibia citharave sonum edere iubet, verum ita urbem instituit, ut praetereuntibus plane deserta videri posset. Asan vero se admovit Philadelphiae ac triduum cinctae a suis urbi assedit, cumque neminem eorum qui intus erant de muro prospicientem portasque obstructas (deerant vero ballistae ei et catapultae) videret, putans Eumathii exercitum parvum esse ideoque non audere erumpere eumque propter infirmitatem spernens aliam viam iniit. nam hoste prorsus contempto decem suorum millia contra Cerbianum, alia * Smyrnam versus et Nymphaeum, reliquos in Chliara Pergamumque misit; hos omnes ad praedandum emisit ipseque eos qui ad Smyrnam proficiscebantur subsecutus est. at Philocales cognitis Asanis inceptis quotquot copias habuit in Turcas irruere iubet; nostrique eos, qui Cerbianum tendebant, persecuti secure dormientes occupant et pugna diluculo inita

νουσι καὶ ἐπεισπεσόντες τούτοις αὐγαζούσης ἡμέρας ἀφειδῶς P. 422
κατέσφαττον· τοὺς δὲ παρ' αὐτῶν κατεχομένους δορυαλώτους
ἐρρύσαντο ἅπαντας. κἄπειτα τοὺς πρὸς τὴν Σμύρνην καὶ
τὸ Νύμφαιον ἀπερχομένους Τούρκους ἐδίωξαν· διεκδραμόντες
5 δὲ καί τινες ἀπό τε τοῦ ἔμπροσθεν μέρους καὶ ἐξ ἑκατέρων
κεράτων τὸν κατ' αὐτῶν συγκροτήσαντες πόλεμον κατὰ
κράτος ἐνίκησαν. καὶ πολλοὺς μὲν κτείνουσι, πολλοὺς δὲ
καὶ ζωγρίαν ἄγουσιν· οἱ δέ γε καταλειφθέντες ὀλίγοι πάνυ
φεύγοντες ταῖς δίναις τοῦ Μαιάνδρου ἐμπεσόντες εὐθὺς
10 ἀπεπνίγησαν. ποταμὸς δὲ οὗτος περὶ Φρυγίαν, σκολιώτατος B
ποταμῶν ἁπάντων καὶ καμπὰς συνεχεῖς ποιούμενος. θαρ-
ρήσαντες δὲ κἀπὶ τῇ δευτέρᾳ νίκῃ τοὺς ἐπιλοίπους ἐδίωκον.
ἀλλ' οὐδὲν αὐτοῖς ἐγένετο πλέον τῶν Τούρκων φθασάντων
πορρωτάτω γενέσθαι τούτων. εἶθ' οὕτως ἐπανῆλθον πρὸς
15 Φιλαδέλφειαν. ὁ δέ γε Εὐμάθιος τούτους θεασάμενος καὶ
μεμαθηκώς, ὡς ἐκθύμως ἠγωνίσαντο σπεύδοντες μηδένα
τῶν χειρῶν αὐτῶν ἐκφυγεῖν, δαψιλῶς αὐτοὺς φιλοτιμησά-
μενος μεγάλας καὶ ἐς τὸ ἔμπροσθεν ὑπισχνεῖτο τὰς χάριτας.

2. Μετὰ δὲ τὴν τοῦ Βαϊμούντου τελευτὴν ἐπειδὴ
20 ὁ Ταγγρὲ τῆς Ἀντιοχείας περιεδράξατο καὶ ὡς δια- C
φέρουσαν αὐτῷ ἐλογίζετο παντάπασι τὸν αὐτοκράτορα
ταύτης ἀλλοτριῶν, ὁ βασιλεὺς ἐν ταὐτῷ κατανοῶν καὶ
τοὺς ἐπὶ τῇ πόλει παρασπονδουμένους ὅρκους τῶν

3. σμύρναν A. 4. τὸ FAC, τὸν P. 8. ζωγρίαν FA, ζωγρείαν P. 11. θαρρήσαντες AC, θαρσήσαντες P. 12. κἀπὶ F, καὶ ἐπὶ P, κἂν A. 13. ἐγένετο AF, ἐγίνετο P. 14. πορρωτάτω F, πορρωτέρω P, ὡς πορρωτέρω A. 18. ἐς F, εἰς AP. 19. ante μετὰ quattuor litterarum spatium in F. 22. ἐν ταὐτῷ scripsi: ἐνταῦθα P. 23. σπενδομένους C.

obtruncant quosque illi ceperant libertate omnes donant. deinde Turcarum eos, qui Smyrnam Nymphaeumque petebant, persequuntur. atque nonnulli celerius profecti et ex adverso et ab utroque latere graviter aggressi eos egregie vincunt. multos nostri caedunt, multos etiam capiunt; pauci superstites praecipiti fuga in Maeandri vertices illati statim perierunt. perfluit is amnis Phrygiam, fluviorum omnium obliquissimus et crebris se flexibus contorquens. erecti animo nostri altera hac victoria reliquos etiam insequuntur; quibus tamen nimio intervallo progressis cum nihil amplius profecissent, Philadelphiam redeunt. eos simul ac conspexit Eumathius fortiterque pugnasse audivit atque id maxime egisse, ne quem sibi hostium elabi sinerent, largiter eos remuneratus magnas etiam in posterum gratias promisit.

2. At Boëmundo defuncto cum Tancredus Antiochiam mordicus teneret et imperatorem inde arcens plane propriam sibi duceret, imperator reputans et violata illa de hac urbe Francorum istorum

βαρβάρων τουτωνὶ Φράγγων καὶ ὅτι αὐτὸς πολλὰ μὲν ἀνη-
λώκει χρήματα, πολλὰ δ' ἐπεπόνθει δεινὰ τά τε μυριοπληθῆ
ἐκεῖνα στρατεύματα ἐκ τῆς ἑσπέρας εἰς τὴν Ἀσίαν διαβιβάζων,
καίτοι δυστραχηλοτάτοις αὐτοῖς ἐντυγχάνων ἀεὶ καὶ καταπί-
V. 335 κροις ἀνδράσι, πολλὰ δὲ Ῥωμαϊκὰ στρατεύματα τούτοις 5
D συνεκπέμπων κατὰ τῶν Τούρκων, δυεῖν ἕνεκα, τοῦτο μέν,
ἵνα μὴ Τουρκικῆς μαχαίρας παρανάλωμα γένοιντο (ἐκήδετο
γὰρ αὐτῶν ὡς Χριστιανῶν), τοῦτο δ', ὅπως καὶ ὑφ' ἡμῶν
συγκροτούμενοι τὰς μὲν πόλεις τῶν Ἰσμαηλιτῶν ὀλοθρεύοιεν,
τὰς δὲ καὶ ὑποσπόνδους τοῖς βασιλεῦσι Ῥωμαίων διδοῖεν 10
κἀκ τούτου τὰ σχοινίσματα τῶν Ῥωμαίων πλατύνοιντο, ἀπήν-
τησε δὲ οὐδὲν ὄφελος ἀπὸ τῶν τοσούτων καμάτων καὶ πόνων
P. 423 καὶ δωρεῶν τῇ Ῥωμαίων ἡγεμονίᾳ, ἀλλὰ τῆς τε Ἀντιόχου
πόλεως ἀπρὶξ εἴχοντο τῶν τε ἄλλων πολισμάτων ἡμῖν οὐ
μετεδίδοσαν, φέρειν οὐκ εἶχεν οὐδ' ὅλως ἠνείχετο μὴ οὐχὶ 15
ἀντιδρᾶσαι τὰ χείρω καὶ τῆς τοιαύτης ἀπανθρωπίας αὐτοὺς
ἀμύνασθαι. τὸ γὰρ ἐκεῖνον μὲν εἶναι τὰς ἀμυθήτους ἐκείνας
δωρεὰς καὶ τοῦ χρυσοῦ τοὺς θημῶνας καὶ τὴν ἀνυπέρβλητον
ὑπὲρ αὐτῶν φροντίδα καὶ τῶν παρ' αὐτοῦ συνεργῶν αὐτοῖς
πεμφθέντων στρατευμάτων τὰ πλήθη, τὴν δὲ βασιλείαν 20
Ῥωμαίων μηδὲν ἐντεῦθεν ἀπόνασθαι, τοὺς δὲ Φράγγους

1. ὅτι F, ὅτ' P. 5. Ῥωμαϊκὰ στρατεύματα F, στρατεύματα Ῥωμαϊκὰ P. 6. δυεῖν F, δυοῖν P. 8. ὑφ' F, ἀφ' P. 9. μὲν addidi. 10. διδοῖεν scripsi: διδόναι P. 17. ἐκείνας δωρεὰς F, δωρεὰς ἐκείνας P. 18. τοὺς FC, τὰς P. 19—21. καὶ τῶν παρ' ... ἀπόνασθαι in mg. add. m. 1 F. 19. αὐτοῖς F, αὐτοῦ P.

barbarorum iuramenta et tot sumptus laboresque a se impensos, cum. quamvis superbe proterveque ea gens se gessisset, innumerabilia eius agmina ex occidentalibus terris in Asiam deportasset iisque multos Romanorum exercitus contra Turcas adiunxisset (fecerat id partim christiana ductus caritate, ne Turcarum gladiis interirent, partim ut a nobis adiuti Ismaelitarum urbes alias everterent, alias imperatoribus Romanis ex foedere redderent itaque fines imperii promoverentur), ex tantis igitur molestiis laboribusque et muneribus nihil imperio Romano fructus redundasse reputans ac vel Antiochiam istos mordicus tenere nec reliqua Romanis oppida reddere, ferre diutius non potuit, quin mala referret tantamque eorum inhumanitatem ulcisceretur. Tancredi enim utilitati esse innumera illa dona aurique acervos et curam illam immensam multitudinesque exercituum his a se auxilio missorum, Romanum autem imperium nihil inde commodi

λογίζεσθαι τὸ ἐκνίκημα ἴδιον τὰς πρὸς αὐτῶν συνθήκας καὶ B
τοὺς ὅρκους ἀθετήσαντας καὶ παρ' οὐδὲν λογισαμένους διεσ-
πάραττεν αὐτοῦ τὴν ψυχήν, καὶ οὐκ εἶχεν ὅπως ἐνέγκοι
τὴν ὕβριν. ἔνθεν τοι καὶ διαπρεσβεύεται πρὸς τὸν Ἀν-
5 τιοχείας ἄρχοντα Ταγγρὲ διεγκαλῶν αὐτῷ τὴν ἀδικίαν καὶ
τὴν τῶν ὅρκων παράβασιν καὶ ὡς οὐκ ἂν ἀνάσχοιτο μέχρι
τέλους καταφρονούμενος, ἀλλὰ μετελεύσεται τοῦτον καὶ τῆς
εἰς Ῥωμαίους ἀχαριστίας· δεινὸν γὰρ ἂν εἴη καὶ πέρα δει-
νῶν, εἰ χρημάτων μὲν ἀνηλώκει καὶ πλείω παντὸς ἀριθ-
10 μοῦ, δυνάμεις δὲ συνεξαπέστειλε τὰς περιφανεστέρας τῶν
Ῥωμαϊκῶν συνταγμάτων ἕνεκα Συρίας ἁπάσης καὶ τῆς Ἀν- C
τιοχείας αὐτῆς σπεύδων ὅλῃ χειρὶ καὶ γνώμῃ τὰ ὅρια πλα-
τῦναι τῆς Ῥωμαίων ἀρχῆς, ὁ δὲ Ταγγρὲ κατατρυφῴη τῶν
ἐκείνου καὶ χρημάτων καὶ πόνων. ταῦτα διαπρεσβευσαμένου
15 τοῦ αὐτοκράτορος ὁ ἐμμανὴς ἐκεῖνος καὶ θεοπλὴξ βάρβαρος
οὐδ' ἄκροις ὠσὶν ἀνασχόμενος τῆς τε ἀληθείας τῶν λόγων
καὶ τῆς παρρησίας τῶν πρέσβεων εὐθὺς τὰ τοῦ γένους
ἐποίει καὶ ὑπ' ἀλαζονείας ὀγκούμενος ὑπεράνω τῶν ἄστρων
θήσειν τὸν θρόνον ἠλαζονεύετο καὶ τοῦ δόρατος τῇ ἀκμῇ
20 διατετραίνειν ἠπείλει τὰ τείχη τὰ Βαβυλώνια ἔλεγέ τε διαρ- D
ρήδην καὶ ἐξετραγῴδει τὴν δύναμιν, ὡς ἀπτόητός ἐστι καὶ
ἀκατάσχετος τὴν ὁρμήν, καὶ οὐδ' ἄν, εἴ τι γένοιτο, μεθήσειν

2. ἀθετήσαντας C, ἀθητήσαντας P. 5. καὶ τὴν τῶν ὅρκων in ras. m. 1 F. 9. ἀνηλώκει F, ἀναλώκει P. 13. τῆς τῶν P, τῶν om. F. 20. διατετρήνειν AP, correxi. 22. ἂν γένοιτο P, ἂν om. F.

cepisse, Francos vero foederibus iuramentisque abolitis et pro nihilo habitis praedam suam dicere: haec igitur omnia animum eius excruciabant, ita ut facere non posset quin diutius insolentiam non perferret. quocirca legatione ad Tancredum Antiochiae ducem missa iniuriae eum violatique iurisiurandi accusat addens, se non toleraturum amplius ab eo se sperni, sed tandem ingratum ipsius adversus Romanos animum ulturum: turpe enim et adeo plus quam turpe sibi videri, cum ipse toto animo Romani imperii fines augere studens innumeras impendisset pecunias delectissimasque suas copias ad Syriam omnem ipsamque Antiochiam debellandam Gallis adiunxisset, Tancredum ipsius et sumptibus et laboribus perfrui. ita perorantibus imperatoris legatis furiosus ille ac fanaticus barbarus, qui ne summis quidem auribus veritatem orationis legatorumque libertatem pati posset, vanitate, ut gens eius assolet, efflatus supra astra se thronum suum locaturum et hastae cuspide Babylonios muros percussurum iactavit. gloriabatur etiam grandiloquis verbis sua potentia, cui nihil terrorem inicere aut resistere posset; nec se ullo modo de An-

τὴν Ἀντιόχειαν διϊσχυρίζετο, κἂν ἐμπύρους φέροιεν χεῖρας οἱ μέλλοντες πρὸς αὐτὸν ἀντιμάχεσθαι· καὶ ἑαυτὸν μὲν εἶναι τὸν Νῖνον τὸν μέγαν τὸν Ἀσσύριον καὶ ὥσπερ τινὰ γίγαντα μέγαν καὶ ἀνυπόστατον καὶ ἄχθος ἀρούρης ἑστῶτα τῇ γῇ,

P. 424 τοὺς δὲ Ῥωμαίους ξύμπαντας μύρμηκας ἐλογίζετο καὶ τῶν 5

V. 336 ζώων τὰ ἀσθενέστατα. ἐκεῖθεν δὲ τῶν πρέσβεων ἐπανελθόντων καὶ τὴν τοῦ Κελτοῦ ἀπόνοιαν διηγησαμένων πλήρης ὁ βασιλεὺς ἐγεγόνει θυμοῦ καὶ οὐκέτι καθεκτὸς ἦν, ἀλλ' ἤθελε παραχρῆμα τὴν Ἀντιόχου ἀναζητεῖν. συναγαγὼν οὖν τοὺς ἐλλογιμωτάτους τοῦ στρατιωτικοῦ καταλόγου καὶ ἅπαν- 10 τας τοὺς τῆς συγκλήτου βουλῆς βουλὴν ἐξ ἁπάντων ᾔτειτο. ἅπαντες δὲ τηνικαῦτα ἀνένευον πρὸς τὴν κατὰ τοῦ Ταγγρὲ τοῦ αὐτοκράτορος ἀπέλευσιν δέον λέγοντες πρότερον τοὺς

B ἄλλους ὑποποιήσασθαι κόμητας τοὺς κατὰ τὰς περικειμένας τῇ Ἀντιόχου πόλει ἐξουσιάζοντας καὶ αὐτὸν δὴ τὸν ῥῆγα 15 Ἱεροσολύμων Βαλδουῖνον καὶ τὰς τούτων γνώμας πειρᾶσαι, εἰ συνεπαρῆξαι ἀπελθόντι αὐτῷ βούλοιντο κατὰ τῆς Ἀντιόχου, καὶ εἰ μὲν γνοίη τούτους κατὰ τοῦ Ταγγρὲ ἔχοντας, τότε ἀποθαρρῆσαι τὴν κατ' αὐτοῦ ἔλευσιν, εἰ δὲ μή, ἄλλως μετελθεῖν τὰ κατὰ τὴν Ἀντιόχου. ὁ δὲ αὐτοκράτωρ τὴν 20 βουλὴν ταύτην ἐπαινέσας αὐτίκα μεταπεμψάμενος Μανουὴλ τὸν Βουτουμίτην καί τινα ἕτερον τῆς Λατινικῆς εἰδήμονα

3. Νῖνον scripsi: νοῦν AP; scilicet Ninus idem esse dicebatur atque Nimrod; cf. e. c. Chron. pasch. I 50. 6. ἐκεῖσε C. 11. βουλὴν ἐξ ἁπάντων ᾔτειτο F, ἐξ ἁπάντων ᾔτειτο βουλὴν P. 13. ἐπέλευσιν C. 17. αὐτῷ βούλοιντο scripsi: αὐτῷ βούλοιτο F, βούλοιτο αὐτῷ P. Ἀντιόχου F, Ἀντιοχείας P. 21. καὶ αὐτίκα P, καὶ om. F.

tiochia destiturum affirmabat, etiamsi mitterentur in se milites igneas manus gerentes: sese enim magnum esse Ninum Assyrium et veluti immensum invictumque gigantem ac terrae onus non posse de loco depelli, Romanos autem omnes formicarum animaliumque maxime imbecillium instar esse. inde reversi legati cum insaniam Galli retulissent, imperator ira accensus amplius teneri non potuit, quin confestim Antiochiam pergeret; convocatosque ob id praecipuos e militari ordine senatoresque universos, quid sentirent, rogavit. verum omnes imperatoris in Tancredum expeditionem improbarunt dixeruntque, prius adsciscendos ceteros comites, qui circumiacentes Antiochiae civitates obtinerent, atque ipsum etiam Hierosolymorum regem Balduinum, eorumque animos experiundos esse, ecquid ei subvenirent, si Antiochiam peteret. tum si omnes contra Tancredum conspirarent, confidenter eum posse illum aggredi, sin minus, Antiochenam controversiam alia ratione transigendam. his consiliis imperator probatis Manuelem Butumiten et alium quendam linguae

διαλέκτου πρὸς τοὺς κόμητας καὶ τὸν ῥῆγα Ἱεροσολύμων C
ἐξέπεμψε πολλὰ τούτοις ὑποθέμενος, περὶ ὧν αὐτοῖς τε χρὴ
ὁμιλῆσαι καὶ αὐτῷ δὴ τῷ ῥηγὶ Ἱεροσολύμων Βαλδουίνῳ. ἐπεὶ
δὲ καὶ χρεία χρημάτων ἀποστολῆς πρὸς αὐτοὺς ἀπαραίτητος
5 ἦν διὰ τὸ τῶν Λατίνων ἐρασιχρήματον, προστάγματα πρὸς
τὸν τηνικαῦτα δοῦκα Κύπρου Εὐμάθιον τὸν Φιλοκάλην
ἐνεχείρισε τῷ Βουτουμίτῃ διαλαμβάνοντα, ὅπως καὶ πλοῖα
δοίη τούτοις ὁπόσων ἐν χρείᾳ γένοιντο· ἅμα δὲ παρεκελεύετο
τούτῳ καὶ χρήματα πολλὰ καὶ παντοδαπὰ καὶ ἀπὸ πάσης
10 ἰδέας καὶ εἰκονίσματος παντοδαπῶν ποιοτήτων εἰς τὰς πρὸς D
τοὺς κόμητας δόσεις. ἐπέσκηψε δὲ τοῖς ἤδη ῥηθεῖσι καὶ
μᾶλλον Μανουὴλ τῷ Βουτουμίτῃ, ὡς ἂν τὰ μὲν χρήματα
ἀναλαβόμενοι ἀπὸ τοῦ Φιλοκάλου εἰς Τρίπολιν προσορμί-
σωσι τὰς ἰδίας ναῦς καὶ θεασάμενοι Πελκτράνον κόμητα
15 τὸν υἱὸν τοῦ Ἰσαγγέλη, περὶ οὗ ἐν πολλοῖς ὁ λόγος ἐμνήσθη,
ἀναμνήσωσι τῆς τοῦ πατρὸς αὐτοῦ πίστεως, ἣν πρὸς τὸν αὐ-
τοκράτορα ἐτήρησεν, ἅμα δὲ καὶ τὰς βασιλικὰς ἐγχειρίσωσιν
αὐτῷ γραφὰς καὶ ἐξείποιεν πρὸς αὐτὸν ὡς "οὐ χρή σε δεύ-
τερον τοῦ ἰδίου πατρὸς ὀφθῆναι, ἀλλ' ὁμοίαν καὶ αὐτὸν τὴν
20 πρὸς ἡμᾶς διατηρῆσαι πίστιν. ἐμὲ δὲ ἴσθι καταλαμβάνειν P. 425
ἤδη τὴν Ἀντιόχειαν ἑαυτὸν ἐκδικήσοντα εἰς τὸν μήτε εἰς
Θεὸν μήτε εἰς ἐμὲ τοὺς φρικτοὺς ἐκείνους τηρήσαντα ὅρ-
κους. σὺ δὲ πρὸς τῷ μηδαμῶς αὐτῷ ἐπαρῆξαι σπεῦσον καὶ

2. ἐξέπεμψεν P, correxi. 7. πλοῖα F, πλεῖα PA. 8. γένοιτο A. 10. παντοδαπῶν ποιοτήτων om. A. πρὸς τὰς εἰς A. 14. Πεκτράνον C. 16. ἀναμνήσωσι F, ἀναμιμνήσκουσι P. 17. ἐγχειρίζουσιν C. 21. ἐκδικήσαντα P, correxi.

latinae peritum arcessivit eosque et ad comites et ad Hierosolymorum regem delegavit; quos accurate docuit, quid cum comitibus ipsoque Balduino rege agendum esset. ad hoc, quoniam intellexit cum avara Latinorum gente nihil sine pecunia effici posse, datis Butumitae litteris ad Eumathium Philocalen Cypri tunc ducem mandat huic, ut et naves quotquot opus essent et pecunias quam plurimas omnis metalli, generis, qualitatis, formae, ad dona comitibus facienda legatis daret. iisdem insuper legatis inprimisque Manueli Butumitae commendavit, ut acceptis a Philocale pecuniis ad Tripolin primum appellerent viserentque Pelctranum comitem Isangelis illius filium, cuius saepe supra mentio facta est, cui refricarent memoriam illius fidei, quam pater eius imperatori servasset; simul quoque imperatorias ei epistulas redderent addentes haec: "Non inferior patre tuo appareas oportet, verum eandem quam ille fidem erga nos serves. me quidem scito Antiochiam nunc proficisci ultionem de eo sumpturum, qui et deum et me contemnendo horrenda illa iuramenta laesit. tu

τοὺς κόμητας πρὸς τὴν ἡμετέραν πίστιν ἐφελκύσασθαι, ὡς
μὴ διὰ οἱουδήτινος τρόπου ἀντιλήψεσθαι τοῦ Ταγγρέ."
καταλαμβάνουσι τοιγαροῦν τὴν Κύπρον καὶ ἀναλαβόμενοι
ἐκεῖθεν τὰ χρήματα καὶ ὁπόσας ἤθελον νῆας εὐθὺ Τριπό-
λεως πλέουσι. προσορμίσαντες δὲ εἰς τὸν αὐτῆς λιμένα τὰς 5
B ναῦς καὶ τῶν νηῶν ἀποβεβηκότες ἐντυγχάνουσι τῷ Πελκτράνῳ
καὶ ἀπεστομάτισαν ὁπόσα πρὸς τοῦ βασιλέως παρηγγέλθη-
σαν. ὡς δὲ τοῦτον ἐπιρρεπῆ τε καὶ ἕτοιμον πρὸς πᾶν θέ-
λημα τοῦ αὐτοκράτορος ἑώρων καὶ θάνατον ὑπὲρ αὐτοῦ
V. 337 προθύμως ἑλέσθαι, εἰ καὶ τούτου δεήσει, ἐπαγγελλόμενον 10
ναὶ μὴν καὶ εἰς προσκύνησιν αὐτοῦ ἐληλυθέναι, ἐπειδὰν ἐν
τοῖς μέρεσι τῆς Ἀντιόχου ἀφίκηται, μετὰ τῆς αὐτοῦ γνώ-
μης ἅπερ ἐπεφέροντο χρήματα εἰς τὴν ἐπισκοπὴν Τριπόλεως
ἐναπέθεντο κατὰ τὰς τοῦ αὐτοκράτορος ὑποθήκας. ἐδεδίει
C γὰρ μὴ ἐπιφερομένους αὐτοὺς τὰ χρήματα οἱ κόμητες δια- 15
γνόντες αὐτὰ μὲν ἀναλάβωνται, τοὺς δὲ κενοὺς ἀποπέμψαιεν,
τοῖς δὲ χρήμασιν ὑπὲρ ἑαυτῶν καὶ τοῦ Ταγγρὲ χρήσαιντο.
δέον οὖν ἐλογίσατο κενοὺς ἀπελθόντας πρότερον τὴν αὐτῶν
ἐκπειρᾶσαι γνώμην ἀπαγγείλαντας ἅμα καὶ ὅσα παρὰ τοῦ
αὐτοκράτορος ἐμηνύθη αὐτοῖς καὶ τὴν τῶν χρημάτων δόσιν 20
ὑποσχέσθαι καὶ ὅρκον ἐξ αὐτῶν ἀπαιτῆσαι, εἴ που τέως τοῖς
τοῦ αὐτοκράτορος θελήμασιν ὑπεῖξαι βούλοιντο, κᾆθ' οὕτως

4. ἐκεῖθεν F, ἐκεῖσε P. 6. ἀποβεβηκότες F, ἐπιβεβηκότες P. πελκτράνῳ C, Πλεκτράνῳ P. 12. Ἀντιοχείας C. 18. ἐλογίσατο F, ἐλογίσαντο P. 22. κᾆθ' F, καὶ εἶθ' P.

ergo noli ei opem ferre, sed fac comites in nostram fidem adsciscas, ne ullo modo illi Tancredi partes suscipiant." veniunt igitur legati in Cyprum sumptisque pecuniis et quotquot voluerunt navibus recta Tripolin versus navigant. ad eius urbis portum appulsi egressique navibus Pelctranum conveniunt eique quae ab imperatore mandata erant coram exponunt. quem cum benevolum et ad omnem imperatoris voluntatem, quin etiam ad mortem pro eo, si opus esset, oppetendam paratum invenissent atque insuper affirmantem, se, ubi primum imperatorem in agrum Antiochenum pervenisse audiverit, ipsius venerandi causa eo profecturum esse, quas pecunias afferebant, eius consensu in episcopali aula Tripoli deposuerunt. sic enim imperator iis praeceperat quippe veritus, ne comites, si in notitiam venirent pecuniae, erepta ea legatisque vacuis dimissis pecunia pro se et Tancredo uterentur. quare satius esse duxit, legatos sine pecunia antea eorum mentes temptare et quaecumque ab imperatore indicata essent, nuntiare pecuniarumque largitiones pollicitos iuramentum eos poscere et tum demum, cum imperatoris voluntati oboedituri

τὰ χρήματα αὐτοῖς ἐγχειρίσαι. οἱ μὲν οὖν ἀμφὶ τὸν Βουτουμίτην ταῦτα εἰς τὴν ἐπισκοπὴν Τριπόλεως ἐναπέθεντο, D καθά γε καὶ εἴρηται. ὁ δὲ Βαλδουῖνος μεμαθηκὼς περὶ τῆς τουτωνὶ τῶν πρέσβεων εἰς Τρίπολιν ἀφίξεως τηνικαῦτα
5 Σιμοῦντον τὸν ἴδιον ἐξάδελφον ἐφέσει χρημάτων προαρπάζων τὴν τούτων ἔλευσιν πέπομφε μετακαλούμενος αὐτούς. οἱ δὲ τὰ χρήματα αὐτοῦ που καταλιπόντες μετὰ τῆς τοῦ Πελκτράνου γνώμης εἵποντο τῷ ἀποσταλέντι ἐξ Ἱεροσολύμων Σιμοῦντῳ καὶ καταλαμβάνουσι τὸν Βαλδουῖνον πολιορ- P. 426
10 κοῦντα τὴν Τύρον. ὁ δὲ ἄσμενος αὐτοὺς ὑποδεξάμενος καὶ παντοίας φιλοφροσύνης ἀξιώσας, ἐπεὶ κατὰ τὴν ἀπόκρεω τοῦτον κατέλαβον, κατεῖχεν αὐτοὺς δι' ὅλης τῆς τεσσαρακοστῆς πολιορκῶν τὴν Τύρον, ὡς εἴρηται. ἐπεφρούρητο δὲ ἡ πόλις καὶ ἄλλοις μὲν ἀρραγέσι τείχεσι καὶ δὴ καὶ τρισὶ
15 προτειχίσμασι κύκλῳ ταύτην περιλαμβάνουσιν. ὁ μὲν γὰρ ἐξώτατος κύκλος περιεῖχε τὸν δεύτερον, οὗτος δὲ τὸν ἐνδοτάτω καὶ τρίτον. καὶ ἦσαν καθάπερ τινὲς κύκλοι ἀλλήλους περιλαμβάνοντες καὶ περιζωννύντες τὴν πόλιν. ἀλλ' ὅ γε B Βαλδουῖνος ἔγνω πρότερον τὰ προτειχίσματα ταῦτα κατα-
20 βαλεῖν, εἶθ' οὕτω τὴν πόλιν ἑλεῖν· οἷα γάρ τινα θωράκια τῆς Τύρου προβεβλημένα τὴν πολιορκίαν ἀπεῖργον. ὁ δὲ διά τινων μηχανημάτων πορθητικῶν τήν τε πρώτην καὶ δευτέ-

3. καθάγε F, καθάπερ P. καὶ εἴρηται F, καὶ om. P. 8. Πλεκτράνου P, correxi. 10. ἀσμένως A. ἀποδεξάμενος A. 15. μὲν γὰρ F, μὲν om. P. 16. ἐνδότατον C. 20. οὕτω F, οὕτως P.

essent, pecunias iis tribuere. Butumites igitur, ut diximus, Tripoli pecuniam in aula episcopali deponit. Balduinus autem audito imperatoris legatos Tripolin advenisse pecuniarum cupidus obviam misit extemplo eorum adventum occupaturus Simonem patruelem, qui eos ad se invitaret. hi pecuniis ibi Pelctrano consentiente relictis Simonem Hierosolymis missum sequuntur Balduinumque Tyrum obsidentem offendunt. is cum humanissime illos excepisset affecissetque multa benevolentia, quoniam circa carnisprivium venerant, tota eos quadragesima in castris suis ad Tyrum retinuit. erat ea urbs cum aliis protecta moenibus firmissimis, tum etiam circuitu trium murorum, qui ita eam circumcludebant, ut extremus ambitus alterum, hic intimum tertiumque amplecteretur omnesque velut orbes sese complecterentur urbemque cingerent. sed Balduinus, priusquam urbem caperet, antea sibi munimenta illa occupanda cognovit, quae quasi loricae Tyro circumdatae oppugnationem frustrarentur. iamque machinis quibusdam oppugnatoriis

ραν ζώνην καθεῖλε καὶ τῆς τρίτης ἀπεπειρᾶτο. καὶ δὴ τὰς ἐπάλξεις αὐτῆς καθελὼν ἐς τὸ ἐφεξῆς ἐρρᾳθύμηκεν. εἷλε γὰρ ἂν καὶ ταύτην, εἴπερ ἐπέσπευσεν. ἀλλὰ διά τινων κλιμάκων οἰόμενος μετὰ ταῦτα ἐπιβῆναι τῆς πόλεως καὶ ὡς ἤδη ταύτην ἔχων εἰς χεῖρας πρὸς τὴν πολιορκίαν ἀνέπεσεν. 5
C ὅπερ τοῖς Σαρακηνοῖς σωτηρίαν προὐξένησε· καὶ ὁ μὲν τῆς νίκης τυγχάνων ἐγγύθεν ἐξεκρούσθη παρὰ πολύ, αὐτοὶ δὲ
V. 338 ἐντὸς ἀρκύων τυγχάνοντες τῶν βρόχων ἀφήλλοντο. ὁ γὰρ μεταξὺ τῆς ἀμελείας τοῦ Βαλδουίνου χρόνος αὐτοῖς εἰς ἐπιμέλειαν γέγονεν ἀναπνεύσασι. πανουργεύονται δὲ καί τι 10 τοιοῦτον. τῷ μὲν δοκεῖν πρὸς εἰρηνικὰς σπονδὰς ἀφορῶσι καὶ διαπέμπονται πρὸς αὐτὸν τὴν εἰρήνην, ταῖς δὲ ἀληθείαις, ἐν ᾧ τὰ τῆς εἰρήνης ἐπραγματεύοντο, εἰς ἄμυναν ηὐτρεπίζοντο ἐκεῖνον μὲν μετέωρον ταῖς ἐλπίσι ποιοῦντες, αὐτοὶ δὲ
D μηχανάς τινας συρράπτοντες κατ' αὐτοῦ. ἑωρακότες γὰρ 15 ἀσχολίαν πολλὴν τοῦ πολέμου καὶ ἀναπεπτωκότας τοὺς ἔξωθεν στρατιώτας ἐν νυκτὶ μιᾷ πολλοὺς ἀμφορεῖς ὀστρακίνους ἐμπλήσαντες ὑγρᾶς πίττης ῥίπτουσι κατὰ τῶν ἐφισταμένων τῇ πόλει μηχανημάτων. ὧν ἐξ ἀνάγκης καταθρανσθέντων περιεκέχυτο τὸ τοιοῦτον ὑγρὸν τοῖς ξύλοις. οἷς ἐπερρίπτουν 20

2. καθελὼν F, καθελεῖν P. ἐς F, εἰς P. 5. ἀνέπεσεν F, ἐνέπεσεν P. 6. προσεξένησε C. 8. ἐντὸς ἀρκύων F, ἀρκύων ἐντὸς P. ἀφήλλοντο F, ἀφήλοντο P. 10. δέ τι καὶ P, correxi. 18. πίττης F, πίσσης P. 20. τὸ τοιοῦτον F, τὸ om. P.

usus primum alterumque circuitum plane diruerat et tertii, ad quem perrexerat, propugnacula corruperat, sed tum segnis factus est. nam et ipsum cepisset, si rem egisset studiosius; verum scalis postea existimans muros ascendi posse, quasi iam in manibus urbem haberet, oppugnandi contentionem remisit, quod quidem ita Sarazenis salutem praebuit, ut, qui victoriae proximus erat, longe ab ea summoveretur, qui vero quasi retibus tenebantur, e laqueis evolarent. etenim quod tempus socordiae Balduinus tribuit, id illi diligentissime ad vires reficiendas adhibent. etiam dolum machinantur: dum enim se foedera inire velle simulant ac de pace legatos mittunt, re vera per inducias defensionem parant; illum igitur spe suspensum dolis fallere conantur. magna enim belli desidia Gallorumque militum neglegentia animadversa una repente nocte fictilium amphorarum copiam, quas liquida pice impleverant, in machinas urbi imminentes coniciunt; quibus amphoris scilicet fractis cum machinarum ligna undique liquore circumfusa essent, ardentes in ea faces iaculan-

δᾳ̃δας ἡμμένας, εἶτ' αὖϑις ἑτέρους ἀμφορεῖς φέροντας ἔνδον πολλὴν τὴν νάφϑαν, ἣ ἐπιδραξαμένη τοῦ πυρὸς εὐϑύς τε εἰς ἀέριον μετέβαλε φλόγα καὶ τὰς μηχανὰς αὐτῶν ἀπετέ- P. 427 φρωσεν. ἅμα τε γὰρ ἡμέρα διέλαμπε καὶ τὸ πῦρ συνεξέ-
5 λαμπεν ἀπὸ τῶν ξυλίνων χελωνῶν εἰς αἰϑέρα πυργούμενον. καὶ οἱ μὲν περὶ τὸν Βαλδουῖνον τὰ τῆς ῥᾳϑυμίας εἶχον ἐπίχειρα οἷς ἠμέλουν μεταμελόμενοι· ὁ γὰρ καπνὸς αὐτοὺς καὶ τὸ πῦρ τὸ γεγονὸς ἀνεδίδασκεν· ἑάλωσαν δὲ καί τινες τῶν περὶ τὰς χελώνας ὄντων, ἓξ στρατιῶται τὸν ἀριϑμόν, οὓς
10 ὁ Τύριος ἐκεῖνος ϑεασάμενος ἀρχηγὸς καὶ τὰς κεφαλὰς ἀποκόψας διὰ πετροβόλων ὀργάνων τῷ στρατεύματι τοῦ Βαλδουίνου ἀπεσφενδόνησε. ταῦτα ϑεασάμενοι τὸ στράτευμα πᾶν καὶ τὸ πῦρ καὶ τὰς κεφαλὰς μετ' ἐκπλήξεως ἔφευγον B τοῖς ἵπποις ἐποχηϑέντες ὥσπερ ὑπὸ τῶν κεφαλῶν ἐκείνων
15 ἐκδειματούμενοι, καίτοι τοῦ Βαλδουίνου πανταχόϑεν ἐξιππαζομένου καὶ ἀνακαλουμένου τοὺς φε'γοντας καὶ παντοίως παραϑαρρύνοντος. ἀλλὰ γὰρ ᾖδε παρὰ κωφοῖς· ἐκεῖνοι γὰρ καϑάπαξ ἐκδεδωκότες ἑαυτοὺς εἰς φυγὴν ἀκατασχέτως εἴχοντο τοῦ δρόμου καὶ πτηνοῦ παντὸς ἐφαίνοντο ταχινώτεροι. καὶ
20 τέλος τοῦ δρόμου τούτοις τὸ φρούριον Ἄκε ἐγχωρίως καλούμενον· ἐκεῖνο γὰρ ἐγεγόνει τοῖς δειλοῖς δρομεῦσιν ἐκείνοις κρησφύγετον. ἀπειπάμενος δ' οὖν καὶ ὁ Βαλδουῖνος καὶ τοῖς

7. μεταμελόμενοι F, μεταμελούμενοι P. 10. ἀργηγὸς P, correxi. 12. ἀπεσφενδόνησε F, ἀποσφενδόνησε P. 21. δρομεῦσιν ἐκείνοις F, ἐκείνοις δρομεῦσι P.

tur. tum alias amphoras naphthae plenas igni alendo ingerunt; quo factum est, ut flamma confestim sublime elata machinae in cineres mutarentur. itaque cum prima luce ignis quoque e ligneis testudinibus aetherem versus turris instar se efferens inluxit. id Balduini militibus praemium levitatis fuit, cuius, postquam fumus iis et ignis rem indicavit, valde eos poenituit. capti etiam erant circa machinas Gallorum milites sex numero, quibus praefectus ille Tyrius ad se ductis capita praecidit eaque in Balduini castra ballistis iaculatus est. iam ut vidit exercitus ignem et capita, cuncti velut capitibus illis consternati summa perturbatione equis conscensis fugiunt Balduino frustra ubique obequitante fugientesque officii monente ac multimodis exsuscitante. sed surdis ea cecinit; qui in fugam semel effusi nihilo segnius, immo maiori avibus celeritate ferebantur, donec arx tandem Ace ab indigenis dicta, quae timide fugientibus asylum praeberet, meta trepidationis fuit. desperans igitur omnia Balduinus et inops consilii licet invitus fugientes sequitur atque ipse quoque in

C ὅλοις ἐξαπορήσας καὶ ἄκων τοῖς φεύγουσιν εἵπετο καὶ πρὸς
τὴν εἰρημένην πόλιν καὶ οὗτος ἀπεδραπέτευσεν. ὁ δέ γε
Βουτουμίτης εἰσελθὼν εἰς τὰς Κυπρίους τριήρεις (δυοκαί-
δεκα δὲ ἦσαν αἱ πᾶσαι) καὶ παραπλέων τὰς ἀκτὰς τῆς πρὸς
τὸ Ἄκε φερούσης κεῖθι τὸν Βαλδουῖνον καταλαμβάνει καὶ 5
ἅπαντα τηνικαῦτα ἀπήγγειλεν, ὁπόσα ὁ αὐτοκράτωρ πρὸς
αὐτὸν ἀπαγγεῖλαι παρεκελεύσατο· προσεπιβαλὼν δὲ τοῖς
λόγοις καὶ τὸν βασιλέα μέχρι Σελευκείας ἐφθακέναι ἔλεγε.
τὸ δὲ ἄρα ἀληθὲς μὲν οὐκ ἦν, ἀλλά τις οἰκονομία, ἵν' οὕτω
καταπλήξῃ τὸν βάρβαρον καὶ ταχὺ ἀπολύσῃ ἐκεῖθεν αὐτόν. 10
ἀλλὰ τὸ δρᾶμα τὸν Βαλδουῖνον οὐκ ἔλαθε, καὶ πολλὰ τοῦ-
D τον ὡς ψευσάμενον κατεμέμψατο. προέφθη γάρ παρά του
τὰ κατὰ τὸν αὐτοκράτορα μεμαθηκέναι, ὡς εἰς τὸν μακρὸν
ἐξεληλύθει αἰγιαλόν, ὡς τὰς ληϊζομένας παρὰ τὴν θάλασσαν
κατέσχε ληστρικὰς ναῦς, ὡς νοσήσας ἐκεῖθεν ὑπεχώρησε, 15
V. 339 καθά γε δὴ σαφέστερον ὁ λόγος κατωτέρω δηλώσειε. ταῦτα
τῷ Βουτουμίτῃ ὁ Βαλδουῖνος ἀντειρηκὼς καὶ ὡς ψευσάμενον
ὑπὸ μέμψιν ἀγαγὼν ἔφη "μετ' ἐμοῦ χρὴ μέχρι τοῦ ἁγίου
τάφου ἐληλυθέναι κἀκεῖθεν τὰ ἡμῖν συνδόξαντα μετὰ πρέσ-
P. 428 βεων ἐμῶν δηλωθήσεται τῷ αὐτοκράτορι." ἅμα γοῦν τῷ 20
τὴν ἁγίαν πόλιν καταλαβεῖν ἐπεζήτει ἐξ αὐτῶν τὰ παρὰ τοῦ
βασιλέως ἀποσταλέντα οἱ χρήματα. ὁ δὲ Βουτουμίτης "εἴπερ

3. κυπρίας A. 7. ἀπαγγεῖλαι F, παραγγεῖλαι P. 10. ἐκεῖσε C. 11. ἔλαθε F, ἔλαθεν P. 12. γὰρ om. F. 15. ἐκεῖσε C. 17. τῷ Βουτουμίτῃ ὁ Βαλδουῖνος F, ὁ Βαλδουῖνος τῷ Βουτουμίτῃ P. 19. τάφου] στεφάνου C. 20. γὰρ C. 22. οἱ] αὐτῷ C.

eandem illam urbem confugit. Butumites autem Cyprias triremes ingressus, quae omnino duodecim erant, Ace versus oram praeternavigavit ibique Balduinum convenit, cui, quae imperator mandarat, omnia coram exposuit, addens etiam imperatorem iam Seleuciam usque processisse; quod quidem verum non erat, sed artificium quoddam, quo barbarum conturbaret efficeretque, ut ille cito eum dimitteret. res tamen Balduinum non latuit multumque eum, quod mentitus esset, obiurgabat. ante enim a quodam edoctus fuerat, quid ageret imperator: profectum eum in longum litus piratarum naves in eo mari depraedantes cohibuisse indeque morbo coactum recessisse, ut accuratius postea narrabimus. his cum Balduinus Butumitem facile refellisset, ob fraudem increpans "Volo" inquit "te venire mecum ad sanctum usque sepulcrum indeque missis legatis meis, quid nobis visum fuerit, imperatori exponetur." dein simulatque ad sanctum sepulcrum advenerunt, pecunias ille ab imperatore missas flagitavit. Butumites vero "Si ex iuramento," inquit "quo trans-

βοηθήσειν κατὰ τοῦ Ταγγρὲ τῷ αὐτοκράτορι αὐτοὶ ἐπαγγέλλεσθε τὸν ὅρκον, ὃν ἐν τῷ διέρχεσθαι πρὸς αὐτὸν ἐποιήσατε, φυλάττοντες καὶ τὰ πρὸς ὑμᾶς ἀποσταλέντα τηνικαῦτα λήψεσθε χρήματα". ὁ δὲ τὰ μὲν χρήματα λαβεῖν ἤθελε,
5 βοηθεῖν δὲ μὴ τῷ βασιλεῖ προθυμούμενος, ἀλλὰ τῷ Ταγγρέ, μὴ λαμβάνων τὰ χρήματα ἠνιᾶτο. τοιοῦτον γὰρ τὸ βάρβαρον ἅπαν ἦθος· πρὸς μὲν τὰς δωρεὰς κέχηνε καὶ τὰ χρήματα, πράττειν δὲ ὑπὲρ ὧν τὰ χρήματα δίδοται ἥκιστα βούλεται. γραφὰς οὖν ψιλὰς ἐγχειρίσας αὐτῷ ἀπέλυσεν. ἐν-
10 τετυχηκότες δὲ οἱ πρέσβεις καὶ τῷ κόμητι Ἰατζουλίνῳ κατὰ τὴν ἀναστάσιμον τοῦ σωτῆρος ἡμέραν εἰς προσκύνησιν τοῦ ἁγίου τάφου ἐληλυθότι καὶ αὐτῷ τὰ εἰκότα ὁμιλήσαντες, ἐπεὶ σύμφωνα τῷ Βαλδουίνῳ καὶ αὐτὸν λέγοντα ἑώρων, ἄπρακτοι ἐκεῖθεν ὑποχωρήσαντες καὶ μὴ ἐν τοῖς ζῶσι τῷ
15 Πελκτράνῳ ἐντυχόντες ἐπεζήτουν τὰ κατατεθέντα παρ' αὐτῶν εἰς τὴν ἐπισκοπὴν χρήματα. ὁ δὲ υἱὸς ἐκείνου καὶ ὁ Τριπόλεως ἐπίσκοπος ἀνεβάλλοντο τέως τὴν τῶν χρημάτων παροχήν. οἱ δὲ μετὰ ἀπειλῆς αὐτοῖς ἔλεγον "εἰ μὴ τὰ χρήματα ἡμῖν ἀποδοίητε, οὐκ ἐστὲ ἀληθεῖς δοῦλοι τοῦ βα-
20 σιλέως οὔτε τὴν εἰς αὐτὸν πίστιν φαίνεσθε ἔχοντες καθὼς ὅ τε Πελκτράνος καὶ ὁ τούτου πατὴρ Ἰσαγγέλης. λοιπὸν οὐδὲ τὴν ἀπὸ Κύπρου δαψιλῆ τῶν χρειωδῶν ἀρδείαν τοῦ

6. καὶ μὴ P, καὶ om. F. 13. σύμφωνα F, σύμφωνον P. αὐτὸν λέγοντα F, λέγοντα om. P. 15. Πλεκτράνῳ P, correxi. 21. Πελκτράνος P, Πελκράνος F, Πλεκτράνος Ci.

euntes imperatori vos obstrinxistis, opem ei in Tancredum promiseritis, statim pecunias accipietis." at ille pecunias quidem capere volebat, Tancredo autem, non imperatori auxiliari, molesteque ferebat, quod non dabantur: adeo suo more quaestum ac dona barbari concupiscunt, praestare vero ea, ob quae pecuniae tribuuntur, neutiquam volunt. itaque eum solis litteris datis dimisit. legati vero offendunt Iatzulinum comitem, qui die resurrectionis domini ad sanctum sepulcrum adorandi causa venerat, et cum eo agunt. sed cum ipsum haud diversa Balduino loquentem intellexissent, infectis rebus recesserunt Pelctranoque non iam in vivis reperto, quas pecunias in episcopali palatio deposuerant, repetierunt. sed Pelctrani filio et Tripolitano episcopo reddere eas cunctantibus illi minantes "Ni pecunias" aiunt "restituatis, vestro in imperatorem officio deestis neque ut Pelctranus ac pater eius Isangeles fidem servatis. itaque pro certo habetote, fore, ut in posterum nec annonae copia a Cypro insula nec ducis

λοιποῦ ἕξετε οὔτε μὴν ἐπαρήγοντα ὑμῖν τὸν δοῦκα Κύπρου κἀντεῦθεν λιμοῦ παρανάλωμα γενήσεσθε." ὡς δὲ πάντα κάλων κινοῦντες πῇ μὲν διὰ μειλιχίων λόγων, πῇ δὲ δι'
D ἀπειλῶν πειρώμενοι τὰ χρήματα ἀναλαβέσθαι οὐκ ἔπειθον, δεῖν ἐλογίσαντο τὸν υἱὸν τοῦ Πελκτράνου εἰς σώαν πίστιν 5 ὁρκίσαι τοῦ αὐτοκράτορος καὶ οὕτω τὴν πρὸς τὸν πατέρα αὐτοῦ ἀποσταλεῖσαν μόνην ἐπιδοῦναι αὐτῷ δωρεὰν ἀπό τε χαράγματος χρυσοῦ καὶ ἀργύρου καὶ πέπλων παντοίων. ὁ δὲ
P. 429 λαβὼν ταῦτα εἰς σώαν πίστιν ὀμωμόκει τοῦ αὐτοκράτορος. τὰ δέ γε λοιπὰ χρήματα ἀποκομίσαντες πρὸς τὸν Εὐμάθιον 10 δι' αὐτῶν ἐξωνήσαντο ἵππους τῶν εὐγενῶν ἀπό τε Δαμάσκου καὶ Ἐδέσης καὶ αὐτῆς Ἀραβίας. ἐκεῖθεν δὲ τό τε Συριακὸν πέλαγος καὶ τὸν Παμφύλιον παραμείψαντες κόλπον τὸν πλοῦν τε παρῃτήσαντο καὶ τὴν ἤπειρον ἀσφαλεστέραν τῆς θαλάττης ἡγησάμενοι πρὸς τὴν Χερρόνησον ἀφορῶσι 15 τὸν αὐτοκράτορα ἔχουσαν καὶ τὸν Ἑλλήσποντον διαβεβηκότες
V. 340 τὸν βασιλέα καταλαμβάνουσιν.
B 3. Ἐπεὶ γὰρ ἀλλεπάλληλοι τούτῳ αἱ φροντίδες νιφετοῦ δίκην ἐπήρχοντο, ἀπὸ μὲν τῆς θαλάσσης διὰ στόλου εὐτρεπιζομένων τῶν ἡγεμόνων Πίσσης τε καὶ Γενούας καὶ 20 Λογγιβαρδίας τὰ παρὰ θάλατταν ἅπαντα δῃώσασθαι, κἀκ τῆς ἠπείρου αὖθις ἐξ ἑῴας τοῦ Ἀμὴρ Σαϊσὰν καταλαμβανον-

5. Πελκτράνου P, Πλεκτράνου C. 7. ἀποδοῦναι C. 11. εὐσθενῶν C. 12. Ἐδέσης F, Ἐδέσσης PA. ἀραβίας FA, Ἀῤῥαβίας P. 14. πλοῦν τὲ FA, τε om. P. 15. θαλάττης FA, θαλάσσης P. χερόνησον F. 21. παραθαλάσσια πάντα C.

eius auxiliis iuvemini ideoque fame pereatis." dein omni ut aiunt fune moto, cum et blanditiis et minis Pelctrani filio, ut pecunias redderet, persuadere non potuissent, oportere censuerunt ei praestito solemni in imperatorem fidei iuramento, quam thesauri partem patri eius destinassent, cum aureos argenteosque nummos tum multifarias vestes, tradi. quibus ille acceptis, ubi in imperatoris nomen solemniter iuratus est, reliquas legati pecunias ad Eumathium deferunt iisque generosos equos e Damasco et Edessa ipsaque Arabia mercantur. hinc Syriacum pelagus ac Pamphylium sinum emensi navigatione omissa terrestri itinere, quod tutius habebant, Cherronesum petunt, ubi erat imperator, transitoque Hellesponto eum adeunt.

3. Etenim quasi grandine continuarum curarum obrutus, siquidem mari Pisae et Genuae Longibardiaeque principes totam oram classe parata vastare conabantur, in continenti vero ex orientali parte Amer Saisan

τος ἤδη κατὰ τῆς Φιλαδελφείας καὶ τῶν παραλίων μερῶν,
δεῖν καὶ αὐτὸς ἐξεληλυθέναι τῆς βασιλευούσης ἔγνω κἀκεῖθεν
παραγενέσθαι, οὗ δυνατὸν καὶ κατ' ἄμφω τὰ μέρη μάχεσθαι.
καταλαμβάνει τοίνυν τὴν Χερρόνησον, εἶτα ἀπανταχόθεν
5 ἀνακαλεσάμενος τὰς δυνάμεις ἀπό τε ξηρᾶς καὶ θαλάττης C
καὶ ἀποδιελὼν ἱκανὸν στράτευμα διὰ τοῦ Σκαμάνδρου μέχρις
Ἀτραμυτίου καὶ αὐτοῦ δὴ τοῦ Θρακησίου κατατίθησιν. εἶχε
μὲν τηνικαῦτα στρατηγὸν ἡ Φιλαδέλφεια Κωνσταντῖνον τὸν
Γαβρᾶν καὶ λαὸν ἀποχρῶντα πρὸς τὴν ταύτης φρουράν, τὸν
10 δὲ μιξοβάρβαρον Μοναστρᾶν, οὗπερ ἐν πολλοῖς ὁ λόγος
ἐμέμνητο, ἡ Πέργαμος καὶ τὰ Χλιαρὰ καὶ τὰ τούτοις παρα-
κείμενα πολίχνια, καὶ αἱ παρὰ θάλατταν ἕτεραι πόλεις ἄλλους
τόλμῃ καὶ πείρᾳ στρατηγικῇ διαφέροντας. πολλὴν δὲ τὴν D
πρὸς αὐτοὺς παραγγελίαν ὁ αὐτοκράτωρ ἐποιήσατο ἐγρηγο-
15 ρέναι διὰ παντὸς καὶ σκοποὺς ἁπανταχόθεν ἐκπέμπειν τοὺς
τὰς τῶν βαρβάρων ἐπιτηροῦντας διεκδρομὰς καὶ ἀπαγγέλ-
λοντας αὐτοῖς καθ' ὥραν. οὕτω μὲν οὖν τὰ κατὰ τὴν Ἀσίαν
ἀσφαλισάμενος πρὸς τοὺς θαλαττίους ἀπεῖδε πολέμους τοῖς
ναυτικοῖς ἐντειλάμενος, τοὺς μὲν τοῖς λιμέσι Μαδύτου καὶ
20 Κοίλων προσορμίσαι καὶ τὸν ἀναμεταξὺ πορθμὸν ἀνυστάκτως
φυλάττειν ἐκδρομάς τινας ποιουμένους διὰ δρομάδων κούφων
νηῶν καὶ τὰς τῆς θαλάττης κελεύθους ἀνυστάκτως ἐπιτηρεῖν

4. χερόνησον F. 5. ἀνακαλεσάμενος F, μετακαλεσάμενος P. 7. Ἀτραμυτίου scripsi: ἀτραμύτου F, Ἀτραμήτου P. 8. μὲν οὖν P, οὖν om. F. 11. Χλιερά C. 13. τολμῇ καὶ πείρᾳ στρατηγικῇ F, π. σ. κ. τ. P. 15. ἁπανταχόθεν F, πανταχόθεν P. 18. ἀπεῖδε F, ἐπεῖδε P.

iam Philadelphiam maritimasque regiones petebat, imperator ipsi sibi exeundum e regia urbe eoque accurrendum putavit, unde in utramque partem pugnaret. quare in Cherronesum profectus undique terrestres navalesque copias contraxit, ex quibus cum idoneas copias delegisset, per Scamandrum usque ad Atramytium Thracesiumque eas progredi iussit ibique consistere. erat tum Philadelphiae Constantinus Gabras praefectus cum sufficientibus praesidiis, Monastras vero mixobarbarus, de quo multa supra diximus, Pergamum et Chliara finitimasque arces, ceteras vero ad mare urbes alii obtinebant duces et rei militaris peritia et fortitudine praestantes. quos imperator nuntiis assidue monuit ut attenti essent et quoquoversum speculatores mitterent, qui hostium excursiones observarent celeriterque ipsis indicarent. sic Asiae rebus procuratis ad maritima se bella convertens nauticis edixit, ut partim Madyti et Coelorum portus occuparent, fretum interiectum diligentissime custodirent celocibus expeditis maria percursantes et

τὸν Φραγγικὸν ἀπεκδεχομένους στόλον, τοὺς δὲ τὰς νήσους
P. 430 παραπλέοντας φρουρεῖν μηδὲ τὰ κατὰ τὴν Πελοπόννησον
παριδόντας, ἀλλὰ καὶ ταύτης ἀποχρῶσαν ποιεῖσθαι φυλακήν.
ἐπεὶ δὲ βραδύνειν ἐν ἐκείνοις τοῖς μέρεσιν ἐβούλετο, ἐν
ἐπικαίρῳ τόπῳ σχεδιάσας οἰκήματά τινα αὐτοῦ που τὴν 5
παραχειμασίαν ἐποιεῖτο. ὡς δὲ ὁ ἀπὸ Λογγιβαρδίας εὐτρε-
πισθεὶς στόλος καὶ τῶν λοιπῶν μερῶν λύσας τὰ πρυμνήσια
τὸν ἀπόπλουν ἐπεποίητο, ἀποδιελόμενος ὁ τούτων ἀρχηγὸς
πέντε διήρεις ἀπέστειλεν, ἐφ' ᾧ κατασχεῖν τινας καὶ τὰ περὶ
τοῦ βασιλέως καταμαθεῖν. ὡς δὲ τὴν Ἄβυδον κατέλαβον 10
B ἤδη, μίαν τούτων πρὸς τὸν πέμψαντα συνέβη ἐπανιέναι τῶν
λοιπῶν κατασχεθεισῶν σὺν αὐτοῖς ἐρέταις. δι' ἧς οἱ ἀρχηγοὶ
τῶν ἤδη ῥηθέντων στόλων τὰ κατὰ τὸν αὐτοκράτορα μεμα-
θηκότες καὶ ὅτι τά τε κατὰ τὴν θάλασσαν καὶ τὴν ἤπειρον
ἀκριβῶς ἐξασφαλισάμενος κατὰ τὴν Χερρόνησον τὴν παρα- 15
χειμασίαν ποιεῖται, ἐφ' ᾧ πάντας παραθαρρύνειν, ἐπεὶ πρὸς
V. 341 τὰ τοῦ αὐτοκράτορος μηχανήματα οὐχ οἷοί τε ἦσαν ἀπομά-
χεσθαι, τοὺς οἴακας μεταχειρισάμενοι ἄλλην ἐτράποντο. εἷς
δέ τις Κελτὸς τῶν ἀμφὶ τοὺς τοιούτους ἀρχηγοὺς τὴν ἰδίαν
C ἀφελόμενος νῆα μονήρη ὠκυτάτην οὖσαν πρὸς τὸν Βαλδουῖνον 20
ἀπῄει καὶ τὴν Τύρον πολιορκοῦντα τοῦτον εὑρὼν ἅπαντα,
καθὼς ὁ λόγος φθάσας ἐδήλωσε, τὰ κατὰ τὸν αὐτοκράτορα

1. τοὺς] πρὸς C. 2. Πελοπόνησον P. 8. ἐπεποίητο (ίη in ras.) F, ἐπεποίηντο P. 9. τριήρεις A. περὶ A, παρὰ P. 10. μαθεῖν C. 14. θάλασσαν F, θάλατταν P. 15. χερόνησον F. 19. τοὺς τοιούτους F, τοιούτους P. 20. νῆα FC, νῆαν P.

curiose observantes Francorum classem expectarent, partim insulas tutandi causa praetervehérentur nec Peloponnesum neglegerent, sed ei quoque curae quantum satis esset impenderent. in his partibus quoniam diutius imperator morari constituerat, opportuno loco, ubi ex tempore domus quasdam aedificaverat, hiemem transegit. at postquam e Longibardia ceterisque partibus solvit Latinorum classis, dux eius selectas quinque biremes dimisit, ut caperent quosdam ab iisque, quid gereret imperator, cognoscerent; quibus vero iam ad Abydum appulsis accidit, ut reliquis cum remigibus captis una ad eum qui miserat recurreret. ab hac classium, quas diximus, duces, quid ageret imperator, edocti ipsumque mari et continente praesidiis firmatis, ut omnium animos excitaret, in Cherroneso hiemare, cum se adversus eius apparatus feliciter pugnare non posse intellexissent, versis repente clavis alio flexerunt. sed tamen unus horum ducum propria monere velocissima conscensa Balduinum adiit Tyrum tunc oppugnantem eique iussu, opinor, ducum illorum, omnia, quae supra de

διηγήσατο, μετὰ γνώμης οἶμαι τῶν ἀρχηγῶν ἐκείνων ἀπελθών, καὶ ὅπως τὰς κατασκόπους δρομάδας ναῦς ὁ Ῥωμαϊκὸς φθάσας κατέσχε στόλος, καθά γε καὶ εἴρηται. ἀλλὰ δὴ καὶ τοῦτο ἀνερυθριάστως ἀνωμολόγει, ὅτιπερ οἱ ἡγεμόνες τοῦ
5 Κελτικοῦ στόλου οὕτω παρασκευασάμενον τὸν αὐτοκράτορα κατ' αὐτῶν ἐγνωκότες ὑπέστρεψαν βέλτιον εἶναι νομίσαντες ἀπράκτους ὑποστρέψαι ἢ μετὰ τοῦ Ῥωμαϊκοῦ στόλου μαχο- D μένους ἡττηθῆναι. ὁ μὲν οὖν Κελτὸς ἐκεῖνος ταῦτα πρὸς τὸν Βαλδουῖνον ἐξεῖπεν ὑπότρομος ὢν καὶ τὸν Ῥωμαϊκὸν
10 ἔτι δεδιὼς στόλον. ταῦτα μὲν οὖν τὰ κατὰ τὴν θάλατταν συμπεσόντα τοῖς Κελτοῖς· ἀλλ' οὐδὲ τὰ κατὰ τὴν ἤπειρον P. 431 ζάλης ἄτερ παρῆσαν οὐδὲ φροντίδων ἄνευ καθεστήκασι τῷ αὐτοκράτορι. Μιχαὴλ γάρ τις ἐξ Ἀμάστριδος τὴν Ἀκρουνὸν φρουρῶν ἀποστασίαν μελετήσας κατέσχεν αὐτὴν καὶ τὰ πα-
15 ρακείμενα ταύτῃ δεινῶς ἐληΐζετο. τοῦτο μεμαθηκὼς ὁ αὐτοκράτωρ μετὰ ἀποχρώσης δυνάμεως κατ' αὐτοῦ τὸν τοῦ Δεκανοῦ ἐξέπεμψε Γεώργιον. ὃς καὶ πολιορκήσας ἐπὶ τρισὶ μησὶ ταυτηνὶ μὲν τὴν πόλιν κατέσχεν, τὸν δὲ ἀποστάτην ἐκεῖνον πρὸς τὸν αὐτοκράτορα ταχέως ἐξέπεμψεν. ὁ δὲ
20 αὐτοκράτωρ τὴν μὲν τοῦ κάστρου φρουρὰν ἑτέρῳ ἀνέθετο, αὐτῷ δὲ τὰς ὀφρῦς ἐπιτοξεύσας πολλὰ ἀπειλήσας καὶ θάνατον αὐτοῦ τῷ φαινομένῳ καταψηφισάμενος εἰς φόβον

1. ἐπελθὼν C. 3. καθάπερ C. 4. ὡμολόγει C. 11. τὰ addidi. 12. πάλης A. ἄτερ F, ἄνευ PA. ἄνευ F, ἄτερ P. 15. ταύτῃ om. C. 21. ἐπιτοξεύσας καὶ P, καὶ om. F. πολλὰ FC, πολλὰς P.

imperatore relata sunt, exponit, dromonesque ipsorum exploratorios a classe Romana, ut narravimus, captos esse refert. atque illud etiam sine pudore fatebatur, duces Francicae classis, cum ita paratum imperatorem cognossent, redire decrevisse melius iudicantes re infecta salvos se discedere, quam navali proelio cum Romanis inito devinci. haec igitur Gallus ille et tremens quidem Romanamque classem metuere adhuc praeferens Balduino retulit. sic mari res contra Gallos gerebatur. nec in terra imperator tempestate gravissima curisque non agitabatur. Michael enim ex Amastri quidam Acruni praefectus hanc arcem defectionem molitus vi occupavit et adiacentia omnia populatus est. id certior factus imperator mittit in eum cum sufficientibus copiis Georgium Decani, qui urbem tres menses obsessam cepit ipsumque Michaelem extemplo ad imperatorem delegavit. is alio castri praefecto nominato torvo vultu istum intuens ac multa minans mortisque supplicium ei destinatum esse simulans magnum ei terrorem iniecit; quo tamen mox militem liberavit. nec-

B μέγαν ἐνῆκε τὸν ἄνθρωπον, ταχὺ δὲ τὸ δέος ἔλυσε τοῦ στρατιώτου. οὔπω γὰρ ὁ ἥλιος τοῦ ὁρίζοντος κατέδυ, καὶ ὁ δεσμώτης ἐλεύθερος ἵστατο καὶ ὁ θανάτου καταψηφισθεὶς μυρίων ἐτετυχήκει δωρεῶν. τοιοῦτος ὁ ἐμὸς πατὴρ βασιλεὺς ἐν πᾶσιν ἐφαίνετο, κἂν πολλῆς ἐς ὕστερον τῆς ἐξ ἁπάντων 5 ἀγνωμοσύνης ἀπήλαυσε, καθάπερ ποτὲ καὶ ὁ πάντων εὐεργέτης ὁ κύριος μάννα βρέχων ἐν ἐρήμῳ, σιτίζων ἐν ὄρεσι καὶ ἐν θαλάττῃ ἀβρόχους διαβιβάζων καὶ ὕστερον ἀθετούμενος καὶ ὑβριζόμενος καὶ τυπτόμενος καὶ τέλος σταυρὸν παρὰ τῶν C ἀνόμων κατακρινόμενος. ἀλλ' ἐνταῦθα γενομένης προεκπηδᾷ 10 μου τοῦ λόγου τὸ δάκρυον καὶ σφύζω περὶ τούτων ἐρεῖν καὶ ποιήσασθαι τῶν ἀγνωμόνων κατάλογον, ἀλλὰ τὴν γλῶτταν ἐπέχω καὶ τὴν καρδίαν σφαδάζουσαν καὶ τοῦτο δὴ πρὸς ἐμαυτὴν ἐπιλέγω συνεχῶς τὸ τοῦ ποιητοῦ "τέτλαθι δὴ κραδίη· καὶ κύντερον ἄλλο ποτ' ἔτλης". ἀλλὰ τοιαῦτα μὲν τὰ 15 κατὰ τὸν ἀγνώμονα στρατιώτην ἐκεῖνον· τῶν δέ γε ἀπὸ τοῦ Χοροσὰν παρὰ τοῦ Σαϊσὰν σουλτάνου πεμφθέντων οἱ μὲν V. 342 διὰ τῶν μερῶν τοῦ Σινάου κατήρχοντο, οἱ δὲ διὰ τῆς ἰδίως καλουμένης Ἀσίας ᾔεσαν. ὅπερ μεμαθηκὼς ὁ Γαβρᾶς Κωνσταντῖνος, ὁ τηνικαῦτα τὴν Φιλαδέλφειαν φρουρῶν, ἀναλαβό- 20 D μενος τὰς ὑπ' αὐτὸν δυνάμεις καὶ καταλαβὼν τούτους εἰς τὸ Κελβιανὸν αὐτὸς πρῶτος ἁπάντων κατ' αὐτῶν λύσας τὸν

3. θάνατον A. 6. ἀπήλαυσε] ἐπέτυχε C. πάντων CA, πρῶτος P. 8. ἀβρόχως A. 10. γινομένης A. 14. δὴ A, om. P. 15. τὰ τοιαῦτα P, τὰ om. F. 18. τοῦ scripsi: τῆς P. 20. ὁ A, om. P. φρουρῶν καὶ P, καὶ om. FA. 22. Κελβιανὸν C, Κερβιανὸν PA.

dum enim sole condito captivus ille vinculis erat solutus quique morti addictus fuerat innumerabilia munera accepit. talem se in omni occasione pater meus praestitit, quamquam postea quidem omnes nihil nisi mala ei referebant: quod idem olim expertus est ille omnium bonorum auctor dominus ab iis, quibus manna in deserto pluit, quos pavit in montibus siccosque per mare transportavit, postea spretus illusus pulsatus cruci denique impie affixus. sed inter haec verba lacrimae mihi suboriuntur gestitque animus ea edere et ingratorum catalogum componere; at linguam animumque cupidum cohibeo illud mihi continuo inculcans poetae: "Fer mea mens: alia improbiora tulisti." verum haec de ingrato isto milite. copiarum, quae a Saisane sultano ex Chorosane missae erant, aliae per Sinai partes iter fecerunt, aliae per eam regionem, quam proprie Asiam vocant. quo cognito Gabras Constantinus Philadelphiae tum praefectus copiis suis assumptis occurrit barbaris ad Celbianum remissisque habenis pri-

χαλινὸν καὶ τοῖς ἄλλοις αὐτὸ τοῦτο παρακελευσάμενος ἡττᾷ
τοὺς βαρβάρους. ὁ δὲ τούτους ἐκπέμψας σουλτάνος τὴν P. 432
ἧτταν τῶν τοσούτων μεμαθηκὼς ἀποστείλας πρὸς τὸν αὐ-
τοκράτορα τὰ περὶ εἰρήνης διαπρεσβεύεται ὁμολογῶν ἅμα
5 ἐκ πολλοῦ τὴν ἀναμεταξὺ τῶν Μουσουλμάνων καὶ τῶν Ῥω-
μαίων εἰρήνην ἐπιποθεῖν θεάσασθαι. ἐκ μακροῦ γὰρ τὰς
τοῦ αὐτοκράτορος κατὰ πάντων ἀριστείας μανθάνων καὶ
ἀπόπειραν αὐτοῦ οἷον ποιησάμενος κἀκ τοῦ κρασπέδου τὸ
ὕφασμα καὶ ἐξ ὀνύχων τὸν λέοντα ἐπεγνωκὼς καὶ μὴ βου-
10 λόμενος πρὸς εἰρηνικὰς ἀπενενεύκει σπονδάς. τῶν ἐκ Περ-
σίδος τοίνυν καταλαβόντων πρέσβεων ὁ βασιλεὺς φοβερὸς B
προὐκάθητο καὶ οἱ ἐπὶ τῆς τάξεως τοὺς στρατιώτας ἐκ πάσης
γλώττης συνειλεγμένους καὶ τοὺς πελεκυφόρους βαρβάρους ἐν
τάξει καταστησάμενοι τοὺς πρέσβεις ἐπὶ τοῦ βασιλικοῦ παρ-
15 εστήσαντο βήματος. ὁ δὲ περὶ τοῦ σουλτάνου τούτους τὰ
εἰκότα ἐπερωτήσας καὶ ἀκούσας τὰ δι' αὐτῶν μηνύματα ὡμο-
λόγει μὲν τὴν μετὰ πάντων εἰρήνην ἀσπάζεσθαί τε καὶ θέ-
λειν, πυθόμενος δὲ περὶ τῶν τῷ σουλτάνῳ δοκούντων, ἐπεὶ
μὴ πάντα τὰ παρ' αὐτῶν αἰτούμενα συνοίσοντα τῇ τῶν
20 Ῥωμαίων ἀρχῇ διέγνω, πολλὴν τοῖς αὐτοῦ λόγοις πειθὼ C
περιστείλας εὐστοχώτατά τε πρὸς αὐτοὺς ἀπολογησάμενος
διὰ πολλῶν ῥημάτων πείθει τοῖς αὐτοῦ συγκατανεῦσαι θε-

1. ἡττᾷ κατὰ κράτος A. 3. καὶ ἀποστείλας C. 4. περὶ τῆς P, τῆς om. FA. 5. Μουσουλμάνων F, Μουλσουμάνων P. τῶν om. F. 9. ἐπεγνωκὼς F, ἐγνωκὼς P. 13. πελεκοφόρους F. 16. ἐπερωτήσας FC, ἐπειρωτήσας P. μηνύματα F, μηνυόμενα P. 17. μετὰ] διὰ C. 19 sq. συνοίσοντα τῇ τῶν Ῥωμαίων ἀρχῇ F, τῇ τῶν Ῥωμαίων ἀρχῇ συνοίσοντα P.

mus omnium in eos ipse invectus, dum ceteros idem facere iubet, hostem superat. tanta clade nuntiata sultanus, qui hos miserat, per legatos cum imperatore de pace egit fatens simul iamdiu se inter Musulmanos Romanosque pacem cupivisse. etenim egregiis Alexii contra omnes hostes facinoribus iam pridem auditis cum periculo facto vestem ex fimbria et ex ungue leonem cognovisset, ad pacem componendam licet invitus animum applicarat. igitur cum advenissent e Perside legati, imperator in solio terribilis sedit, ii autem, quibus hoc curae fuit, militibus omnis linguae ac barbaris, qui secures humeris gestabant, suo ordine dispositis legatos ad imperiale solium adducunt. tum imperator de sultano quae decuit percontatus cum quae nuntiabant audiisset, se quoque optare ac velle significavit pacem cum omnibus fieri; cognitaque sultani sententia, quoniam non omnia quae poscebantur Romanorum imperio salutaria esse intellexit, oratione ad persuadendum composita magna cum dexteritate quae a se facta erant

λήμασιν. εἶτα πρὸς τὴν παρασκευασθεῖσαν αὐτοῖς σκηνὴν ἀπέλυσεν ἐντειλάμενος σκοπῆσαι τὰ ῥηθέντα, καὶ εἰ μὲν ὅλῃ ψυχῇ πρὸς ταῦτα κατανεύσαιεν, ἐς νέωτα τὴν μεταξὺ συμφωνίαν πέρας λαβεῖν. ἐπεὶ δὲ προθύμως τὰ παρὰ τοῦ αὐτοκράτορος ἐφαίνοντο δεχόμενοι, τῇ μετ' αὐτὴν πέρας ἡ 5 συμφωνία λαμβάνει. οὐ πρὸς ἑαυτὸν δὲ ἀπένευε μόνον, ἀλλὰ πρὸς αὐτὴν τὴν βασιλείαν Ῥωμαίων. κηδόμενος γὰρ D τῶν κοσμικῶν μᾶλλον ἢ τῶν ἑαυτοῦ πᾶν τὸ οἰκονομούμενον πρὸς τὰ σκῆπτρα Ῥωμαίων ἀπονεύειν καὶ ἀναφέρεσθαι P. 433 παντοίως διῳκονόμει, ἵνα καὶ μετ' αὐτὸν καὶ ἐς τὸν ἐφεξῆς 10 χρόνον τὰ συμπεφωνημένα διήκῃ, κἂν ἀπετύγχανε τοῦ σκοποῦ. τὰ γὰρ μετ' αὐτὸν ἄλλως ἔσχε καὶ εἰς σύγχυσιν ἀφώρα τὰ πράγματα. κατεστόρητο μὲν γὰρ τῷ τέως τὰ ἐνοχλοῦντα καὶ εἰς εἰρήνην ἀπεῖδε βαθεῖαν καὶ ἀπὸ * μέχρι πέρατος αἰῶνος εἰρήνην ἤγομεν. ἀλλὰ γὰρ συγκατέδυ τῷ βασιλεῖ 15 V. 343 πάντα τὰ λῷονα καὶ κενόσπουδος αὐτῷ ἡ σπουδὴ μετὰ τὴν αὐτοῦ παρέλευσιν γέγονεν ἀβελτηρίᾳ τῶν διαδεξαμένων τὰ σκῆπτρα.

B 4. Οἱ δὲ τοῦ Φραγγικοῦ στόλου ἡγεμόνες διὰ τῶν περισωθέντων ἀπὸ τῶν πέντε δρομάδων νηῶν τὰ περὶ τοῦ 20

10. ἐς F, εἰς P. 11. συμφωνούμενα C. 12. τὰ γὰρ μετ' αὐτὸν ἄλλως ἔσχε] καὶ τῶν αὐτοῦ βουλευμάτων ἠστόχει C. 13. κατεστόρητο G. Dindorfius: κατεστορεύετο P. 14. ἅπαντα ἀπεῖδε? lacunam signavi: τοῦδε vel simile verbum intercidit. 16—18. μετὰ τὴν αὐτοῦ παρέλευσιν . . . τὰ σκῆπτρα] καὶ ὅλως ἀσυντελὴς μετὰ ταῦτα γέγονε τῶν πραγμάτων ἄλλως πως διακυβευθέντων C. 17. γέγονεν F, γέγονε P.

defendit multisque verbis iis persuasit, ut suae voluntati obsequerentur. post haec in tabernaculum, quod ipsis pararat, dimisit eos iussitque ea meditari, de quibus egissent, simul pollicitus, modo toto animo ea accepturi essent, postero die statim pacem factum iri. ac postridie cum omnes imperatoris condiciones libenter accepissent, pactio concordiae confecta est; qua in re haud se unum imperator, sed Romanorum imperium attendit quippe communi magis, quam suae saluti consulens et solam Romani sceptri maiestatem spectans ad eamque omnia referens: talem enim pactionem et post se et deinceps permansuram voluit. at vero id eum fefellit: eo enim mortuo Romanorum res commutatae ac perturbatae sunt, quamquam antea pax fundatissima cunctis molestiis pulsis tranquillitatem usque ad saeculi finem promisit. sed cum Alexio omnis occidit salus eiusque facta infecta reddidit eorum imprudentia, qui post eius excessum regnum susceperunt.

4. Duces Francicae classis, cum ab iis, qui ex quinque illis dromonibus servati erant, ut diximus, imperatorem bene instructa classe

Ῥωμαϊκοῦ στόλου, ὡς εἴρηται, βεβαιωθέντες, καὶ ὅτι ὁ βασιλεὺς τὸν στόλον εὐτρεπίσας τὴν αὐτῶν ἔφοδον περὶ τὴν Χερρόνησον περιμένων ἐνδιατρίβει, τοῦ προτέρου σκοποῦ ἀπέστησαν μηδόλως τοῖς μέρεσι τῆς Ῥωμανίας πλησιάσαι θε-
5 λήσαντες. παραχειμάσας οὖν ὁ βασιλεὺς εἰς Καλλιούπολιν μετὰ τῆς βασιλίδος (συνείπετο γὰρ αὐτῷ διὰ τὴν τῶν ποδῶν ὀδύνην, ὡς πολλάκις ἱστόρηται) καὶ τὸν καιρόν, καθ' ὃν ὁ τῶν Λατίνων εἴωθεν ἀποπλεῖν στόλος, παραφυλαξάμενος εἰς τὴν βασιλεύουσαν ὑπέστρεψεν. οὐ πολὺς παρίπ- C
10 πευκε χρόνος καὶ Τούρκων ἔφοδος καταγγέλλεται ἐξ ἁπασῶν τῶν τῆς ἀνατολῆς χωρῶν καὶ αὐτοῦ τοῦ Χορασὰν ὡς εἰς πεντήκοντα χιλιάδας συμποσουμένων. οὐδὲ γὰρ πρὸς βραχὺ ῥαστώνης μετειλήχει τὸν ἅπαντα τῆς αὐτοκρατορίας αὐτοῦ χρόνον ἄλλων καὶ ἄλλων ἐπιφυομένων πολεμίων διηνε-
15 κῶς. μετακαλεῖται τοίνυν ἁπανταχόθεν τὸ ὁπλιτικὸν ἅπαν, καὶ τοῦ καιροῦ στοχασάμενος, καθ' ὃν σύνηθες τοῖς βαρβάροις τὰς κατὰ τῶν Χριστιανῶν ἐκδρομὰς ποιεῖσθαι, τὸν ἀναμεταξὺ Βυζαντίου καὶ Δαμάλεως διαπερᾷ πορθμόν. καὶ οὐδὲ ἡ ἐπελθοῦσα τούτῳ τῶν ποδῶν περιωδυνία ἀπεῖρξε D
20 τοῦ ἔργου. ἥτις οὔτε τινὶ τῶν προγόνων ξυμβέβηκέ ποτε, ἵνα τις ἐκ σπερματικῶν λόγων καὶ ἐς αὐτὸν κατιοῦσαν νομίζοι τὴν νόσον, οὔτε ἐκ διαίτης ἁβρᾶς, ὁποῖα τοῖς διαρρέουσι τὸν βίον καὶ φιληδόνοις συμβαίνειν εἴωθεν· ἀλλ' ὅπως αὐτῷ

3. χερόνησον F. 4. τῆς F, om. P. 7. ἱστόρητο C. 8. ἀποπλεῖν F, παραπλεῖν P. 9. ...οὐ F. 12. γὰρ om. C. 14. πολέμων C. 16. ὃν καιρὸν P, καιρὸν om. F. 17. κατὰ τῶν Χριστιανῶν om. C. 20. ποτε FA, πώποτε P. 21. ἐς F, εἰς P. ἵνα μή τις? 22. νομίζοι F, νομίσοι P.

se ad Cherronesum opperiri comperissent, temptandae Romaniae cogitationem abiecerunt. itaque imperator Calliopoli una cum Augusta, quae, ut saepe narravi, ob pedum morbum eum comitabatur, hieme transacta, ubi tempus, quo Latinorum classis abire solet, diligenter attendit, in urbem regiam rediit. nec multo post certior fit, Turcarum ad quinquaginta millia ex cunctis terris orientalibus ipsoque Chorosane adventare. nam ne paululum quidem quietis toto principatus sui tempore adeptus est hostibus hostes continuo sequentibus. quocirca universam Romanorum militiam undique convocavit eoque tempore, quo Christianorum terras barbari incursare solebant, fretum inter Byzantium Damalinque traiecit pedum dolore per eos dies ingravescente minime se retardari passus. qui quidem morbus, ne quis seminis eum rationibus in ipsum propagatum existimaverit, nullum ex eius proavis invasit nec ei ex mollitie extitit, qualia luxuriosis intemperanterque viventibus evenire solet:

P. 434 ἡ διάθεσις τῶν ποδῶν ἐπηρέαζεν, ἐγὼ διηγήσομαι. ἐσφαίριζέ ποτε γυμναζόμενος συσφαιρίζοντα καὶ τὸν Τατίκιον ἔχων, περὶ οὗ πολλάκις διείλεγμαι. ὃς καὶ ὑπὸ τοῦ ἵππου παρασυρεὶς ἐμπίπτει τῷ βασιλεῖ· κἀντεῦθεν ἀλγήσας τὴν κεφαλίδα τοῦ γόνυος καὶ αὐτὸν ὅλον τὸν πόδα διὰ τὸ ἀκρο- 5 βαρὲς τῆς καταφορᾶς οὐκ ἐνεδείξατο μὲν ἀλγῆσαι φερεπονώτατος ὤν, ὅμως μέντοι μικρᾶς τινος τυχὼν ἐπιμελείας καὶ κατ' ὀλίγον ἐς τὸ ἀνώδυνον ἐλθὼν τῶν συνήθων διατριβῶν εἴχετο. αὕτη μὲν οὖν πρώτη αἰτία τῆς τῶν ποδῶν B ἀλγηδόνος τοῦ βασιλέως· αἱ γὰρ ὀδύναι τῶν τόπων εἰς 10 ἑαυτὰς τὰ ῥεύματα ἐφειλκύσαντο. δευτέρα δὲ καὶ ἐναργεστέρα καὶ τῆς ὅλης ὀδύνης μήτηρ τοιαύτη τις ἦν. τίς οὐκ οἶδε τὰ ἄπειρα τῶν Κελτῶν ἐκεῖνα πλήθη τῶν τὴν βασιλίδα πόλιν κατειληφότων, ὁπότε τῆς ἑαυτῶν ἁπανταχόθεν ἀπαναστάντες πρὸς ἡμᾶς ὥρμησαν; τότε γὰρ οὗτος εἰς πέλα- 15 V. 344 γος ἀχανὲς φροντίδων ἐμπεπτωκὼς ἐκ πολλοῦ συνιδὼν αὐτοὺς τὴν Ῥωμαίων βασιλείαν ὀνειρώττοντας, ὑπὲρ τὴν ἄμμον C δὲ καὶ τὰ ἄστρα τὴν αὐτῶν πληθὺν ὁρῶν, τὰς δὲ Ῥωμαϊκὰς ἁπάσας δυνάμεις οὐδὲ πρὸς πολλοστημόριον τούτων ἐξισουμένας, εἰ καὶ εἰς ἓν συναφθεῖεν, πολλῷ γε μᾶλλον διεσπαρ- 20

2. ταττίκιον A. 3. ὑπὸ] παρὰ C. 5. γένυος C. τὸν om. FA. 7. τυχὼν F, τυχεῖν P. 8. ἐλθὼν F, ἐλθεῖν P. 9. ουν om. F. 11. δευτέρα δὲ F, δὲ om. P. ἐναργεστέρα FA, ἐνεργεστέρα P. 12. δὲ καὶ P, δὲ om. F. οἶδε F, εἶδε P. 13. ἐκεῖνα PA, ἐκείνων F. 14. ἁπανταχόθεν] ἁ add. m. 1 F. 16. καὶ ἐκ P, καὶ om. F. πολλοῦ F, πολλῶν P. συνιδὼν F, συνιδεῖν P. 17. τὴν τῶν P, τῶν om. F. 19. οὐδὲ πρὸς F, πρὸς om. P.

sed ut veram morbi originem proferam, quondam pila ludebat corporis exercendi causa una cum Taticio, cuius crebra iam mentio fuit. is tum equo vehementer abreptus in imperatorem impingitur indeque alterius genuum nodus graviter ei contusus dolorem in totum pedem propagavit; quem tamen ut laborum patiens dissimulavit levique cura adhibita sublatisque brevi doloribus consuetis occupationibus vacabat. haec prima imperatori istius mali causa fuit: dolores enim partium ad se humores attrahunt. altera vero et manifestior et omnis miseriae mater haec fuit. quis ignoret innumerabilem illam Gallorum copiam, qui relicta patria ad nos confluxerunt urbemque regiam inundaverunt? tunc enim immenso ille curarum quasi mari agitabatur, cum barbaros Romanorum imperium somniare intellegeret ingentiaque agmina quae siderum harenaeque numerum superabant videret, Romanorum autem copiae omnes in unum collectae ne multesimam quidem illorum partem aequarent earumque insuper ple-

μένων τῶν πλειόνων ὄντων καὶ τῶν μὲν τὰ περὶ τὴν Σερβίαν τέμπη καὶ Δαλματίαν ἐπιτηρούντων, τῶν δὲ τὰ περὶ τὸν Ἴστρον ὡς τὰς τῶν Κομάνων καὶ Δακῶν ἐφόδους φυλαττομένων, πολλῶν δὲ καὶ τὴν τοῦ Δυρραχίου φρουρὰν ἐμ-
5 πιστευομένων, ὡς μὴ ὑπὸ τῶν Κελτῶν καὶ αὖθις ἁλῷη, ταῦτα συνορῶν ὁ αὐτοκράτωρ ὅλος γίνεται τῶν Κελτῶν τἆλλα D πάντα ἐν δευτέρῳ θέμενος. καὶ τὸ μὲν πέριξ ὑποκινούμενον βαρβαρικὸν καὶ μήπω ἐς φῶς ἐκρῆξαν τὴν ἔχθραν ἀξιώμασιν ἀνεῖργε καὶ δωρεαῖς, τῶν δὲ Κελτῶν τὴν ἔφεσιν παντοίαις
10 μεθοδείαις ἀναστέλλων καὶ τῶν οἴκοι τὴν στάσιν οὐχ ἧττον, ὅτι μὴ καὶ μᾶλλον ὑφορώμενος παντοίως φυλάττεσθαι ἔσπευ- P. 435 δεν ἐντέχνως τούτων ἀπείργων τὰ βουλεύματα. ἀλλὰ τίς τῶν ἐπεισπεσόντων αὐτῷ κακῶν τὸν κυκεῶνα ἀπαγγεῖλαι δυνήσεται; παντοῖος οὖν πρὸς πάντας γινόμενος καὶ συμμε-
15 τασχηματιζόμενος ὡς ἐνὸν τοῖς πράγμασι πρὸς τὸ κατεπεῖγον ἐνίστατο καθάπερ τις δόκιμος ἰατρῶν τῷ τῆς τέχνης κανόνι χρώμενος. ἐπὶ τοῦ βασιλικοῦ τοίνυν ἅμα ἡμέρᾳ καὶ εὐθὺς ἡλίου τὸν ἀνατολικὸν ἀναθορόντος ὁρίζοντα καθῆστο θρόνου κελεύων τοὺς Κελτοὺς ἅπαντας ἀκωλύτως εἰσιέναι
20 καθ' ἡμέραν ἑκάστην, ἅμα μὲν τὰς ἑαυτῶν αἰτήσεις ἀπαγ- B γέλλειν τούτους ἐθέλων, ἅμα δὲ καὶ τοῖς αὐτοῦ θελήμασιν ὑπάγεσθαι διὰ παντοίων λόγων αὐτοὺς μηχανώμενος. οἱ δὲ

1. περὶ F, παρὰ P. 5. τῶν F, om. P. 6. ὅλος FC, ὅλως P. 8. ἔχθραν in ras. m. 1 F. 20. ἐκείνην C.

raeque dispersae essent, aliis per Serbiam Dalmatiamque angustias custodientibus, aliis ad Istrum Comanorum Dacorumque irruptiones observantibus, multis denique Dyrrachii, ne iterum a Gallis caperetur, providentibus. haec igitur considerans imperator ceteris omnibus posthabitis ad Gallicum bellum totus incubuit. barbarorum enim vicinorum motus clandestinos necdum ad lucem erumpentes inimicitias honoribus atque muneribus sopivit, id quod Galli agebant variis artibus remorari molitus; nec minus vel potius magis etiam domesticas insidias respiciens omni id ope curabat, ut inimicorum consilia irrita redderet. sed quis aerumnarum, quibus premebatur, turbam enumeret? et ut nihil omnino mali neglegebat sese, quantum fieri poterat, ad varios casus refingens, ita rei, quae cum maxime urgeret, curam adhibuit maiorem tamquam bonus medicus artis lege utens. itaque mane ut sol exortus est throno insidebat Gallisque omnibus, ut quotidie se sine ulla mora adirent, permisit; nam et quid cuperent tum eos proferre voluit, et ut suae voluntati obsequerentur variis studuit

Κελτοὶ κόμητες φύσει μὲν τὸ ἀναίσχυντον καὶ ἰταμὸν ἔχοντες, φύσει δὲ τὸ ἐρασιχρήματον καὶ πρὸς πᾶν τὸ αὐτοῖς βουλητὸν ἀκρατὲς καὶ πολυρρῆμον ὑπὲρ πᾶν γένος ἀνθρώπων κεκτημένοι οὐ σὺν εὐταξίᾳ τὴν πρὸς τὸν αὐτοκράτορα εἴσοδον ἐποιοῦντο, ἀλλ' ὁπόσους ἂν ἕκαστος τῶν κομήτων ἐβούλετο, 5
C συμπαραλαμβάνων εἰσῄει· καὶ τούτου ἐχομένως ἕτερος, ἐφεξῆς δ' ἐκείνου ἄλλος. εἰσερχόμενοι δὲ οὐ πρὸς ὕδωρ, καθάπερ ποτὲ τοῖς ῥήτορσιν ἐφεῖτο, τὴν ὁμιλίαν ἐποιοῦντο, ἀλλ' ὁπόσον ἕκαστος καὶ ὁ τυχὼν ἠβούλετο προσομιλεῖν τῷ αὐτοκράτορι χρόνον, τοσούτου καὶ ἐτύγχανεν. οἱ δὲ τοιοῦτοι 1
V. 345 ὄντες τὸν τρόπον καὶ τὴν γλῶτταν ἀσύμμετροι καὶ μήτε τὸν αὐτοκράτορα αἰδούμενοι μήτε τὸν καιρὸν παραρρέοντα εὐλαβούμενοι μήτε τὴν τῶν ὁρώντων νέμεσιν ὑφορώμενοι οὐ τοῖς ὄπισθεν ἐρχομένοις ἕκαστος τόπον ὁμιλίας παρεῖχεν, ἀλλ' ἀνέ-
D τως τὰς ὁμιλίας καὶ τὰς αἰτήσεις ἐποιοῦντο. τὸ λάλον δὲ τούτων 1
καὶ θηρευτικὸν καὶ σμικρολόγον τῶν λέξεων ἅπαντες μὲν ἴσασιν, ὁπόσοις ἠθῶν ἀνθρώπων μέλει κατάστοχάζεσθαι· τοὺς
P. 436 δὲ τότε παρόντας ἀκριβέστερον ἡ πεῖρα δεδίδαχε. καὶ γὰρ ἐπὰν ἑσπέρα καταλάβοι, ἄσιτος δι' ὅλης διαμεμενηκὼς ἡμέρας ἐξανίστατο τοῦ θρόνου πρὸς τὸν βασιλικὸν κοιτωνίσκον 2
ἀπονεύων· ἀλλ' οὐδ' οὕτως τῆς τῶν Κελτῶν ἠλευθεροῦτο

3. γένος F, ἔθνος P. 6. ἐχομένως] ἐρχομένου C. 7 δ' F, δὲ P. ἄλλος] ἕτερος C. 11. γλῶτταν F, γλῶσσαν P. 15. καὶ τὰς P, τὰς om. F. 19. διαμεμενηκὼς ἡμέρας F, ἡμέρας μεμενηκὼς P.

sermonibus. Galli autem comites, quia natura et audaces minimeque verecundi sunt et pecuniae avidi atque immoderati ad omnia quae concupiscunt, tum etiam loquacitate omne genus humanum superant, sine reverentia imperatorem adibant, intrabatque comitum quisque quotquot voluit viris assumptis aliusque alii, huic rursus alius succedebat. postquam vero intraverunt, non, ut oratoribus olim praescriptum erat, ad aquam dicendi tempus metiebantur, sed quamdiu quilibet vel infimus voluit, imperatore utebatur; cumque ita nec agendi nec loquendi modum nossent, nulla vel maiestatis vel temporis praetereuntis vel adstantium taedii ratione habita ne locum quidem insequentibus cedebant, sed continuo adstabant iterabantque petitiones. istam profecto gentis loquacitatem et ut ita dicam artem venatoriam minutiasque consectandi studium nemo ignorat, qui hominum mores cognoscere studet; eos vero, qui tunc aderant, multo accuratius experientia haec docuit. etsi enim vespere demum imperator, postquam totum diem impransus assedit, e solio surrexit ad regium conclave iturus, tamen ne sic quidem Gallorum molestiis libe-

ὀχλήσεως. ἄλλον γὰρ ἄλλον προφθάνοντος οὐ τῶν ἀπολειφθέντων μόνον τῆς ἡμερινῆς ὁμιλίας, ἀλλὰ κἀκείνων αὖθις ἐπανιόντων καὶ ἄλλας καὶ ἄλλας αἰτίας λόγων προβαλλομένων ἐκεῖνος ἵστατο ἀκλινὴς τῆς τοσαύτης γλωσσαλγίας
5 ἀνεχόμενος περιστοιχούμενος ὑπὸ τῶν Κελτῶν. καὶ ἦν ἰδεῖν καὶ πρὸς τὰς ἁπάντων ὑποφορὰς ἑτοίμως τὸν αὐτὸν καὶ B ἕνα τὰς ἀνθυποφορὰς ποιούμενον. πέρας δὲ τῆς ἀκαίρου τούτων γλωσσαλγίας οὐκ ἦν. ὁπηνίκα δέ τις ἀνακόψαι τῶν μεσαζόντων τούτους ἐπεχείρει, παρὰ τοῦ βασιλέως ἀνε-
10 κόπτετο. τὸ γὰρ τῶν Φράγγων φύσει ὀργίλον γινώσκων ἐδεδίει, μὴ ἐκ μικρᾶς προφάσεως μέγας πυρσὸς σκανδάλου ἀναφθῇ κἀκ τούτου μεγάλη ἐσεῖται βλάβη τῇ Ῥωμαίων ἀρχῇ. καὶ ἦν ὡς ἀληθῶς παραδοξότατον τὸ φαινόμενον. ὥσπερ γὰρ σφυρήλατος ἀνδριὰς ἢ ἀπό τινος χαλκοῦ τυχὸν
15 ἢ ψυχρηλάτου σιδήρου κατεσκευασμένος, οὕτω παννύχιος ἵστατο ἐξ ἑσπέρας πολλάκις μὲν μέχρι μέσης νυκτός, πολλάκις δὲ καὶ τρίτης ἀλεκτοροφωνίας, ἔστι δ' ὅτε σχεδὸν καὶ C περὶ τὰς σαφεστάτας ἡλίου αὐγάς. πάντες δὲ κεκμηκότες πολλάκις μεθιστάμενοι ἀνέπαυον ἑαυτοὺς καὶ αὖθις εἰσῄε-
20 σαν δυσχεραίνοντες. † κἀντεῦθεν οὐδεὶς ἠδύνατο τῶν συνόντων αὐτῷ πρὸς τὴν τοσαύτην ἀμετακλινῆ στάσιν, ἀλλὰ μετώκλαζον ἅπαντες ἄλλοτε ἄλλος· καὶ ὁ μὲν ἐφηδράζετο,

8. γλωσσαλγίας] στωμυλίας A. 10. τῶν Φράγγων] τούτων C. 12. τῇ τῶν C. 16. μέχρι μέσης F, μέσης om. P. 17. σχεδὸν] τυχὸν C. 20. κἀντεῦθεν] καίτοι ἀνέχεσθαι? καίτοι ἀντέχειν? καρτερεῖν δὲ?

rabatur aliis super alios ventitantibus, nec solum, qui interdiu nondum auditi fuerant, sed illis quoque, qui iam admissi erant quique novas semper causas proferentes denuo ad eum redibant. ipse interim eodem semper vultu medius inter Gallos stans immotus tantam linguae intemperantiam ferebat unusque ad omnes eorum quaestiones prompte respondebat; finis autem importunae eorum loquacitatis nullus erat; si quis vero aulae ministrorum intercedebat, hunc imperator compescuit; namque irritabilia Francorum ingenia expertus verebatur, ne magno scandali incendio ex parva causa coorto magnum Romano imperio damnum existeret. quare permirum sane erat spectaculum, si tamquam malleo expressa aut ex aere aut rigida ex ferro statua a vespere saepe ad mediam noctem vel adeo ad tertium gallicinium, interdum etiam ad clarissimam solis lucem stabat. itaque omnes defessi saepe abibant et, ubi se recrearunt, inviti revertebantur; nec aulicorum erat qui immotus ut ille tamdiu stare posset: quidam sedebant, alii

ὁ δ' ἐπλαγίαζε τὴν κεφαλὴν ἐρεισάμενος, ὁ δ' εἰς τοῖχον ὑπήρειδεν ἑαυτόν. μόνος πρὸς τὸν τοσοῦτον πόνον ἀμειλίκτως εἶχεν ὁ βασιλεύς. καὶ τίς γὰρ τῆς ἐκείνου φερεπονίας λόγος ἐφίκοιτο; μυριάνδρου γὰρ οὔσης τῆς διαλέξεως πολλὰ μὲν ἕκαστος ἐλάλει καὶ ἀμετροεπῶς ἐκολῴα καθ' 5 D Ὅμηρον· ἄλλος μεταστὰς παρεδίδου ἑτέρῳ τὴν λαλιὰν κἀ-P. 437 κεῖνος εἰς ἄλλον μετέπεμπεν, εἶτ' αὖθις οὗτος εἰς ἕτερον. καὶ ἦν μὲν ἐν διαλείμμασι τούτοις ἡ στάσις, ὁ δὲ τὴν στάσιν εἶχεν ἀπέραντον μέχρι πρώτης ἢ καὶ δευτέρας ἀλεκτοροφωνίας. μικρὸν δὲ διαναπαυόμενος ἡλίου πάλιν ἀνίσχοντος ἐπὶ 10 V. 346 τοῦ θρόνου καθῆστο, καὶ πάλιν ἕτεροι πόνοι καὶ ἀγῶνες διπλοῖ τοὺς νυκτερινοὺς ἐκείνους διαδεχόμενοι. ἐκ ταύτης τοιγαροῦν τῆς αἰτίας ἡ ὀδύνη τῶν ποδῶν ἐνσκήπτει τοῦ αὐτοκράτορος. ἔκτοτε δὲ μέχρι τέλους ἐκ διαστημάτων τινῶν χρονικῶν ἐπῄει τὸ ῥεῦμα ὀδύνην ἐπάγον σφοδράν. ὁ δὲ 15 B τοσοῦτον ἐγκαρτερῶν ἦν, ὡς μηδέποτε γογγυστικὸν εἰπεῖν ῥῆμα, ἀλλὰ τὸ "ἀξίως πάσχω· εὐλόγως μοι ταῦτα γίνεται διὰ τὴν τῶν ἐμῶν ἁμαρτιῶν πληθύν". εἰ καί που δὲ τῶν χειλέων αὐτοῦ ῥῆμα μικροψυχίας ἐκδεδραμήκει, εὐθὺς τῷ τοῦ σταυροῦ σημείῳ κατὰ τοῦ παλαμναίου ἐχρῆτο δαίμονος 20 "φεῦγε" λέγων "ἐξ ἐμοῦ πονηρέ· οὐαί σοι καὶ τοῖς σοῖς κατὰ τῶν Χριστιανῶν μηχανήμασιν". ἀλλὰ τὰ μὲν τῆς τῶν

1. δ' F, δὲ P. 2. ὑπήρειδεν scripsi: ὑπερεῖδεν P. 5. ἀμετροεπῶς F, ἀμετροεπὴς P. ἐκολόα F (in mg. m. 2 ἐθορύβει). 9. καὶ F, om. P. 10. δὲ διαναπαυόμενος F, δ' ἀναπαυόμενος P. 15. σφοδράν F, ἐφυδρὰν P. 17. πάσχω scripsi: πάσχων P.

caput inflexerunt aliqua re nisi, alii denique parieti se appresserunt. ita solus inter tot labores invictus apparebat imperator; cuius incredibilem patientiam quae consequi potest oratio? etenim in tanto tumultu, cum et multa quisque garriret crocitaretque, ut ait Homerus, sine modo loquens et fabulando fessos exciperent semper alii, ita ut his standi vices essent, imperatorem tamen in vestigio perstare oportuit ad primum alterumve galli cantum. ac modico somno percepto, ubi illuxit, denuo in solio sedebat et alii rursus labores duplicesque molestiae nocturnas illas excipiebant. propter hanc igitur causam maxime imperatorem pedum morbus occupavit: exinde ad mortem usque certis intervallis humor affluxit vehementem generans dolorem. attamen sine ulla querela egregie eum tolerabat et dicere solebat: "Digna patior; merito mihi talia accidunt ob multitudinem peccatorum meorum." ac si quae forte imbecilli animi vox labiis exciderat, statim crucis signo in execrabilem daemonem utens "Fuge" ait "a me, scelerate! vae tibi et tuis contra Christianos machinationibus." sed de pedum dolore hactenus. sin vero quis hunc

ποδῶν ἀλγηδόνος ἱκανῶς ἡμῖν εἰρήσθω τὰ νῦν· εἰ δέ τις τῇ νόσῳ ταύτῃ συνήρατο κἀκ τοῦ κερασθέντος τούτῳ μεστοῦ πικρίας κρατῆρος, καθὼς ἐν ὀλίγοις ἐνσημανούμεθα, ἵνα μὴ C λέγω τὸ πᾶν, καὶ τὰς ἀλγηδόνας συνηύξανε, κἂν ἡ βασιλὶς 5 μέλιτι τὸν κρατῆρα περιχρίουσα τὰ πολλὰ διολισθαίνειν τῶν κακῶν προσεμηχανᾶτο φύλαξ ἀνύστακτος τοῦ αὐτοκράτορος οὖσα, προσερρίφθω καὶ οὗτος τῷ λόγῳ καὶ ἔστω τρίτη τις αἰτία τῆς νόσου τοῦ βασιλέως οὐ προκαταρκτικὴ μόνον, ἀλλὰ καὶ συνεκτικωτάτη κατὰ τοὺς παῖδας τῶν ἰατρῶν. οὐ 10 γὰρ καθάπαξ προσκεχρονικὼς ἐκεῖνος ἀπῆν, ἀλλὰ συμπαρῆν καὶ συμπαρωμάρτει ὡς ἐν τοῖς ἀγγείοις οἱ πονηρότατοι τῶν χυμῶν· μᾶλλον δέ, εἴ τις εἰς τὴν ἐκείνου φύσιν ἀπεῖδεν, οὐ μόνον αἰτία νοσήματος ἦν, ἀλλὰ καὶ ἄντικρυς νόσημα καὶ D βαρύτατον σύμπτωμα. ἀλλ' ἐπέχειν τὸν λόγον ἀνάγκη τὴν 15 γλῶτταν ἐνδακόντας καὶ μὴ παρεκθέειν τῆς λεωφόρου, κἂν P. 438 ὅτι μάλιστα προθυμότατος ᾖ κατὰ τῶν κακουργοτάτων ἐφάλλεσθαι. εἰς καιρὸν γὰρ τὸν προσήκοντα τὰ περὶ τούτου τεταμιεύσθω μοι.

5. Ὁ δὲ λόγος ἐχέσθω τῆς [τῶν Κελτῶν] διηγήσεως. 20 αὐλίζεται μὲν οὖν ὁ αὐτοκράτωρ κατὰ τὴν πέραθεν Δάμαλιν· ἐκεῖσε γὰρ τοῦτον ὁ λόγος περαιωσάμενον καταλέλοιπε. καὶ συνέρρεον αὐτίκα ἅπαντες νιφετοῦ δίκην διαπερῶντες

6. προσεμηχανᾶτο F, ἐμηχανᾶτο P. 15. παρεκθέειν F, παραθέειν P. 17. τεταμιεύσθω F, ταμιευέσθω P. 19. τῶν Κελτῶν om. A, seclusi. 21. περαιωσάμενον F, διαπεραιωσάμενον P.

morbum adiuvit plenoque illo amaritudinis cratere huic propinato, quam quidem rem, ne omnia dicam, paucis indicabo, etiam dolores auxit, quamquam Augusta melle craterem circumlinens quippe indefessa imperatoris custos pleraque haec mala levare studuit, hunc quoque disputationi addamus et fuerit sane tertia morbi causa nec ea principio tantum extitit, sed perpetua fuit, quemadmodum medici distinguunt. non enim semel adgressus ille nusquam comparuit, sed praesens semper fuit semperque comitatus est veluti in vasis humores pessimi. quin etiam si illius naturam respicimus, certe non solum morbi auctor, sed potius morbus ipse et gravissimum malum fuit. at nunc nobis expedit admorsa lingua tacere nec de via declinare, quamvis valde cupiamus in sceleratissimos excurrere; ad opportunius enim tempus haec reservabimus.

5. Itaque, ut redeat oratio ad res narrandas, imperator, cum ad Damalin, quo traiecisse eum narravi, stationem haberet, confestim omnes traicientes nivis instar ad eum confluxerunt, qui ibi commorabatur,

πρὸς αὐτὸν αὐτοῦ που προσμένοντα, τὸ μὲν τὴν ἁπάντων ἔλευσιν ἀπεκδεχόμενον, τὸ δὲ καὶ τὴν σφοδρὰν ἐκείνην
B ὀδύνην ῥᾶϊσαι ἐλπίζοντα. πλησιφαῆ δὲ τὴν σελήνην ἤδη θεασάμενος, ἐπεὶ συμπαρῆν καὶ ἡ Αὔγουστα τῆς τῶν ποδῶν ὀδύνης ἐπιμελουμένη καὶ κουφίζουσα τούτου τὰς ἀλγη- 5 δόνας διὰ παντοίας ἐπιμελείας, ὡς "εἴ ποτε" εἶπεν ὁ βασιλεύς "ἐς προνομὴν οἱ Τοῦρκοι ὁρμῆσαι ἐβούλοντο, ὁ καιρὸς ἤδη ἐπιτήδειος πάρεστι, καὶ ἄχθομαι τὸν προσήκοντα καιρὸν ἀπολωλεκώς". ἑσπέρας μὲν ἔφη τοῦτο, κατὰ δὲ τὸ περίορθρον εἰσελθὼν ὁ περὶ τὸν κοιτῶνα τῶν βασιλέων ἐνα- 10 σχολούμενος ἐκτομίας τὴν τῶν Τούρκων ἐς Νίκαιαν κατήγ-
C γειλεν ἔφοδον καὶ τοῦ τηνικαῦτα ταύτην φρουροῦντος Εὐ-
V. 347 σταθίου τοῦ Καμύτζη γραφὴν ὑπεδείκνυ τὰ κατ' αὐτοὺς διαλαμβάνουσαν. ὁ γοῦν αὐτοκράτωρ μηδὲ μικρὸν ἀναμείνας μηδὲ μελλήσας ὅλως, ἀλλ' οἷον τῆς συνεχούσης αὐτὸν ὀδύνης 15 ἐπιλαθόμενος δι' ἁρμαμάξης τῆς πρὸς Νίκαιαν φερούσης ἥψατο τῇ δεξιᾷ χειρὶ λύγον κατέχων. οἱ δὲ στρατιῶται τηνικαῦτα τὰ δόρατα † τούτων ἀναλαβόμενοι κατ' ἴλας στοιχηδὸν ἐφ' ἑκάτερα ἵεντο. καὶ οἱ μὲν παρέθεον τούτῳ, οἱ δὲ προέπεμπον, οἱ δὲ συνείποντο συγχαίροντες μὲν αὐτῷ 20 κατὰ τῶν βαρβάρων ἐξορμήσαντι, ἀνιώμενοι δὲ διὰ τὴν

7. ἐς F, εἰς PA. 8. ἄχθομαι ἤδη P, ἤδη om. FA. 14. διαλαμ] in ima pagina m. al. ἀπὸ τῶν ὧδε λείπουσι φύλλα δύο. sequuntur duo folia insiticia m. rec. scripta. 15. μελήσας F. 17. λύγον FC, λόγον P. 19. στιχηδὸν F. ἵενται F (sed eadem m. corr. ἵεντο).

partim quod exercitus adventum expectabat, partim quod magnum illum pedum dolorem delinitum iri sperabat. interim plenilunium conspicatus, cum Augusta adesset pedumque dolores omni cura levare studeret, "Turcae," inquit "si quidem ad praedas erumpere volebant, nunc adest tempus opportunissimum; quod me quidem omisisse, est sane, quod doleam." sic vespere locutus est; mane postridie imperatorum cubiculum intrans eunuchus, cui cura eius demandata erat, et Turcas contra Nicaeam proficisci nuntiat et Eustathii Camytzae, eius tunc praefecti, epistulam ostendit, qua, quid illi agerent, exposuit. quare dolorum, quibus cruciabatur, quasi oblitus imperator sine ulla vel minima mora curru Nicaeam pervolat dextra manu flagellum ipse tenens, properabantque eodem hastis arreptis militum cohortes apte utrimque dispositae, partim procurrentes partim comitantes partim subsequentes; mira alacritate omnes, quod imperatorem contra barbaros proficiscentem videbant, tristes vero, quia doloribus

ἀπείργουσαν αὐτὸν ἱππάζεσθαι ὀδύνην. ὁ δὲ πρὸς θάρσος D
ὤτρυνεν ἅπαντας νεύμασί τε καὶ λόγοις ἡδὺ προσμειδιῶν
αὐτοῖς καὶ προσφθεγγόμενος. δι' ἡμερῶν δὲ τριῶν κατέ-
λαβε τόπον τινὰ Αἰγιαλοὺς καλούμενον, ἐξ οὗ πρὸς τὴν
5 Κιβωτὸν διαπλωΐσασθαι ἔμελλεν. ἐπειγόμενον δὲ τοῦτον
τὴν διαπεραίωσιν ὁρῶσα ἡ Αὔγουστα συνταξαμένη τούτῳ
πρὸς τὴν βασιλεύουσαν ἐπορεύετο. τοῦ δὲ αὐτοκράτορος
τὴν Κιβωτὸν καταλαβόντος προσέρχεταί τις αὐτῷ λέγων ἐκ-
κρίτους σατράπας τεσσαράκοντα χιλιάδων διαιρεθῆναι καὶ P. 439
10 τοὺς μὲν ἐς προνομὴν τῆς Νικαίας καὶ τῶν παρακειμένων
αὐτῇ χωρῶν κατελθεῖν, τὸν δὲ Μονόλυκον καὶ τὸν ......
τὰ παρὰ τὴν θάλασσαν δῃώσασθαι. οἵτινες τά τε παρακεί-
μενα τῇ περὶ τὴν Νίκαιαν λίμνῃ καὶ τὴν Προῦσαν δῃώσαν-
τες, ὡς δὲ καὶ τὴν Ἀπολλωνιάδα, αὐτοῦ που περὶ ταύτην
15 ηὐλίσαντο κἀκεῖσε τὴν λείαν πᾶσαν ἀφελόμενοι ὁμοῦ πρὸς
τὰ πρόσω ἐχώρησαν, τό τε Λοπάδιον καὶ πάντα τὰ ξυμπα-
ρακείμενα ληϊσάμενοι, ἀλλὰ καὶ αὐτήν, φησι, τὴν Κύζικον
καταλαβόντες ἐξ ἐφόδου ἀπὸ τοῦ μέρους τῆς θαλάσσης κατ- B
έσχον τοῦ ταύτην φρουροῦντος μηδοπωσοῦν ἀντισχόντος,
20 ἀλλ' ἀγεννῶς ἐκεῖθεν ὑποχωρήσαντος. εἶτα τόν τε Κοντογμὴν
καὶ τὸν Ἀμὴρ Μουχούμετ τῶν ἐκκρίτων ἀρχισατράπας διὰ

3. *δὲ* C, *τε* P. 4. *Αἰγιαλοὺς* C, *Αἰγύλλους* P. 11. lacuna sex litterarum in FP. 12. *παρὰ* A, *περὶ* P. *θάλασσαν* F, *θαλάτταν* P. 13. *πρῶσαν* C. 19. *μηδ' ὁποσοῦν* P, correxi. 21. *καὶ τὸν* FC, *τὸν* om. P.

ne equitaret prohibebatur. is quidem omnium animos nutu et arrisu dictisque excitabat. sic triduo perventum est ad locum quendam, qui Aegiali nominatur, unde Cibotum traiecturus erat. Augusta vero traiectionem maturari videns coniugi vale dixit et in regiam urbem contendit. Cibotum appulsum imperatorem adit quidam nuntians praecipuos Turcarum satrapas distribuisse inter se copias, quas habuissent, quadraginta millia numero eorumque alios ad Nicaeam vicinaque loca populanda exiisse, Monolycum vero et * maris oram devastare, illos tota ad Nicaeensem lacum regione, Prusa etiam Apolloniadeque direptis castra ibi posuisse praedaque omni eo collata communi agmine ire perrexisse nec Lopadium modo omniaque ei finitima vexasse, verum ipsam etiam Cyzicum in transcursu cepisse impetu a mari facto, cum urbis praefectus minime resisteret, sed turpiter inde effugeret. deinde Contogmen et Amerem Muchumetum delectorum archisatrapas per

τῶν Λεντιανῶν πρὸς τὸ Ποιμανηνὸν ἀπιέναι ἐφελκομένους
λείαν πολλὴν καὶ ἄνδρας πλείστους δορυθηράτους καὶ γύναια
καὶ παῖδας, ὅσους ἀφῆκεν ὁ σίδηρος. τὸν δέ γε Μονόλυκον
ποταμόν τινα διαπεράσαντα Βαρηνὸν ἐγχωρίως καλούμενον,
ῥέοντα μὲν ἀπό τινος ὄρους Ἴβιδος καλουμένου, ἀφ' οὗ
C πολλοὶ καὶ ἄλλοι ἀπορρυίσκονται ποταμοί, Σκάμανδρός τε
καὶ Ἀγγελοκωμίτης καὶ Ἔμπηλος, πρός τε τὸ Πάριον ἀπο-
νενευκέναι καὶ τὴν ἐφ' Ἑλλησπόντου Ἄβυδον καὶ δι' Ἀτρα-
μυττίου τε καὶ τῶν Χλιαρῶν διεληλυθότα μετὰ πάσης αἰχμα-
λωσίας ἀναιμάκτως καὶ ἄνευ μάχης τινός. πρὸς ταύτην 10
τὴν ἀγγελίαν ὁ αὐτοκράτωρ τὸν Καμύτζην δοῦκα τηνικαῦτα
Νικαίας χρηματίζοντα διὰ γραμμάτων παρεκελεύσατο παρέ-
πεσθαί τε τοῖς βαρβάροις μετὰ πεντακοσίων στρατιωτῶν καὶ
τὰ κατ' αὐτοὺς διὰ γραμμάτων δηλοῦν, φείδεσθαι δὲ τῆς
D μετ' αὐτῶν συμπλοκῆς. ὁ δὲ ἐξελθὼν τῆς Νικαίας κατα- 15
V. 348 λαμβάνει τόν τε Κοντογμὴν καὶ τὸν Ἀμὴρ Μουχούμετ καὶ
τοὺς λοιποὺς εἰς τὰ καλούμενα Ἀόρατα καὶ ὥσπερ τῆς τοῦ
αὐτοκράτορος παραγγελίας ἐπιλαθόμενος παραχρῆμα τούτοις
προσβάλλει. οἱ δὲ τὸν αὐτοκράτορα προσδόκιμον ἔχοντες καὶ
τοῦτον εἶναι τὸν ἐπεισπεσόντα νομίσαντες πτοηθέντες τὰ νῶτα 20
διδόασι. Σκύθην δέ τινα τηνικαῦτα κατασχόντες καὶ παρὰ
τούτου πυθόμενοι, ἐπεὶ τὸν Καμύτζην ἐγνώκεσαν εἶναι, τὰς

5. *Ιβιδος* C, *Ιβιβος* P. 6. *ἀπορυίσκονται* P, correxi. 7. *Ἀγγε-λοκωμίτης* FC, *Αγγιλοκωμίτης* P. *πάριον* A, *Πάρεον* P. 8. *ἀτραμυττίου τε* F, *ἀτραμυττίου δὲ* A, *Ἀτραμύτου* P. 12. *Νικαίας χρηματίζοντα* C, *Νικαίας* om. P, lacunam habet A. 14. *δὲ* scripsi: *τε* P. 16. *μαχούμετ* F. 22. *ἐγνώκεσαν* A, *ἐγνώκεισαν* P.

Lentianos Poemanenum abiisse multam praedam plurimosque captivos cum mulieribus et pueris, quotquot ferrum reliquisset, secum trahentes; Monolycum autem traiecto Bareno fluvio (ita eum accolae appellant, fluitque, unde multi quoque alii, Scamander Angelocomites Empelus, ex monte quodam Ibide) ad Parium declinasse et Abydum ad Hellespontum sitam cumque per Atramyttium Chliaraque cum tota captivorum multitudine tutum sine sanguine et proelio iter habuisse. hac re imperator nuntiata litteris Camytzae tunc Nicaeae duci mandat, ut barbaros cum quingentis militibus subsequeretur et quae de illis comperta haberet, statim ad se scriberet, vitaret autem cum Turcis congressum. is igitur Nicaea profectus Contogmen et Amerem Muchumetum reliquosque ad Aorata, quae vocant, deprehendit ac veluti oblitus imperatoris mandatorum illico cum iis manum conseruit. ibi Turcae, quia adfuturum imperatorem sciebant seque ab ipso iam invadi credebant, terga conterriti dederunt; sed ubi e Scytha, quem ceperant, Camytzen adesse

ἀκρολοφίας διῄεσαν καὶ θαρρύνοντες ἑαυτοὺς διά τε τυμπάνων καὶ ἀλαλαγμῶν ἀνεκαλοῦντο τοὺς ἁπανταχῇ σκεδασθέντας τῶν ὁμοφύλων. οἱ δὲ ἀνακλητικὸν τουτὶ τὸ σύνθημα P. 440
γινώσκοντες πάντες συνέρρεον. ἐπανελθόντες οὖν κατὰ τὴν
5 πεδιάδα τὴν διακειμένην ἐγγὺς κάτωθεν τῶν καλουμένων Ἀοράτων αὖθις ἠθροίσθησαν. ὁ δέ γε Καμύτζης τὴν λείαν πᾶσαν ἀφελόμενος ἐξ αὐτῶν οὐκ ἤθελε μέχρι τοῦ Ποιμανηνοῦ καταλαβεῖν, ὡς εὖ τὰ κατ' αὐτὸν ἐν τούτῳ διαθέσθαι (πολίχνιον δὲ τοῦτο ἐρυμνότατον), ἀλλὰ περὶ τὰ
10 Ἀόρατα ἐμβραδύνων ἔλαθε καθ' ἑαυτοῦ βουλευσάμενος. οἱ βάρβαροι γὰρ ἐν τῷ ἀκινδύνῳ γεγονότες οὐκ ἐπελάθοντο τοῦ Καμύτζη, ἀλλ' ἐνήδρευον τοῦτον διὰ παντός. καὶ μεμαθηκότες ἔτι αὐτὸν εἰς τὰ Ἀόρατα ἐνδιατρίβοντα καὶ τὰ B
περὶ τὴν λείαν ἅπασαν καὶ τοὺς δορυαλώτους διατιθέμενον,
15 παραχρῆμα τὰς ὑπ' αὐτοὺς δυνάμεις κατ' ἴλας καταστησάμενοι περὶ δείλην ἑῴαν εἰσπίπτουσιν αὐτῷ. τὸ μὲν οὖν πλεῖον τοῦ στρατεύματος τοῦ Καμύτζη τοσαύτην πληθὺν βαρβάρων ἐπεισπεσοῦσαν αὐτοῖς ἑωρακότες φυγῇ τὴν ἑαυτῶν σωτηρίαν ἐδόκουν πραγματεύσασθαι. αὐτὸς δὲ μετὰ τῶν Σκυ-
20 θῶν καὶ τῶν Κελτῶν καὶ ὁπόσοι τῶν Ῥωμαίων εὐψυχότεροι ἦσαν ἐκθύμως ἐμάχετο. καὶ τηνικαῦτα οἱ τούτων πλείους C
πίπτουσιν· ὁ δέ γε Καμύτζης μετ' ὀλίγων καταλειφθεὶς

2. *σκεδασθέντας* AP, *διασκεδασθέντας* F. 6. *Καμμύτζης* F: sic semper in his foliis insiticiis. 11 sq. *ἐπελανθάνοντο τοῦ καμύτζη, τοσαύτην πληθὺν βαρβάρων ἑωρακότες ἀνδραποδισθέντα ἐξ αὐτῶν παρὰ τοῦ καμύτζη* A. 13. *διατρίβοντα* F. 14. *περὶ* scripsi: *παρὰ* P. 18. *φυγῇ* FA, *φυγὴν* P. *τὴν ἑαυτῶν σωτηρίαν ἐδόκουν πραγματεύσασθαι* A, *τ. ἑ. σ. πραγματεύεσθαι ἐ.* F, *τ. ἑ. πραγματεύεσθαι ἐ. σ.* P. 19. *Κελτῶν καὶ τῶν Σκυθῶν* F. 21. *ἐμάχοντο* C. 22. *ὀλίγων πάνυ* A.

compererunt, resumptis animis montes percurrentes tympanis clamoribusque dispersos populares suos undique e fuga revocarunt; qui agnito revocandi signo rursus congregati omnes in planitiem ad Aorata subiectam redierunt. at Camytzes universa praeda barbaris erepta ad Poemanenum vicinam arcem munitissimam, ubi in tuto res suas componeret, progredi noluit, sed morando circum Aorata, quippe cum servati barbari haud eius obliviscentes perpetuo ei insidiarentur, ipse sibi inscius perniciem struxit. illi enim, simul ac morari eum adhuc circum Aorata cognoverunt totamque praedam captivorumque res componere, copiis extemplo per cohortes dispositis primo diluculo in eum irruunt. tum plurimi Camytzae milites tot barbarorum impetu cognito salutem in fuga posuerunt; dux ipse una cum Scythis et Gallis et Romanorum, qui generosiores erant, fortissime pugnans licet plerisque suorum occisis solus cum paucis proelium

ἔτι ἀντείχετο τῆς μάχης. καιρίαν δὲ ὁ ἵππος, ἐν ᾧ ἐπωχεῖτο, πληγεὶς κατὰ γῆς ἔρριπτο. ὁ δέ γε τούτου ἀδελφιδοῦς Καταρόδων οὕτω καλούμενος ἀποβὰς τοῦ ἰδίου ἵππου τοῦτον αὐτῷ δίδωσι. βαρὺς δὲ ὢν ὁ ἀνὴρ καὶ μέγας ῥᾳδίως τοῦ ἵππου ἐπιβῆναι οὐκ εἶχεν· ἔνθεν τοι καὶ μικρὸν ἀνα- 5 ποδίσας ἐπί τινα δρῦν ἑαυτὸν προσερείσας καὶ τὸν ἀκινάκην σπασάμενος τάς τε σωζούσας ἀπολωλεκὼς ἐλπίδας, ὁπόσοι D τούτῳ τῶν βαρβάρων συμπλακῆναι κατετόλμων, κατά γε κόρυθος καὶ ὤμων καὶ αὐτῶν δὴ τῶν χειρῶν παίων οὐκ ἐνεδίδου. ἐπὶ πολὺ γοῦν τοῦτον ἀντέχοντα ὁρῶντες οἱ βάρ- 10 βαροι καὶ πολλοὺς κτείνοντα, πολλοὺς δὲ καὶ τιτρώσκοντα ὑπεραγάμενοι τὴν τοῦ ἀνδρὸς τόλμαν καὶ τὸ σταθηρὸν αὐτοῦ θαυμάσαντες τὴν σωτηρίαν αὐτοῦ διὰ ταῦτα πραγματεύσασθαι ἐβουλήθησαν. ὁ δὲ ἀρχισατράπης Μουχούμετ τὴν κλῆσιν τοῦτον καὶ πάλαι γινώσκων καὶ τηνικαῦτα ἀναγνωρίσας 15 ἀνακόπτει μὲν τῆς ὁρμῆς τοὺς αὐτῷ συμπλεκομένους, ἀποβὰς δὲ τοῦ ἵππου μεθ' ὧν ἔτυχε προσελθὼν ἔφη "μὴ πρόκρινε τῆς σῆς σωτηρίας τὸν θάνατον· ἀλλὰ δίδου μοι τὴν χεῖρα καὶ σώζου". ὁ δὲ ὑπὸ τοσούτων περιστοιχούμενον ἑαυτὸν ὁρῶν καὶ μὴ πρὸς τοσούτους ἀντέχειν ἔτι δυνάμενον 20 P. 441 δίδωσι χεῖρας τῷ Μουχούμετ. καὶ ὃς ἐφ' ἵππον τοῦτον ἐπιβιβάσας τοὺς αὐτοῦ πόδας δεσμεῖ, ὡς μὴ ῥᾳδίως ἀποδρᾶσαι δύνασθαι. ἀλλὰ ταῦτα μὲν τὰ τῷ Εὐσταθίῳ συμπεσόντα·

2. ἔρριπτο F, ἔριπτο P. 5. εἶχεν F, εἶχε P. 7. σωζούσας καθάπαξ A. 8. συμπλακῆναι om. F. 10. ἀνέχοντα P, correxi. 18. δίδου μοι P, δίδοθι A. 19. τὴν A, om. P. 21. μουχούμετ C (sic semper) AF, Μαχούμετ P. ἔφιππον P, correxi.

sustinebat. in quo postquam letali vulnere percussus eius equus concidit, patruelis Camytzae nomine Catarodon suo statim equo desiliens hunc ei tradit. verum ingentis ponderis staturaeque homo, cum facile equum conscendere non posset, paulum retrocedens ad quercum humeris applicitis acinacem stringit saluteque desperata, quotquot barbari accedere audebant, eos in galea et humeris manibusque ictibus continuo petebat. hunc barbari caesis ab eo vulneratisque multis pugnare perseverantem conspicati admiratique viri et audaciam et constantiam servare decreverunt; ex quibus Muchumet archisatrapa, ubi agnovit eum, qui ipsi olim notissimus erat, omnes in eum dimicantes impetu prohibet et ipse equo desiliens cum iis, quos forte secum habuit, propius accedens "Noli" ait "mortem saluti praeferre, sed manum mihi da ac salvus esto." tum Camytzes intellegens tanta se copia circumventum diutius resistere non posse dat manum Muchumeto, qui in equo imposito ei, ne facile elaberetur, pedes vinciri iussit. hactenus de casu Eustathii. imperator autem

ὁ δέ γε αὐτοκράτωρ στοχασάμενος τῆς ἀτραποῦ, δι' ἧς διϊέναι V. 349
ἔμελλον, ἄλλην τραπόμενος διά τε τῆς Νικαίας διελθὼν καὶ
τῶν Μαλαγίνων καὶ τῶν οὕτω καλουμένων Βασιλικῶν (ταῦτα
δὲ τέμπη εἰσὶ καὶ δύσβατοι ἀτραποὶ περὶ τὰς ἀκρολοφίας
5 τοῦ Ὀλύμπου διακείμενα) κατέρχεται εἰς τὰ Ἀληθινὰ κἀκεῖσε
καταλαμβάνει τὴν Ἀκροκὸν ἐπειγόμενος προκαταλαβεῖν ἀπὸ B
τῶν ἔμπροσθεν τοὺς Τούρκους καὶ οὕτω καρτερῶς μετ' αὐτῶν
συνάψαι τὸν πόλεμον. οἱ δὲ μηδὲ μνείαν ὅλως Ῥωμαϊκοῦ στρα-
τεύματος εἰς νοῦν λαβόντες τὸν κατὰ τὴν τέμπειαν διακείμενον
10 καλαμῶνα καταλαβόντες ἐκεῖ που περιχυθέντες ἐξέκειντο.
ἐπεὶ δὲ ἀπηγγέλη τῷ αὐτοκράτορι ἀπερχομένῳ κατ' αὐτῶν τὴν
πεδιάδα τῆς τεμπείας τοὺς βαρβάρους καταλαβεῖν, ἀπὸ δια-
στήματος ἱκανοῦ τὸ στράτευμα εἰς πολέμου τύπον καταστή-
σας καὶ παραταξάμενος ἔμπροσθεν μὲν Κωνσταντῖνον τὸν
15 Γαβρᾶν καὶ τὸν Μοναστρᾶν ἔταξεν, ἐφ' ἑκάτερα δὲ ἰλαδὸν C
καταστήσας τὸ στράτευμα τὴν οὐραγίαν τῷ Τζιπουρέλῃ καὶ
τῷ Ἀμπελᾷ πολλὴν τὴν τοῦ πολέμου πεῖραν ἐκ μακροῦ
ἐσχηκόσι δέδωκε. τὸ δὲ μέσον τῆς παρατάξεως αὐτὸς διέ-
πων ὅλας συνετάραττε φάλαγγας καὶ οὕτως ὥσπερ κεραυνὸς
20 τοῖς Τούρκοις ἐμπεσὼν καρτερὸν τὸν μετ' αὐτῶν συνῆψε
πόλεμον. πολλοὶ μὲν οὖν τηνικαῦτα κτείνονται τῶν βαρβά-
ρων ἀγχεμάχου τῆς μάχης γεγονυίας, πολλοὶ δὲ καὶ δορυθή-
ρατοι ἄγονται. οἱ δὲ τῷ καλαμῶνι προσπεφευγότες τέως

3. Μαλαγίνων C, Μελαγίνων P. 6. ἀκρομὸν A. 9. τέ-
πειαν F. 10. καταλαβόντες om. F. 12. τεπείας F. 13.
τύπον F, τόπον P. 16. Τζιπουρέλη (corr. m. 1) F.

viam, qua progressuros esse barbaros praevidit, vitans per Nicaeam et Malagina eumque locum, cui Basilica nomen est (quae valles sunt angustae viaeque impeditissimae circa Olympi iuga), descendit in Alethina indeque, ut Acrocum occuparet Turcas a fronte aggressurus cumque iis proelium committeret, iter eo maturat. verumtamen illi Romani exercitus prorsus immemores occupant arundinetum, quod in ista valle est, in eoque circumfusi iacebant. ubi comperit imperator contra eos procedens barbaros vallis planitiem occupasse, idoneo intervallo instructa acie in fronte Constantinum Gabram et Monastram collocavit reliquisque copiis ex utroque latere per cohortes dispositis postremum agmen Tzipurelae et Ampelae viris longo belli usu exercitatissimis commendavit; ipse vero mediam sibi aciem sumpsit totasque phalangas conturbans fulminis instar in Turcas immissus acre cum iis proelium conserit. ibi comminus certamine coorto multi barbarorum cadunt capiunturque, ceteri in arundineam silvam abditi

ἐσώζοντο· ὁ δὲ αὐτοκράτωρ λαμπρὰν τὴν κατ' αὐτῶν νίκην ἀράμενος πρὸς τὸν καλαμῶνα ἐπιστραφεὶς ἔσπευδε κἀκεῖθεν
D τούτους ἀπελάσαι. οἱ δὲ στρατιῶται διὰ τὸ βαλτῶδες καὶ πυκνὸν τοῦ καλαμῶνος μὴ δυνάμενοι εἰσιέναι ἐν ἀμηχανίᾳ ἦσαν. καὶ ὃς περιζώσας τὸν καλαμῶνα διὰ τῶν στρατιωτῶν 5 πῦρ ἐκ μέρους τοῦ καλαμῶνος ἀφῆναι ἐπέταξε. τούτου δὲ γενομένου ἡ φλὸξ εἰς ὕψος ἦρτο μέγα· οἱ δὲ ἐντὸς φεύγοντες τὸ πῦρ εἰς τὰς τῶν στρατιωτῶν ἐνέπιπτον χεῖρας. καὶ τούτων δὲ οἱ μὲν παρανάλωμα ξίφους ἐγίνοντο, οἱ δὲ πρὸς τὸν αὐτοκράτορα ἤγοντο. 10

6. Ἀλλὰ ταῦτα μὲν τὰ κατὰ τοὺς ἀπὸ τοῦ Καρμὲ
P. 442 κατελθόντας βαρβάρους· ὁ δὲ Ἀμὴρ Μουχούμετ μεμαθηκὼς τὴν συμφορὰν τὴν περὶ τοὺς ἀπὸ τοῦ Καρμὲ Μουσουλμάνους κατόπιν εὐθὺς ἐλαύνει τοῦ βασιλέως ἑνωθεὶς μετὰ τῶν κατὰ τὴν Ἀσίαν οἰκούντων Τουρκομάνων καὶ τῶν λοιπῶν, ὥστε 15 ξυνέβαινε τὸν αὐτὸν διώκειν τε καὶ διώκεσθαι. οἱ μὲν γὰρ ἀμφὶ τὸν Μουχούμετ βάρβαροι τὸν αὐτοκράτορα ἰχνηλατοῦντες ἐδίωκον· ὁ δὲ τοὺς ἀπὸ τοῦ Καρμὲ μεταπορευόμενος ἦν, ὥστε μέσον ἀμφοῖν ἐναπειλῆπτο. ἀλλὰ τοὺς μὲν ἔφθασε νενικηκώς, οἱ δὲ διώκοντες ἔξω κακῶν εἱστήκεισαν ἔτι. ἐπεὶ 20
B δ' ἀθρόον τῇ οὐραγίᾳ τοῦ αὐτοκράτορος προσέπεσεν ὁ Μου-
V. 350 χούμετ, πρώτως περιτυγχάνει τῷ Ἀμπελᾷ. ὁ δὲ ἐν αἰσθήσει

1. νίκην κατ' αὐτῶν F. 6. ἀφῆναι scripsi: ἀφεῖναι PA. 9. δὲ om. F. 12. ἐλθόντας F. ἀμηρᾶς A. Μουχούμετ PA, μαχούμετ F. 17. μουχούμετ F, Μαχούμετ P. 21. μουχούμετ F, Μαχούμετ P.

in praesentia quidem salvi erant; verum imperator splendida de iis reportata victoria ad arundinetum conversus inde illos extrahere studuit; cumque milites, qui per uliginosum densumque arundinetum penetrare non poterant, quo se verterent, nescirent, undique militum corona arundinetum cingi iubet et ab una parte ignem accendi. inde sublimi flamma elata fugientes Turcae in militum manus inciderunt; quorum pars caesi, pars vivi ad imperatorem ducti sunt.

6. Sed hactenus de rebus contra eos barbaros gestis qui a Carme descenderant. at vero Amer Muchumet de hac Musulmanorum, qui a Carme venerant, clade certior factus iunctis, qui Asiam incolunt, Turcomanis reliquisque repente a tergo imperatorem sequitur; quo factum est, ut eundem, qui persequeretur alios, alii persequerentur. nam et Muchumetis milites imperatoris vestigia indagantes eum persequebantur, et hic eos qui a Carme venerant utrimque conclusus agit, quos quidem iam vicerat, cum ipsi qui insequebantur securi procederent. subito vero Muchumet novissimum imperatoris agmen aggressus primum incidit in Ampelam. qui et imperatoris

τοῦ αὐτοκράτορος ἂν καὶ διὰ τοῦτο ἐπὶ πλέον θαρσήσας καὶ ἄλλως θρασὺς ὢν ἀνὴρ μηδὲ πρὸς μικρὸν περιμείνας τοὺς μετ' αὐτόν, ὥστε σὺν εὐταξίᾳ τὴν μετὰ τῶν Τούρκων προσβολὴν δέξασθαι, κατὰ τοῦ Μουχούμετ ἵεται. παρείπετο δὲ καὶ ὁ Τζι-
5 πουρέλης. περὶ παλαιοχώριον δέ τι γενομένους μήπω τῶν ὑπ' αὐτοὺς στρατιωτῶν ἐφθακότων καταλαμβάνει τούτους ὁ Μουχούμετ σταθηρότατος ὤν. τὸν ἵππον δὲ τοῦ Ἀμπελᾶ, οὐ τὸν ἱππότην, διὰ βέλους πλήξας κατὰ γῆς ἔρριψεν. ὃ θεασάμενοι οἱ Τοῦρκοι πεζῷ περιτυχόντες κτείνουσιν. ἀλλὰ καὶ τὸν C
10 Τζιπουρέλην ἀναισχύντως κατ' αὐτῶν ἱέμενον ὁρῶντες τὸν ἵππον, ἐν ᾧ ἐπωχεῖτο, πτερώσαντες οἷον τοῖς βέλεσιν ἔξεδρον αὐτὸν ἐποίησαν καὶ διὰ μαχαίρας παραχρῆμα ἀνεῖλον. οἱ δὲ τὴν οὐραγίαν τηροῦντες στρατιῶται, ὥστε τοὺς κεκοπιακότας τῶν τὰς σκευὰς τηρούντων στρατιωτῶν καὶ τοὺς
15 ἵππους φρουρεῖν καὶ τοὺς κατ' αὐτῶν ἱεμένους ἀπελαύνειν ὡς δύναμις, καταλαβόντας θεασάμενοι τοὺς Τούρκους κατ' αὐτῶν ἵενται καὶ τρέπουσιν αὐτοὺς κατὰ κράτος. ἐπεὶ δὲ ὁ Καμύτζης μετὰ τῶν Τούρκων τηνικαῦτα δέσμιος παρῆν, τὴν γενομένην σύγχυσιν ἐν τῇ συμβολῇ τῆς μάχης θεασάμε- D
20 νος καὶ τοὺς μὲν φεύγοντας, τοὺς δὲ διώκοντας ὁρῶν σταθηρὸς ὢν δρασμὸν μελετήσας τῆς ὁδοῦ εἴχετο. περιτυχὼν

2. ὁ ἀνὴρ P, ὁ delevi. *περιμείνας τοὺς μετ' αὐτόν* (*περιμείνας* scriptum altera manu) C, *περικαρτερήσας* P. 4. *Μαχούμετ* P, correxi. *δὲ τούτῳ καὶ* A. *Τζιπαρέλης* F, *τζιπερούλης* A. 5. *γενομένους* scripsi: *γενομένῳ* P. *αὐτοὺς* C, *αὐτὸν* P. 8. *ὃν* P, correxi. 9. *ἀλλὰ καὶ*] finis foliorum insiticiorum; ab eodem qui illa scripsit primus versus (*τὸν . . . οἷον τοῖς*) in insequenti pagina adiectus est. 15. *ἀπελαύνειν ἱεμένους* F.

vicinia, ante cuius oculos ipsi pugnandum esset, fretus et alioquin vir audacissimus, ne tantillum quidem moratus, ut composito agmine Turcarum impetum exciperet, praeceps in Muchumet fertur. successit etiam Tzipureles; iamque ad vici cuiusdam rudera uterque processerat militibus nondum eo progressis, cum obviam iis fit Muchumet, vir animi praesentis, Ampelaeque equum salvo equite iaculo transfigit, ut corrueret; quo conspecto cinctum peditem Turcae interficiunt. item Tzipurelen audacter in ipsos irruentem cum viderent, postquam equum eius tot telis confixerunt, ut alatus videretur, equo deiectum ferro statim trucidarunt. interea novissimi agminis milites, qui calones defatigatos et equos tueri et hostes a tergo pro viribus prohibere iussi erant, ubi Turcas adesse viderunt, eos aggressi fundunt fugantque. erat tunc vinctus apud Turcas Camytzes, qui perturbationem ut in certamine factam illosque fugere, hos persequi animadvertens, utpote praesenti vir animo, fugam meditans pergit conscensoque equo, quem

δὲ αὐτῷ κατάφρακτός τις Κελτὸς τὸν ἵππον δίδωσι· καὶ καταλαμβάνει τὸν αὐτοκράτορα περὶ τὴν πεδιάδα τῆς τεμ-
P. 443 πείας αὐλιζόμενον μεταξὺ Φιλαδελφείας καὶ Ἀκροκοῦ διακειμένην, οὐχ ἑνί, ἀλλὰ πολλοῖς ἀποχρῶσαν στρατεύμασιν. ὁ δὲ τὸν Καμύτζην θεασάμενος μεγάλως αὐτὸν ἀποδεξάμενος 5 καὶ σῶστρα τῷ ῥυσαμένῳ τοῦτον Θεῷ θύσας πρὸς τὴν βασιλεύουσαν ἐκπέμπει "εἰπὲ" λέγων "ὅσα τε πέπονθας καὶ ὅσα ἑώρακας καὶ τὴν ἡμῶν σὺν Θεῷ τοῖς ἡμετέροις κατάγγειλον ζωήν". μεμαθηκὼς δὲ τὴν σφαγὴν τοῦ Ἀμπελᾶ καὶ τοῦ Τζιπουρέλη καὶ λίαν ἐπὶ τῇ τούτων σφαγῇ περιαλ- 10 γήσας ὁ αὐτοκράτωρ τὴν ψυχὴν ἔφη "δύο δόντες ἕνα ἐλάβομεν". ἔθος γὰρ αὐτῷ, ὁπηνίκα νικήσειέ τινα πόλεμον,
B ἀνερευνᾶν, εἴ τις ἑάλω τῶν στρατιωτῶν, εἴ τις ἔργον ἐγεγόνει πολεμίας χειρός· καὶ κἂν ὅλας ἐτρέψατο φάλαγγας καὶ νίκην τὴν κατ' αὐτῶν ἤρατο, ξυμβέβηκε δ' ἕνα που τυχὸν καὶ τῶν 15 ἐσχάτων στρατιωτῶν ἀπολέσθαι, τὸ τῆς νίκης εἰς οὐδὲν ἐλογίζετο πρᾶγμα καὶ Καδμείαν ὡς ἀληθῶς νίκην τὴν νίκην ἐκείνην ἡγεῖτο καὶ ἀντὶ κέρδους ζημίαν. αὐτὸς δὲ ἡγεμόνας τινὰς μετὰ τῶν ὑπ' αὐτὸν στρατιωτῶν ἐς φυλακὴν καταστήσας τῆς χώρας Γεώργιον τὸν Λεβούνην καὶ ἑτέρους πρὸς 20 τὴν βασιλεύουσαν νικητὴς ἐπανῄει. ὁ μὲν οὖν Καμύτζης καταλαβὼν τὸ Δάμαλιν καὶ ἐν ἀμφηρικῷ εἰσελθὼν περὶ

2. τεπείας F. 4. στρατεύμασι F. 4 sq. ὁ δὲ τὸν C, τὸν δὲ P. 7. ὅσα τε F, τε om. P. 8. κατάγγειλον C, κατάγγειλε P. 15. δὲ ἕνα F, δ' om. P. 22. ἀμφηρικῷ L. Dindorfius: ἀμφιρύκῳ P.

forte Gallus quidam cataphractus ei dederat, cito ad imperatorem delatus est, qui in vallis planitie inter Philadelphiam et Acrocum posita nec uni, sed multis simul excipiendis exercitibus sufficiente castra posuerat. eum simul ac conspexit imperator, laetissimus salutat gratiisque deo relatis ob restitutam illi libertatem ipsum Constantinopolin dimittens "Nuntia," inquit "quidquid et tuleris et videris, ac nos dei gratia valere nostris refer." verum Ampelae Tzipurelaeque caede cognita intimo dolore affectus imperator "Unum" inquit "recepimus, duos amisimus". nam ipsi moris fuit bello gloriose confecto, ut exquireret, ecquis militum captus occisusve esset, cumque unum forte eumque infimi ordinis militem periisse comperisset. etiamsi splendidissima victoria totas hostium phalangas fudisset, eiusmodi victoriam nihili faciebat eamque vere Cadmeam putabat ac noxiam magis, quam utilem. post haec praefectis huic regioni custodiae causa Georgio Lebune aliisque, quibus suas copias reliquit, victor in regiam urbem contendit. Camytzes vero ad Damalin nave

μέσην φυλακὴν τῆς νυκτός, ἐπεὶ τὴν βασιλίδα εἰς τὰ ὑπερ- C
κείμενα τῶν ἀνακτόρων ἐγίνωσκεν οὖσαν, κεῖθι καταλαβὼν V. 351
πατάσσει τὴν περὶ τὸν αἰγιαλὸν πύλην. τῶν δὲ ἐρομένων,
τίς ἂν εἴη, τὴν ἰδίαν οὐκ ἤθελεν ἀποκαλύπτειν κλῆσιν, ἀλλὰ
5 τὰς πύλας ᾐτεῖτο ἀποζυγωθῆναί οἱ. μόγις οὖν τοὔνομα
ἀνακαλύψας παραχωρεῖται τῆς εἰσόδου. ἡ δὲ Αὔγουστα
περιχαρὴς γεγονυῖα ἐδέξατο τοῦτον ἔξω τῆς τοῦ κοιτῶνος
θύρας (Ἀριστήριον τοῦτο πάλαι ὠνόμαζον), θεασαμένη δὲ
τοῦτον Τουρκικῶς ἐσταλμένον καὶ θατέρων τῶν ποδῶν χω-
10 λεύοντα διὰ τὸ πληγῆναι ἐν τῷ καιρῷ τῆς μάχης, περὶ τοῦ
αὐτοκράτορος πρώτως ἐρομένη καθεσθῆναι ἐπέταξεν· εἶτα D
περὶ πάντων πυθομένη καὶ τὴν καινὴν ἐκείνην ἐξ ἀπροσ-
δοκήτου νίκην μεμαθηκυῖα τοῦ αὐτοκράτορος καὶ τὸν δορυ-
άλωτον ἐλεύθερον ὁρῶσα οὐκ εἶχεν ὑφ' ἡδονῆς ὅ τι καὶ P. 444
15 γένοιτο. ἐπέτρεψε δὲ τοῦτον διαναπαύσασθαι μέχρις ἡμέ-
ρας κἄπειτα ἐξελθόντα τὰ συμβεβηκότα διακηρυκεύειν ἅπασι.
καὶ ὁ μὲν πρωΐθεν ἐξαναστὰς καὶ ἐπιβὰς ἵππου τινὸς μετὰ
τῶν ἐσθημάτων ἐκείνων, μεθ' ὧν ἀφῖκτο τῆς αἰχμαλωσίας
παραδόξως ἐλευθερωθείς, ἐπὶ τὸν Κωνσταντίνιον φόρον
20 ἐλήλυθε. καὶ πᾶσα ἡ πόλις εὐθὺς ἐπ' αὐτῷ ἐκεκίνητο ὁμοῦ
τε καὶ τὰ κατ' αὐτὸν μαθεῖν ἐπειγομένη, ὁμοῦ δὲ καὶ τὰ
κατὰ τὸν αὐτοκράτορα πλέον ποθοῦσα. αὐτὸς δὲ περιστοι-

5. ἀποζυγωθῆναι F, ἀπογυμνωθῆναι P. 8. ὠνόμαζον F, ὀνομαζόμενον P. 14. ἐφ' P, correxi. 15. μέχρις F, μέχρι P. 16. ἅπασι F, ἅπασιν P. 18. ἐσθημάτων F, ἐσθήτων P. 21. τε] μὲν?

conscensa circa mediam noctis vigiliam ad superius palatium, ubi Augustam esse cognorat, appulsus portam littori vicinam pulsat. ibi custodibus, quis esset, quaerentibus, cum edere nomen suum initio noluisset, sed pandi sibi ostia iussisset, tandem nomen professus introire permissus et ab Augusta ante cubiculi ianuam, quem locum Aristerium olim vocabant, exceptus est. quem ubi Turcica indutum veste vulneribusque in pugna acceptis utroque pede claudicantem vidit, ante omnia de imperatore percontata iubet considere; cumque totum rerum statum novamque illam ex improviso victoriam imperatoris cognovisset, ipsum etiam captivum coram se liberum intueretur, non habuit, quo satis gaudium suum significaret; deinde iussit ad lucem usque eum quiescere, tum vero prodire et quae contigissent ubique divulgare. itáque mane surgit equoque conscenso in Constantini forum evolat ipsis illis vestibus insignis, quibuscum liber e servitute miro modo evaserat. concurrit statim omnis civitas, cum, quid hoc rei esset, tum maxime nova de imperatore

ὑπὲρ τῆς τῶν Ῥωμαίων εὐδαιμονίας κινδύνους, οὐ μὰ τὰ τοῦ πατρὸς ἀθλήματα καὶ τὰς συμφοράς, ἃς ὑπὲρ τῶν Χριστιανῶν ἐπεπόνθει, οὐκ ἔγωγε χαριζομένη τῷ ἐμῷ πατρὶ τὰ τοιαῦτα καὶ λέγω καὶ γράφω. ἥ γε καὶ ὅπη τὸν πατέρα σφαλλόμενον ἴδοιμι, ἄντικρυς καὶ παραβαίνω τὸν νόμον τὸν 5
D φυσικὸν καὶ τῆς ἀληθείας ἐξέχομαι φίλον μὲν καὶ τοῦτον ἡγουμένη, φιλτέραν δὲ τὴν ἀλήθειαν ἔχουσα· ἀμφοῖν γὰρ ὄντοιν φίλοιν, ὥς πού τις ἔφη φιλόσοφος, κράτιστον προτιμᾶν τὴν ἀλήθειαν. ἀλλὰ τοῖς πράγμασιν αὐτοῖς ἐπακολουθοῦσα καὶ μήτε προστιθεμένη παρ' ἐμαυτῇ μήτε ὑφαι- 10
ροῦσα τὰ ξυμπεσόντα καὶ λέγω καὶ γράφω. καὶ ἐγγύθεν ὁ
P. 446 ἔλεγχος· οὐ γὰρ εἰς μυριοστὸν ἔτος ἀνάγω τὸ σύγγραμμα, ἀλλ' εἰσὶν οἵτινες εἰς τὴν τήμερον περιόντες καὶ τὸν πατέρα τὸν ἐμὸν ἐγνωκότες καὶ τὰ κατ' αὐτὸν ἀφηγούμενοι, ἀφ' ὧν καὶ οὐκ ὀλίγα τῆς ἱστορίας ἐνταυθοῖ συνηράνιστο ἄλλων 15
ἄλλο τι διηγουμένων καὶ μεμνημένων ὧν ἕκαστος ἔτυχε καὶ πάντων ὁμοφωνούντων. τὰ μὲν γὰρ πλείω καὶ ἡμεῖς συνῆμεν τῷ πατρὶ καὶ τῇ μητρὶ συνειπόμεθα. οὐ γὰρ ἦν τὸ ἡμέτερον τοιοῦτον οἷον οἰκουρικὸν καὶ ὑπὸ σκιὰν καὶ τρυφὴν
B στρεφόμενον. ἀλλ' ἐμὲ γὰρ ἐξ αὐτῶν σπαργάνων, ὄμνυμι 20
V. 353 τὸν ἐμαυτῆς Θεὸν καὶ τὴν ἐκείνου μητέρα, πόνοι καὶ θλίψεις παρέλαβον καὶ συμφοραὶ συνεχεῖς, αἱ μὲν ἔξωθεν, αἱ δὲ

3. τῷ μῷ P, correxi. 4. ἥ γε] εἰ δὲ C. 8. φίλοιν add. m. 2 F. 10. ἐμαυτῇ F, ἐμαυτῆς P. 13. περιιόντες P, correxi. 20. τρεφόμενον?

enimvero per illa ipsa pericula, quae imperator pro Romanorum salute subiit, per eiusdem tot certamina calamitatesque, quas pro Christianis perpessus est, minime ego haec patri gratificans loquor scribove; immo sicubi errasse eum video, sine dubitatione naturae lege posthabita veritatem amplector, illum quidem carum ducens, cariorem tamen hanc. etenim, si utrumque carum est, ut aliquando dixit quidam philosophus, optimum est praeferri veritatem. sed rerum vestigia sequens nec quidquam ex meo ingenio addens demensve quae vere acciderunt et dico et scribo. nam adest prope, unde possim argui. neque enim in decies millesimum abhinc annum scriptionis argumentum refero, sed sunt quidam etiam hodie in vivis, qui patrem meum norunt eiusque res enarrant; a quibus non pauca in hos libros collatum est aliis aliud, quod quisque viderat, narrantibus omnibusque consentientibus. plerumque enim ipsa et cum patre eram et matrem comitari solebam, quia non domi mihi in umbra ac deliciis nutriri contigit, sed ab ipsis cunabulis (testem appello deum meum eiusque matrem) labores et incommoda ac continuae domi forisque aerumnae

οἴκοθεν. τὰ μὲν γὰρ τοῦ σώματος ὁποδαπῶς εἶχον, οὐκ ἂν εἴποιμι, λεγέτωσαν δὲ ταῦτα οἱ περὶ τὴν γυναικωνῖτιν καὶ καταλεγέτωσαν. τὰ δὲ ἔξωθεν καὶ ὅσα μοι συνεπεπτώκει οὔπω τὸν ὄγδοον ὑπερελασάσῃ χρόνον καὶ ὅσους ἐχθροὺς
5 ἡ τῶν ἀνθρώπων μοι κακία παρεβλάστησε, τῆς Ἰσοκράτους Σειρῆνος δεῖται, τῆς Πινδαρικῆς μεγαλοφωνίας, τοῦ Πολέμωνος ῥοίζου, τῆς Ὁμηρικῆς Καλλιόπης, τῆς Σαπφικῆς λύρας C ἤ τινος ἄλλης παρὰ ταύτας δυνάμεως. οὐδὲν γάρ ἐστι τῶν δεινῶν οὐ μικρόν, οὐ μεῖζον, οὐκ ἐγγύθεν, οὐ πορρωτέρω,
10 ὃ μὴ εὐθὺς ἐπέβρισε καθ' ἡμῶν. καὶ δῆτα καὶ ὑπερέσχε σαφῶς τὸ κλυδώνιον καὶ ἔκτοτε καὶ μέχρι τοῦ νῦν καὶ μέχρι οὗ τὸ σύγγραμμα τουτὶ γράφω ἡ τῶν συμφορῶν ἐπωρύεταί μοι θάλαττα καὶ ἄλλα ἐπ' ἄλλοις καταλαμβάνει τὰ κύματα. ἀλλὰ γὰρ ἔλαθον εἰς τὰς ἐμαυτῆς συμφορὰς παρασυραμένη.
15 νῦν οὖν ἐπὶ νοῦν ἐλθοῦσα ἐπαναγήξομαι καθάπερ ἀνάρρουν D ποιησαμένη καὶ πρὸς τὰς πρώτας λαβὰς ἐπανέλθοιμι. τὰ P. 447 μὲν οὖν, ὡς εἶπον, παρ' ἐμαυτῆς ἔχω, τὰ δὲ καὶ ἀπὸ τῶν ξυστρατευσαμένων τῷ αὐτοκράτορι ποικίλως περὶ τούτων μανθάνουσα καὶ διά τινων πορθμέων εἰς ἡμᾶς διαβιβαζόντων
20 τὰ τοῖς πολέμοις ξυμβεβηκότα, μάλιστα δὲ καὶ αὐτοπροσώπως περὶ τούτων διηγουμένων πολλάκις ἤκουον τοῦ τε αὐτοκράτορος καὶ Γεωργίου τοῦ Παλαιολόγου. ἐγὼ δὲ καὶ τὰ πολλὰ τούτων συνελεξάμην καὶ κράτιστα ἐπὶ τοῦ μετὰ τὸν

12. ἐπωρύεταί scripsi: ἐπορύεταί F, ἐμπορεύεταί P. 13. θάλαττα F, θάλασσα P.

me exceperunt. nam quae corporis mei condicio fuerit, ipsa dicere nolo: sed memorent et enarrent ea gynaecei ministri. ad externa illa mala persequenda, quae mihi nondum octavum aetatis annum egressae inciderint, quotque inimicos in me hominum malitia concitarit, opus esset Sirene Isocratis, magniloquentia Pindari, Polemonis velocitate, Homerica Calliope, denique Sapphica lyra vel alia his simili ingenii facultate. nihil enim mali nec parvi nec magni prope longiusve extat, quod non improviso nos oppresserit; ac profecto aestus me obruerunt ab illo tempore et vel etiamnunc, cum hunc librum scribo, calamitatum mare me fremens incursat aliique post alios fluctus mergunt. sed ad miserias meas abreptam me sentio ideoque mentis nunc compos quasi emergam reditura ad argumenti mei principium. itaque cum alia, ut dixi, ex mea memoria hausi, alia a sociis expeditionum imperatoris multifariam comperi, a quibus portitorum quorundam ope bellicorum casuum notitia ad me perlata est, tum praecipue et ipsa et imperatorem et Georgium Palaeologum de his factis narrantes saepe audivi. sed eorum, quae prodidi,

ἐμὸν πατέρα τρίτου τὰ τῆς βασιλείας σκῆπτρα διέποντος, ὅτε καὶ πᾶσα κολακεία καὶ ψεῦδος τῷ πάππῳ αὐτῷ συναπ-
B έρρευσε πάντων τὸν ἐφιστάμενον μὲν θρόνον κολακευόντων, πρὸς δὲ τὸν ἀπερρυηκότα μηδέν τι μὲν θωπείας ἐνδεικνυμένων, γυμνὰ δὲ τὰ πράγματα διηγουμένων καὶ αὐτὰ 5 λεγόντων ὥσπερ ἐσχήκασιν. ἐγὼ μὲν γὰρ τὰς ἐμαυτῆς συμφορὰς ἀποδυρομένη κατὰ τόδε καιροῦ τρεῖς βασιλεῖς θρηνοῦσα τὸν πατέρα καὶ αὐτοκράτορα καὶ τὴν ἐμὴν δεσπότιν καὶ μητέρα καὶ βασιλίδα καὶ τὸν ἐμόν, οἴμοι, σύζυγον Καίσαρα ἐγγωνιάζω τὰ πολλὰ καὶ βιβλίοις καὶ Θεῷ προσανάκειμαι. 10 καὶ οὐδὲ τοῖς ἀφανεστέροις ἐξέσται τῶν ἀνθρώπων παρ'
C ἡμᾶς φοιτᾶν, μὴ ὅτι γε δι' ὧν μανθάνειν εἴχομεν, ἅπερ παρ'
V. 354 ἄλλων διακηκοότες ἐτύγχανον, καὶ τοῖς τοῦ πατρὸς οἰκειοτάτοις. εἰς τριακοστὸν γὰρ τοῦτο ἔτος, μὰ τὰς τῶν μακαριωτάτων αὐτοκρατόρων ψυχάς, οὐκ ἐθεασάμην, οὐκ εἶδον, 15 οὐχ ὡμιλήκειν ἀνθρώπῳ πατρῴῳ, τοῦτο μὲν τῶν πολλῶν ἀπερρυηκότων, τοῦτο δὲ τῶν πολλῶν ἀπειργομένων τῷ φόβῳ διὰ τὴν τῶν πραγμάτων παλίρροιαν. καὶ τούτοις γὰρ ἡμᾶς κατεδίκασαν οἱ κρατοῦντες τοῖς ἀτοπήμασι μηδὲ θεατοὺς εἶναι ἀλλ' ἐστυγημένους τοῖς πλείοσιν. ἃ δὲ συνειλόχειν τῆς 20
D ἱστορίας, ἴστω Θεός, ἴστω ἡ ὑπερκόσμιος μήτηρ αὐτοῦ καὶ ἐμὴ δεσπότις, ἀπό τινων συνελεξάμην ξυγγραμμάτων ἀχρείων
P. 448 καὶ ἀσπούδων παντάπασι καὶ γερόντων ἀνθρώπων στρατευ-

2. συνεπέρρευσε C. 18. διὰ τὴν τῶν πραγμάτων παλίρροιαν C, om. P. 22. ἡ ἐμὴ P, ἡ om. F.

pleraque ac praecipua imperante tertio post patrem meum collegi, quo tempore omnis et adulatio et simulatio una cum patre evanuerant cunctique imperatori, qui tunc erat, blandientes de eo qui excesserat nihil adulati nuda facta et ut erant res enarrabant. nunc vero et calamitatem meam et trium imperatorum patris imperatoris Augustaeque dominae et matris atque mei heu coniugis Caesaris iacturam lugens me abdo plerumque ad libros et deum conversa. ac ne ignobilibus quidem licebit adire me, nedum iis, a quibus rescire aliquid queam, quod ab aliis acceperint, aut patris familiaribus. iuro enim per beatissimorum imperatorum animas, neminem a me e patris familiaritate triginta his annis conspectum visumve aut ad colloquium adhibitum esse, quod seu plerique eorum decesserunt seu metus eos propter rerum inconstantiam deterruit; quia qui plurimum potuerunt, tam nefarie nos tractarunt, ut nos et visitari noluerint et velint plerisque odio esse. at quae de historia collegi, testor deum caelestemque eius matrem ac dominam meam, ex commentariis qui-

σαμένων κατ' ἐκεῖνο καιροῦ, καθ' ὃν οὑμὸς πατὴρ τῶν σκήπτρων Ῥωμαίων ἐπείληπτο, χρησαμένων δὲ συμφοραῖς καὶ μετασχηματισθέντων ἀπὸ τῆς κοσμικῆς τύρβης εἰς τὴν τῶν μοναχῶν γαληνιαίαν κατάστασιν. τὰ γὰρ εἰς χεῖρας
5 ἐμὰς ἐμπεσόντα συγγράμματα ἁπλᾶ μὲν ἦσαν τὴν φράσιν καὶ ἀπερίεργα καὶ τῆς ἀληθείας ἐχόμενα καὶ οὐδέν τι κομψὸν ἐπιδεδειγμένα οὐδὲ ῥητορικὸν ὄγκον ἐπισυρόμενα. τὰ δὲ παρὰ τῶν γεραιτέρων ἐκδιηγούμενα τῆς αὐτῆς ἦσαν καὶ λέξεως καὶ διανοίας τῶν συγγραμμάτων ἐχόμενα· καὶ ἐτεκμη- B
10 ράμην ἐξ αὐτῶν τὴν τῆς ἱστορίας ἀλήθειαν συμβάλλουσα καὶ παρεξετάζουσα τὰ παρ' ἐμαυτῆς ἱστορούμενα πρὸς τὰ παρ' ἐκείνων λεγόμενα καὶ τὰ παρ' ἐκείνων πρὸς τὰ παρ' ἐμαυτῆς, ἅπερ αὐτὴ ἐξ αὐτοῦ τε τοὐμοῦ πατρὸς καὶ τῶν πρὸς πατρὸς καὶ μητρὸς ἐμοὶ θείων ἠκηκόειν πολλάκις. ἀφ' ὧν
15 ἁπάντων τὸ τῆς ἀληθείας ἅπαν σῶμα συνεξυφαίνεται. ἀλλ' ὅπερ ἄνωθεν εἶπον περὶ τῆς τοῦ Καμύτζη τῶν βαρβάρων ἀποφυγῆς καὶ τῆς παρ' ἐκείνου πρὸς τοὺς πολίτας δημηγορίας, ὁ λόγος ἐχέσθω. ὁ μὲν γὰρ διηγήσατο τὰ συμπεπ- C τωκότα, καθάπερ εἴπομεν, καὶ ὅσα ὁ βασιλεὺς κατὰ τῶν
20 Ἰσμαηλιτῶν ἐτεχνάσατο. οἱ δὲ τῆς Κωνσταντίνου οἰκήτορες μία φωνὴ καὶ χεῖλος ἓν γεγονότες ἀνευφήμουν, ὕμνουν τὸν αὐτοκράτορα, ἐξεθείαζον, ἐμακάριζον τῆς στρατηγίας, οὐκ εἶχον ὅπως τὴν ἐπ' αὐτῷ ἡδονὴν κατασχεῖν. ἀλλὰ τὸν μὲν

1. ἐκεῖνο] κεῖνο add. m. 1 F.

busdam incomptis simplicibusque contuli aut a senibus accepi, qui patre meo regnante militarant posteaque ob adversus casus conversi e mundi strepitu in monasterii quietem se receperant. nam scripta, quae in manus meas inciderunt, dictione erant facilia et simplicia, veritatis studiosa, omni fuco et rhetorum pompa libera. quae vero a senioribus tradebantur, eiusdem plane generis erant, sive elocutionem sive sententiam spectas, atque scripta illa, ex iisque historiae veritatem erui diligenter comparans et conferens quae ipsa noram cum eorum narrationibus et eorum memoriam cum iis, quae ipsa a patre meo ac patruis avunculisque meis saepe audiveram: ex quibus omnibus totum veritatis corpus contexui. sed ad Camytzae fugam e barbarorum manibus eiusque coram civibus relationem redeat oratio; quem quaecumque accidissent quaeque imperator adversus Ismaelitas egisset narrasse diximus. exultare ad id uno animo unoque ore Constantinopolitani, praedicare Augustum, ob summam bellandi artem miramque felicitatem tamquam deum venerari. hinc in omnem

Καμύτζην σὺν εὐθυμίᾳ παραπέμψαντες οἴκαδε μεθ' ἡμέρας τινὰς δέχονται καὶ τὸν αὐτοκράτορα νικητὴν τροπαιοῦχον, ἀνίκητον στρατηγόν, ἀήττητον βασιλέα, σεβαστὸν αὐτοκράτορα.
D καὶ οἱ μὲν οὕτως· ὁ δὲ εἰσεληλυθὼς τὰ βασίλεια καὶ σῶστρα
V. 355 θύσας Θεῷ καὶ τῇ Θεομήτορι τῶν συνήθων εἴχετο τρόπων. 5
P. 449 τοὺς γὰρ ἔξωθεν πολέμους καταστησάμενος καὶ τὰς τῶν τυράννων στάσεις ἀποκρουσάμενος εἰς δικαστήρια καὶ νόμους ἀπέβλεπεν. ἦν γὰρ παρ' ἑκάτερον καιρὸν καὶ εἰρήνης καὶ μάχης ἄριστος οἰκονόμος. ἔκρινε γὰρ ὀρφανὸν καὶ ἐδικαίου χήραν καὶ κατὰ πάσης ἀδικίας δριμύτατον ἔβλεπεν ὀλίγα 10 τὸ σῶμα διαναπαύων ἐν κυνηγεσίοις τε καὶ ἀνέσεσι. καὶ γὰρ μετὰ τῶν ἄλλων ἐφιλοσόφει καὶ τοῦτο, χαλιναγωγεῖν τὸ σῶμα καὶ εὐαγωγότερον ἑαυτῷ καθιστᾶν. ἐξεδίδου μὲν γὰρ αὐτὸ τοῖς πόνοις ὡς ἐπὶ τὸ πλεῖστον, πάλιν δὲ ἐπανε-
B καλεῖτο τῶν πόνων· καὶ ἡ ἄνεσις τούτῳ δεύτερος πόνος, 15 βιβλίων ἀνάγνωσις καὶ ἐξέτασις καὶ ἡ τοῦ "ἐρευνᾶτε τὰς γραφὰς" παραγγέλματος ἐπιμέλειά. τὰ δ' αὖ κυνηγέσια καὶ ἡ ἀπὸ τοῦ σφαιρίζειν παιδιὰ δευτέρου λόγου καὶ τρίτου προσῆν τῷ ἐμῷ πατρί, ἕως ἔτι νεώτερος ἦν καὶ οὔπω τὸ θηρίον, ἡ τῶν ποδῶν διάθεσις, αὐτῷ ἐπισυνεπλάκη καθάπερ ὄφις 20 τις σκολιὸς καὶ αὐτὸ δὴ τοῦτο τὸ τῆς κατάρας δάκνων αὐτοῦ τὴν πτέρναν. ἐξ ὅτου δὲ τὰ τοῦ νοσήματος ὑπήρξατο

14. πάλιν om. C. 19. τῷ μῷ P, correxi.

laetitiae significationem effusi Camytzen domum comitantur; paucisque diebus interiectis imperatorem exceperunt victorem tropaeophorum, ducem invictum, insuperabilem principem, augustissimum imperatorem eum acclamantes. ipse palatium ingressus deo deique matri gratiis actis consuetae vitae tenorem recepit. etenim externis bellis confectis intestinisque tyrannorum seditionibus oppressis, quippe pacis simul et belli optimus curator, ad ius legesque se convertit. iudicabat orphani causam, ius viduae tuebatur, omnem iniquitatem severissime animadvertebat nec venando aliisque remissionibus se nisi raro oblectabat: nam etiam in eo quod corpus frenandum sibique subigendum esse putavit, philosophum se praestitit. namque plurimum ille tempus laboribus impendebat revocatusque ab iis remissionem in altero labore ponebat, in librorum lectione studioque atque in observatione praecepti illius 'scrutamini scripturas'. secundo deinde tertioque loco patri meo iam iuveni venatio ac pilae ludus erat, quoad illa fera, pedum scilicet morbus, velut obliquus quidam serpens, "mordens", ut est in maledictione, "calcem eius", nondum eum comprehendit; qui ubi eum corripere atque ingravescere coe-

καὶ εἰς ἀκμὴν ἧκε, τότε δὴ καὶ γυμνασίοις ἑαυτὸν ἐπεδίδου καὶ τοῖς ἱππάσμασι καὶ ταῖς ἄλλαις παιδιαῖς παράγγελμα τοῦτο λαβὼν ἐξ ἰατρικῆς ἐπιστήμης, ἵνα ταῖς συνεχέσιν ἱπ- C πασίαις διαφοροῖτό τι τῆς καταρρεούσης ὕλης καὶ τοῦ ἐπι-
5 βρίθοντος βάρους κουφίζοιτο. τοῦτο γὰρ τὸ πάθος ὁ ἐμὸς πατήρ, καθάπερ εἰρήκειν ἄνωθεν, οὐκ ἐξ ἑτέρας αἰτίας ἔξωθεν, ἀλλ' ἀπὸ τῶν πόνων καὶ τῶν καμάτων ὑπὲρ τῆς Ῥωμαίων δόξης ἐσπάσατο.

8. Οὔπω ἐνιαυτὸς εἷς παρεληλύθει καὶ λογοποιουμένην
10 ἀκηκοὼς αὖθις [περὶ] τῶν Κομάνων διὰ τοῦ Ἴστρου διαπεραίωσιν ὀγδόης ἤδη ἐπινεμήσεως ἐφισταμένης ἀρχομένου φθινοπώρου κατὰ μῆνα Νοέμβριον ἔξεισι τῆς βασιλίδος τῶν πόλεων καὶ τὰς δυνάμεις ἁπάσας μεταπεμψάμενος κατατίθησι τούτους εἴς τε Φιλιππούπολιν καὶ εἰς τὸν λεγόμενον D
15 Περιτζὸν καὶ Τριάδιτζαν καὶ εἰς τὸ θέμα τοῦ Νίσου μέχρι καὶ τῆς παρίστρας Βουρανιτζόβης ἐπισκήψας πολλήν τε περὶ τοὺς ἵππους αὐτῶν ἐνδείκνυσθαι ἐπιμέλειαν, ὥστε πίονας P. 450 γεγονότας ἐν καιρῷ μάχης δύνασθαι φέρειν τοὺς ἐπιβάτας, αὐτὸς δὲ κατὰ τὴν Φιλιππούπολιν ἐνδιατρίβει. πόλις δὲ
20 αὕτη περὶ τὴν τῆς Θρᾴκης μεσόγειαν. Εὖρος τῇ πόλει παραρρεῖ πρὸς βορρᾶν ἄνεμον πνέοντα· ῥεῖ μὲν γὰρ οὗτος ἀπὸ τῶν περάτων αὐτῶν τῆς Ῥοδόπης καὶ πολλὰς ποιούμενος

7. καὶ τῶν F, τῶν om. P, 9. .... οὔπω F. λογοποιουμένην FC, λογοποιουμένων P. 10. περὶ seclusi. 13. ἁπάσας] hoc verbum ultimum est in codice Florentino. 15. Νίσου C, Νήσου P. 16. Βρανιζόβης Ducangius. 19. ἐνδιατρίβει scripsi: ἐνδιατρίβων P.

pit, ex praecepto artis medicae ad gymnicos ludos, equitationes, alia exercitia incumbere eum oportuit, si forte frequentibus equitationibus defluentem humorem discuteret gravitatemque ponderis levaret. quod quidem malum, ut supra docui, nulla extrinsecus causa, sed laboribus molestiisque pro Romanorum gloria sustentatis sibi contraxerat.

8. Necdum uno anno praeterito, ubi fama percrebruit, rursus Comanos Istrum traicere, ineunte octava indictione, autumni initio, mense Novembri e regia urbe profectus undecumque arcessitas copias partim Philippopoli partim in locis, quae Peritzus et Triaditza vocantur, partim in Nisi themate usque ad Istro vicinam Buranitzoben disposuit; quos omni ope equos suos curare iussit, ut pingues ii ac robusti essent ad ferendos in pugna equites. ipse commoratur Philippopoli urbe in media fere Thracia, quam Hebrus a septemtrione praeterfluit. is enim amnis ab extrema Rhodope

ἕλικας καὶ καμπὰς παραμείβει τε τὴν Ἀδριανοῦ πολλῶν καὶ
ἄλλων ἐς ταὐτὸ ποταμῶν συνεμβεβληκότων καὶ περὶ τὴν
Αἶνον πόλιν ἐκδίδωσιν εἰς τὴν θάλασσαν. Φίλιππον δὲ
ὅταν εἴπω, οὐ τὸν Μακεδόνα λέγω, τὸν τοῦ Ἀμύντου, νεω-
B τέρα γὰρ ἡ πόλις τοῦ Φιλίππου τούτου, ἀλλὰ τὸν Ῥωμαῖον 5
V. 356 Φίλιππον, ὃς ὑπερωμίας γέγονεν ἀνὴρ καὶ τὴν ἰσχὺν καὶ τὸ
σῶμα ἀνυπόστατος. πολίχνιον δὲ ἦν τὰ πρῶτα καὶ πρὸ
Φιλίππου Κρηνίδες ὀνομαζόμενον, παρ' ἐνίων δὲ Τριμοῦς.
ἀλλ' ὅ τε μέγιστος ἐκεῖνος Φίλιππος εἰς μέγεθος τὴν πόλιν
ἐξάρας καὶ περικυκλώσας ταύτην τείχεσι περιβόητον τῶν ἐν 10
Θρᾴκῃ πεποίηκε πόλεων ἱππικά τε καταστησάμενος ἐν αὐτῇ
μέγιστα καὶ ἄλλ' ἄττα κατασκευάσματα θαύματος ἄξια, ὧν
ἴχνη κατέλαβον καὶ αὐτὴ μετὰ τοῦ αὐτοκράτορος ἐπιδεδη-
μηκυῖα τὴν πόλιν κατὰ χρείαν τινά. ἡ δὲ πόλις τρίλοφός
C ἐστιν ἑκάστου λόφου περιζωννυμένου τείχει μεγάλῳ καὶ 15
ὑψηλῷ· ὅπου δὲ πρὸς πεδιάδας ὑποκύπτει καὶ ὁμαλότητας,
τάφρος αὐτὴν περιθέει παρ' Εὔρῳ κειμένη. καὶ ἦν, ὡς
ἔοικε, ποτὲ πόλις ἡ πόλις αὕτη μεγάλη τε καὶ καλή. ἀφ'
οὗ δὲ Ταῦροι καὶ Σκύθαι τὴν πόλιν ἐν τοῖς ἀνέκαθεν χρό-
νοις ἠνδραποδίσαντο, εἰς τόδε τοῦ σχήματος ἡ πόλις κατέστη, 20
ἐν ᾧ ἡμεῖς κατειληφότες αὐτὴν ἐπὶ τῶν τοῦ ἐμοῦ πα-
τρὸς σκήπτρων τὴν πόλιν μεγαλόπολιν ὡς ὄντως ἐτεκμηρά-
μεθα. ἐδυστύχει δὲ μετὰ τῶν ἄλλων καὶ ἀσεβῶν ἐπιδημίᾳ

2. ἐς* (ἐς in ras. m. 2) C. ταυτὸ* C. 10. τῶ C[1], τῶν C[2]. 11. αὐτῷ P, correxi. 12. ἄλλάττα C, ἄλλα P. 15. ἑκάστου scripsi: ἐκείνου CP. περιζωννυμένου C, περιζωννύμου P.

ortus post multos flexus obit Hadriani urbem ac multis aliis fluviis auctus ad Aenum oppidum in mare influit. Philippum commemorans non dico Macedonem Amyntae filium, quia urbs illa multo eo recentior est, sed Romanum Philippum, ingentis corporis virum, cuius robori nihil potuit resistere. ibi ante eum oppidum fuit, quod Crenides vocabant, quidam etiam Trimontium. quod maximus ille Philippus structis circum moenibus in eam magnitudinem evexit, ut clarissima Thraciae civitas esset: circos quoque maximos aliaque mira aedificia in ea condidit, quorum ipse vidi vestigia, quando nescio qua causa ibi cum imperatore affui. urbs in tribus collibus sita, quorum unusquisque magno et alto muro cingitur; qua vero parte in planitiem et campum vergit, prope Hebrum fossa coercetur. fuit olim, ut apparet, urbs magna et splendida; ex quo autem Tauri Scythaeque eam superiore tempore ceperunt, hanc nancta est speciem, in qua nos eam sub patre meo reperientes peramplam sane fuisse coniecimus. sed cum alias tum infidelium confluxu infelix erat. nam

πολλῶν. Ἀρμένιοί τε γὰρ διενείμαντο τὴν πόλιν ταύτην καὶ οἱ λεγόμενοι Βογόμιλοι, περὶ ὧν ὕστερον καὶ αὐτῶν D καὶ τῆς τούτων αἱρέσεως ἐροῦμεν κατὰ καιρόν, καὶ δὴ καὶ οἱ δυσθεώτατοι Παυλικιάνοι, τῆς Μανιχαϊκῆς ἀποσπάδαι
5 τυγχάνοντες, ἐκ Παύλου καὶ Ἰωάννου, ὡς καὶ τοὔνομα λέγει, γεγενημένοι, οἳ τῆς ἀσεβείας τοῦ Μάνεντος ἐπισπασάμενοι ἄκρατον τοῖς ἀπ' ἐκείνων μεταδεδώκασιν. ἠβουλόμην οὖν τὸ δόγμα τῶν Μανιχαίων ἐπιδραμεῖν καὶ συνεσπειραμένως ἀναπτύξαι, προσέτι σπουδάσαι [τε] τὴν ἀνατροπὴν τῶν ἀθεω- P. 451
10 τάτων δογμάτων τούτων. ἀλλ' ἅμα μὲν εἰδυῖα, ὅτι πᾶσίν ἐστι καταγέλαστος ἡ τῶν Μανιχαίων αἵρεσις, ἅμα δὲ καὶ πρὸς τὴν ἱστορίαν ἐπισπεύδουσα παρίημι τοὺς κατὰ τούτων ἐλέγχους. καὶ ἄλλως δὲ οὐ τοὺς τῆς ἡμετέρας αὐλῆς μόνον, ἀλλὰ καὶ αὐτὸν οἶδα τὸν καθ' ἡμῶν λελυττηκότα Πορφύριον
15 ἐν πλείοσι κεφαλαίοις εἰς ἀτοπίαν πολλὴν συνωθήσαντα τὸ τῶν Μανιχαίων φλύαρον δόγμα ἐπιστημονικώτατα περὶ τῶν δύο ἀρχῶν ἐπισκεψάμενον, εἰ καὶ ἡ μοναρχία τούτου εἰς τὴν Πλατωνικὴν ἑνάδα ἢ καὶ τὸ ἓν τοὺς ἀναγινώσκοντας B ἀναγκάζει συνάγειν. ἡμεῖς γὰρ μοναρχίαν τιμῶμεν, οὐχ ἣ
20 ἓν πρόσωπον περιγράφει. οὐδὲ τὸ ἓν τὸ τοῦ Πλάτωνος προσηκάμεθα· τουτοῒ τὸ παρ' Ἕλλησιν ἄρρητον καὶ παρὰ Χαλδαίοις ἀπόρρητον· ἐξαρτῶσι γὰρ αὐτοῦ πολλὰς καὶ ἄλλας

2. Βωγόμιλοι P, correxi. 5. λέγει C¹, λέγειν C²P. 6. οἳ τὸ? 9. προσέτι P, προσέπι C. τε seclusi. 13. τοὺς scripsi: τὸν C, τῶν P. 17. τούτου scripsi: τούτῳ P. 19. οὐχ ἣ scripsi: οὐχὶ C (sed ι in ras. m. 2) P. 20. τὸ τοῦ C, τοῦ om. P. 21. παρὰ scripsi: περὶ P. 22. Χαλδαίοις C, Χαλδαίους P.

ibi et Armenii sedes habuerunt et Bogomili, quos vocant, de quibus eorumque haeresi postea suo loco dicemus, et improbissimi quoque Pauliciani, quae Manichaicae sectae pars est, a Paulo et Ioanne, ut nomen quoque ostendit, condita; qui duo mera Manetis impietate imbuti eam in sectatores propagaverant. volebam equidem Manichaeorum doctrinam perstringere et concisa brevitate exponere refutationemque etiam impiorum istorum dogmatum temptare; quam vero omittam, quia et derideri vulgo Manichaeorum haeresin scio et ad historiam ipsam festino. ceterum non nostri solum eam refutarunt, verum scio et ipsum infestissimum in nos Porphyrium de principiorum dualitate subtilissime disserendo magnam inepti Manichaici dogmatis absurditatem pluribus capitibus coarguisse; quamquam is quidem ita naturae divinae unitatem adstruit, ut inde lectores cogat Platonis henadem sive ens colligere. nos enim divinae naturae unitatem veneramur; minime tamen ea unam personam includit. nec Platonis ens admittimus mysteriis Graecorum Chaldaeorumque celebratum,

ἀρχὰς ἐγκοσμίους τε καὶ ὑπερκοσμίους. ἀλλὰ τούτους δή,
τοὺς ἀπὸ Μάνεντος καὶ Παύλου καὶ Ἰωάννου, τῶν τῆς
Καλλινίκης, ἀγριωτέρους ὄντας τὰς γνώμας καὶ ὠμοὺς καὶ
V. 357 μέχρις αἵματος διακινδυνεύοντας ὁ ἐν βασιλεῦσιν ἐκεῖνος
C θαυμάσιος Ἰωάννης ὁ Τζιμισκῆς πολέμῳ νικήσας ἐξανδρα- 5
ποδισάμενος ἐκ τῆς Ἀσίας ἐκεῖθεν ἀπὸ τῶν Χαλύβων καὶ
τῶν Ἀρμενιακῶν τόπων εἰς τὴν Θρᾴκην μετήνεγκε καὶ τὰ
περὶ τὴν Φιλιππούπολιν αὐλίζεσθαι κατηνάγκασεν, ἅμα μὲν
τῶν ἐρυμνοτάτων πόλεων καὶ φρουρίων, ἃ κατεῖχον τυραν-
νιῶντες, ἀπαγαγών, ἅμα δὲ καὶ φύλακας ἐπιστήσας ἀσφα- 10
λεστάτους τῶν Σκυθικῶν ἐκείνων διεκδρομῶν, ἃς ὑποσύχνως
ὑπὸ βαρβάρων τἀπὶ Θρᾴκης ἐπεπόνθει χωρία· ὑπερβαίνον-
τες γὰρ τὰ τέμπη τοῦ Αἵμου τὰς ὑπὸ τοῦτον πεδιάδας
κατέτρεχον. ὁ δ' Αἷμος οὗτος ὄρος ἐστὶ μακρότατον κατὰ
D γραμμὴν παράλληλον τῇ Ῥοδόπῃ κείμενον. ἄρχεται μὲν ἀπὸ 15
τοῦ Εὐξείνου Πόντου τὸ ὄρος καὶ μικρὸν παραμείβων τοὺς
καταρράκτας μέχρις αὐτῶν Ἰλλυρικῶν διήκει· οἶμαι δ', ὅτι
P. 452 καὶ διακοπτόμενον τῷ Ἀδριαντικῷ πελάγει πάλιν εἰς ἀντι-
πέραν ἤπειρον ἀναλαμβάνει καὶ μέχρις αὐτῶν Ἑρκυνίων

1. ἐγκοσμίους scripsi: ἐγκοσμίως P. ὑπερκοσμίους scripsi: ὑπερκοσμίως P. 5. τζιμισχὴς C[1], τζυμισκῆς C[2]P. 9. ἐ•ρυμνοτάτων C, ἐχρυμνοτάτων P. πόλεων scripsi: πυλῶν C (υ e corr. m. 2) P. τυραννιῶντες] ῶ in C in ras. m. 2. 10. ἀπαγαγών scripsi: ἀπαγαγεῖν C (sed εῖ in ras. m. 2) P. 13. τέμπη] η in C e corr. m. 2. τοῦτον C, τούτων P. 14. μακρότατον P, μακρόπατον C. 15. Ῥοδόπῃ] ο posterius in C e corr. m. 2. 16. τὸ ὄρος C, τοῦ ὄρος P. 17. καταρράκτας C, καταράκτας P. 18. Ἀδριαντικῷ P, ἀνδριαντικῷ C.

quippe qui inde multa alia et intra et supra mundum principia apta esse dicant. verum illos Manetis ac Pauli et Ioannis Callinices filiorum sectatores, homines feros rudesque, qui cruorem fundere nihil dubitant, inclitus ille imperator Ioannes Tzimisces, cum devicisset eos captivosque ex Asia duxisset, e Chalybibus Armeniisque in Thraciam transtulit ac circa Philippopolin habitare coegit, partim ut ex munitissimis eos urbibus et arcibus, quas tyrannice ante tenuerant, educeret, partim ut tutissimos custodes eos adversus Scytharum incursiones collocaret, quibus saepe Thraciae regiones premebantur. etenim barbari Haemi angustias transgressi in campos illi subiectos se effundebant. obiacet Haemus mons longissimus ad parallelam liniam Rhodopae incipitque a Ponto Euxino, unde cataractas proxime praeteriens in ipsum Illyricum excurrit; quin emergit, opinor, Adriatico mari interruptus iterum in adversam continentem atque in Hercynias

δρυμῶν ἀποτελευτᾷ. ἑκατέρωθεν δὲ τῶν καταρρύτων αὐτοῦ πολλὰ καὶ πλουσιώτατα ἔθνη νέμεται Δακῶν μὲν ὄντων βορειοτέρων καὶ τῶν Θρᾳκῶν, νοτιωτέρων δὲ Θρᾳκῶν τε αὐτῶν καὶ Μακεδόνων. τοῦτον τὸν Αἷμον διαπερῶντες οἱ 5 Νομάδες Σκύθαι κατὰ τοὺς ἀνέκαθεν χρόνους, πρὶν ἢ τοῦ Ἀλεξίου τὸ δόρυ καὶ οἱ πολλοὶ ἀγῶνες εἰς πανωλεθρίαν κατήνεγκαν, πανστρατιᾷ τὴν Ῥωμαίων ἡγεμονίαν ἐκάκουν καὶ B μάλιστα τὰς ἐγγυτέρους πόλεις, ὧν προὐκάθητο ἡ πάλαι πολυθρύλλητος Φιλιππούπολις. ὁ δὲ Τζιμισκῆς Ἰωάννης 10 τοὺς ἐκ τῆς Μανιχαϊκῆς αἱρέσεως ἀντιμάχους ἡμῖν ποιησάμενος συμμάχους κατά γε τὰ ὅπλα ἀξιομάχους δυνάμεις τοῖς νομάσι τούτοις Σκύθαις ἀντέστησε· καὶ τὸ ἐντεῦθεν ἀπὸ τῶν πλειόνων καταδρομῶν ἀνέπνευσε τὰ τῶν πόλεων. οἱ μέντοι Μανιχαῖοι φύσει ὄντες ἐλεύθεροι καὶ ἀνυπότακτοι τὸ εἰω- 15 θὸς ἐποίουν καὶ εἰς τὴν φύσιν ἀνέκαμπτον. πᾶσα γὰρ ἡ Φιλιππούπολις πλὴν ὀλίγων ὄντες Μανιχαῖοι τῶν τε αὐτόθι C Χριστιανῶν ἐτυράννουν καὶ τὰ τούτων διήρπαζον μικρὰ φροντίζοντες ἢ οὐδὲν τῶν ἀποστελλομένων παρὰ βασιλέως. ηὔξανον τοίνυν καὶ τὰ κύκλῳ Φιλιππουπόλεως πάντα ἦσαν 20 αἱρετικοί. συνεισέβαλε δὲ καὶ τούτοις ἕτερος ποταμὸς ὁ

1. ἑκατέρρωθεν C. καταρρύτων scripsi: καταρρύων CP. ταὐτοῦ P, correxi. 2. θακῶν C. 3. νοτιώτερον C. 5. σκῦθοι C. 9. πολυθρύλλητος] η in C e corr. m. 2. τζιμισχῆς C[1], τζιμισκῆς C[2]P. 10. ἐκ τῆς C, τῆς om. P. 12. ἀντέστησε C, ἀντίστησε P. 16. Φιλιππούπολις] ι ultimum in C e corr. m. 2. ὄντες Μανιχαῖοι C, ὄντων Μανιχαίων P. 19. ηὔξανον scripsi: ηὔξανε C (ε in ras. m. 2) P.

silvas finitur. utrimque autem montis declivia multae eaedemque opulentissimae gentes tenent, Daci Thracesque a septemtrione, meridiem versus iidem Thraces ac Macedones. hunc Haemum nomades Scythae superiore tempore, antequam Alexii hasta et multa proelia eos paene delerunt, transgressi ingenti multitudine Romanum imperium affligebant, inprimis autem vicinas finibus urbes, inter quas clarissima illa quondam Philippopolis princeps habebatur. Ioannes vero Tzimisces istos e Manichaeorum secta adversarios in socios commutatos, si arma spectas, ut firma propugnacula Scythis illis nomadibus opposuit, ex eoque tempore urbes e continuis fere eorum incursionibus respirabant. verumtamen Manichaei natura liberi indocilesque mox ad ingenium suum moresque redierunt. Philippopolis enim incolae, qui omnes paucis exceptis Manichaei erant, vexant Christianos illius regionis diripiuntque eorum bona minima vel potius nulla imperatoris legatorum ratione habita, ita ut sensim paulatimque omnia circa Philippopolin essent haeretica. affluxit ad eos et

τῶν Ἀρμενίων ἁλμυρὸς καὶ ἄλλος ἀπὸ τῶν θολερωτάτων
πηγῶν Ἰακώβου. καὶ ἦν, ὡς οὕτω γε φάναι, κακῶν ἁπάντων
μισγάγκεια· καὶ τὰ μὲν δόγματα διεφώνουν, συνεφώνουν δὲ
ταῖς ἀποστασίαις οἱ ἄλλοι τοῖς Μανιχαίοις. ἀλλ' ὅ γε πα-
V. 358 τὴρ ἐμὸς καὶ αὐτοκράτωρ καὶ πρὸς τούτους τὴν στρατιωτι-
D κὴν αὐτοῦ πολυπειρίαν ἀντιτάξας τοὺς μὲν ἀμαχὶ συνειλή-
φει, τοὺς δὲ καὶ μετὰ μάχης ἠνδραποδίσατο. οἷον δ' αὖ
τόδ' ἔρεξε καὶ ἔτλη καρτερὸς ἀνὴρ πρᾶγμα ὄντως καὶ ἀπο-
P. 453 στολικώτατον. τί γὰρ ἄν τις τοῦτον οὐκ ἐπαινέσειε; πότερον
ὅτι περὶ τὰς στρατηγίας ἀμελῶς εἶχε; καὶ μὴν ἀνατολὴν καὶ
δύσιν ἐπλήρωσε τῶν στρατηγημάτων. ἀλλ' ὅτι τοὺς λόγους
παρὰ φαῦλον ἐτίθει; καὶ μήν, ὡς οὐδεὶς ἄλλος, περὶ τὴν
θείαν γραφὴν ἐσπουδάκει, ὡς καὶ τὴν γλῶτταν διαθῆξαι
πρὸς τὰς τῶν αἱρετικῶν συμπλοκάς. καὶ μόνος οὗτος ὅπλα
καὶ λόγους ἀνέμιξε καὶ τοῖς μὲν ὅπλοις τοὺς βαρβάρους
ἐνίκα, τοῖς δὲ λόγοις ἐχειροῦτο τοὺς ἀντιθέους, ὥσπερ δὴ
τότε καὶ κατὰ Μανιχαίων ἐξώπλιστο ἀποστολικὴν ἀντὶ στρα-
B τηγικῆς ἀναδεξάμενος ἀγωνίαν. καὶ ἔγωγε τοῦτον τρισκαι-
δέκατον ἂν ἀπόστολον ὀνομάσαιμι. καίτοι τινὲς Κωνσταν-
τίνῳ τῷ μεγάλῳ τοῦτο τὸ κλέος προσάπτουσιν· ἐμοὶ δὲ
δοκεῖ ἢ σὺν τῷ Κωνσταντίνῳ τῷ αὐτοκράτορι τετάχθαι
τοῦτον, ἢ εἴ τις φιλονεικείη, ἔστω μετά γε Κωνσταντῖνον

3. μισγάγκεια P, μισγάγγεια C. 5. στρατιωτικὴν] ιωτ in C in ras. 7 sq. δ' αὖ τόδ' scripsi: δ' αὐτὸ δ' P. 12. παρὰ scripsi: περὶ P. 16. δὴ scripsi: δὲ P. 17. στρατιγηκὴν C[1] corr. C[2]. 20. τοῦτο* C. 22. Κωνσταντῖνον] ν ultimum in C in ras. m. 2

peramarum quasi Armeniorum flumen et aliud e lutulentissimis Iacobi fontibus; quo factum erat, ut esset hic quoddam omnium malorum confluvium dissentientibus inter se dogmatis, consentientibus reliquis cum Manichaeis in ipsa a vera fide defectione. sed pater meus insigni sua belli scientia his opposita alios sine vi domuit, alios pugna in deditionem compulit. quantum tulit fecitque in hoc opere vere apostolico! etenim quid tandem est, quod non laudemus eum? num ad rem militarem segnis fuit? at orientem occidentemque bellica sua laude implevit. an forte disputandi artem parvi fecit? ille vero, quantum nemo alius, in sacrorum librorum lectione versatus linguam etiam ad certamina cum haereticis acuit. itaque unus et armorum et verborum certamina miscuit barbaros armis, disputando autem haereticos vincens, quemadmodum tunc quoque in Manichaeos armatus apostolicam sane expeditionem pro militari suscepit. quare hunc ego decimum tertium apostolum nominarim: etsi enim nonnulli id decus Constantino Magno vindicant, mihi tamen Alexius vel eodem, quo Constantinus, honore dignus videtur, vel, si

ἀπόστολος ἅμα καὶ βασιλεὺς ὁ Ἀλέξιος. ὡς γὰρ ἔφθημεν ἄνωθεν εἰρηκότες, κατὰ τὴν Φιλίππου γενόμενος διὰ τὰς εἰρημένας αἰτίας τῶν Κομάνων μήπω καταλαβόντων ὁδοῦ πάρεργον μεῖζον τοῦ ἔργου ἐποιεῖτο τοὺς Μανιχαίους τῆς 5 ἁλμυρᾶς μετάγων θρησκείας καὶ τοῦ γλυκέος ἐμφορῶν δόγ- C ματος. ἀπὸ πρωΐας οὖν μέχρι δείλης [ἑῴας] ἢ καὶ ἑσπέρας, ἔστιν οὗ καὶ δευτέρας ἢ καὶ τρίτης φυλακῆς τῆς νυκτὸς μεταπεμπόμενος τούτους τὴν ὀρθότομον ἐδίδασκε πίστιν ἐξελέγχων τὸ διεστραμμένον τῆς αὐτῶν αἱρέσεως. συμπαρῆ-10 σαν δὲ τούτῳ Εὐστράτιος ὁ τῆς Νικαίας πρόεδρος, ἀνὴρ τά τε θεῖα σοφὸς καὶ τὰ θύραθεν, αὐχῶν ἐπὶ ταῖς διαλέξεσι μᾶλλον ἢ οἱ περὶ τὴν στοὰν καὶ ἀκαδημίαν ἐνδιατρίβοντες, καὶ αὐτὸς δὴ ὁ τῆς Φιλιππουπόλεως τῷ ἀρχιερα- D τικῷ ἐγκαθιδρυμένος θρόνῳ. ἐπὶ πᾶσι δὲ καὶ πρὸ πάντων 15 τὸν ἐμὸν Καίσαρα Νικηφόρον ὁ αὐτοκράτωρ συναιρόμενον εἶχε στομώσας τοῦτον τῇ τῶν θείων βιβλίων μελέτῃ. πολ- P. 454 λοὶ μὲν οὖν τηνικαῦτα τῶν Μανιχαίων μηδὲ διστάζοντες ὅλως προσῄεσαν τοῖς ἱερεῦσιν ἐξομολογούμενοι τὰς σφῶν ἁμαρτίας καὶ τοῦ θείου φωτίσματος ἐπιτυγχάνοντες· πολλοὺς 20 δὲ ἦν ἰδεῖν τηνικαῦτα ὑπὲρ τοὺς Μακαβαίους ἐκείνους τῆς ἰδίας ἀντεχομένους θρησκείας χρήσεις τε καὶ μαρτυρίας τῶν

1. ἔφθημεν scripsi: ἔφημεν C (με in ras. m. 2) P. 6. ἑῴας seclusi. 10. ὁ Leo Allatius: ὅ τε P. 13. δὴ C, δὲ P. 16. βιβλίων] ιω in C e corr. m. 2. 20. ἦν ἰδεῖν C, ἦν om. P.

certandi studio aliquid concedamus, proximus saltem illi apostolus et imperator nominandus esse. nam cum ad Philippopolin, ut supra narravi, propter causas, quas indicavi, commoraretur necdum advenissent Comani, maius eo quod agebat opus ex occasione aggressus Manichaeos ab amara superstitione ad suave dogma coepit adducere. a mane igitur ad pomeridianum tempus atque adeo ad vesperum, interdum ad secundam tertiamque noctis vigiliam arcessitos eos rectam fidem docebat perversitatemque eorum haereseos coarguebat. aderant ei cum Philippopolitanus archiepiscopus tum Eustratius, Nicaeae antistes, vir et sacrarum et profanarum litterarum peritus ac dialectica arte magis excellens, quam qui in stoa et in academia versantur. praeter hos vel potius ante omnes imperatori Nicephorus meus Caesar auxiliabatur, quem converterat ad divinos libros lectitandos. itaque multi Manichaeorum sine ulla dubitatione ad sacerdotes ibant peccataque sua confessi divini baptismi fiebant participes; multos autem videre licuit, qui Maccabaeorum constantiam superantes superstitiones suas tenebant sacrae scripturae sententias auctoritatesque proferentes, qui-

θείων προφέροντας γραφῶν ἐντεῦθεν ἰσχυροποιεῖν οἰόμενοι τὸ σφῶν αὐτῶν κατάπτυστον δόγμα. ἀλλὰ τῇ συνεχεῖ τοῦ
V. 359 αὐτοκράτορος ὁμιλίᾳ καὶ ταῖς συχναῖς παραινέσεσι καὶ τού-
B των οἱ πλείους πειθόμενοι τοῦ θείου μετέσχον βαπτίσματος. καὶ γὰρ ἐξ ἀνατολῶν ἡλιακῶν ἀκτίνων ἐς βαθυτάτην νύκτα 5 πολλάκις τὰ τῆς διαλέξεως παρετείνετο, καὶ τῆς τοιαύτης ὁμιλίας μὴ ἀφιστάμενος ἄσιτος τὰ πολλὰ διετέλει καὶ ταῦτα ἐν καιρῷ θέρους ἐν ὑπαίθρῳ σκηνῇ διακαρτερῶν.

9. Ἐν ὅσῳ δὲ ταῦτα ἐτελεῖτο καὶ ἡ λογικὴ ἐκείνη μετὰ τῶν Μανιχαίων συνεκροτεῖτο ἅμιλλα φθάσας τις ἀπὸ τοῦ 10 Ἴστρου τὴν τῶν Κομάνων ἀπήγγελλε διαπεραίωσιν. ὁ δὲ βασιλεὺς μὴ μελλήσας ὅλως πρὸς τὸν Δάνουβιν ἤλαυνε τοῖς
C περιτυχοῦσι στρατιώταις συγχρησάμενος. καὶ τὴν Βιδύνην καταλαβὼν καὶ τοὺς βαρβάρους μὴ εὑρηκὼς (προέφθασαν γὰρ τὴν τοῦ αὐτοκράτορος ἔλευσιν μεμαθηκότες εἰς τοὐπίσω 15 διαπερᾶσαι) παραχρῆμα στρατιώτας γενναίους ἀποδιελόμενος τὴν τῶν βαρβάρων ἐπιδίωξιν ἐπέτρεψεν. οἱ δὲ κατόπιν τούτων παραχρῆμα ἤλαυνον τὸν Ἴστρον διαπεράσαντες. καὶ ἐπὶ τρισὶ διώκοντες νυχθημέροις, ἐπεὶ τοὺς Κομάνους ἐθεάσαντο δι' ὧν ἐπεφέροντο σχεδιῶν τὸν ἐκεῖσε τοῦ Δανούβεως ῥέοντα ποταμὸν διαπεράσαντες, ἄπρακτοι πρὸς τὸν 20
D αὐτοκράτορα ἐπανέστρεψαν. ὁ δὲ βασιλεὺς ἠνιάθη μέν, ὅτι

1. οἰομένους P, οἰόμενος C. 2. τῇ* C. 3. καὶ scripsi: κἂν CP. 6. πολλάκης C¹, πολλάκις C². 10. τις] τι in C in ras. m. 2. 11. ἀπήγγελλε] ελ in C in ras. m. 2. 12. μελλήσας P, μελήσας C. 19. Κομάνους] μάνους in C in ras. m. 2. 20. Δαν*νούβεως C.

bus dogma suum detestabile firmari credebant. sed et horum plerique continuis imperatoris disputationibus hortationibusque convicti sacro baptismate initiabantur; nam a prima luce ad multam saepe noctem eiusmodi colloquia impransus plerumque continuabat aestatis tempore in subdiali ille quidem tabernaculo perseverans.

9. Dum haec geruntur et logica ista cum Manichaeis pugna flagrat, advolat quidam, qui ab Istro Comanos traiecisse nuntiat. tum sine mora imperator Danubium petit assumptisque qui in promptu erant militibus Bidynen profectus, cum barbaros non invenisset, quippe qui cognito imperatoris adventu iam ultra fluvium retrocessissent, selectam extemplo fortium virorum manum barbaros fugientes persequi iubet. qui Istrum statim transgressi ac tres dies totidemque noctes Comanos insecuti, ubi eos amnem quemdam ultra Danubium fluentem ratibus traiecisse viderunt, re infecta ad imperatorem revertuntur. is etsi moleste tulit, barbaros ab exercitibus

μὴ κατελήφθησαν παρὰ τῶν στρατευμάτων οἱ βάρβαροι, ὅμως μέντοι καὶ τοῦτο μέρος νίκης ἡγήσατο, ὅτι ἐξ ἀκοῆς καὶ μόνης τοὺς βαρβάρους ἀπῶσε καὶ ὅτι πολλοὺς τῶν ἀπὸ τῆς Μανιχαϊκῆς αἱρέσεως εἰς τὴν ἡμετέραν μετήνεγκε πίστιν 5 διπλοῦν στησάμενος τρόπαιον καὶ κατὰ βαρβάρων ἀπὸ τῶν ὅπλων καὶ κατὰ τῶν αἱρετικῶν ἀπὸ τῶν εὐσεβεστάτων λόγων. ὑποστρέψας τοίνυν καὶ αὖθις εἰς Φιλιππούπολιν καὶ P. 455 μικρὸν διαναπαύσας ἑαυτὸν πάλιν ἀγώνων εἴχετο. τὸν γάρ τοι Κουλέοντα καὶ τὸν Κούσινον καὶ τὸν ἐπὶ τούτοις Φῶ-10 λον, ἄνδρας προστάτας τῆς Μανιχαϊκῆς αἱρέσεως καὶ τὰ μὲν ἄλλα κατὰ τοὺς ἄλλους Μανιχαίους, δεινοὺς δὲ ἐνστῆναι τῇ ἑαυτῶν κακοδοξίᾳ καὶ πρὸς τὸ πεισθῆναι λόγοις ἀδαμαντίνους, σπαράξαι δὲ τὸ θεῖον λόγιον καὶ κακοσχόλως αὐτὸ ἐκλαβεῖν εἰς ὑπερβολὴν εὐμηχάνους, τούτους μεταπεμπόμενος καθ' 15 ἡμέραν ἑκάστην πρὸς αὐτοὺς τὸν λογικὸν συνεκρότει πόλεμον. καὶ ἦν ἰδεῖν ἀγῶνα διπλοῦν, τοῦ μὲν βασιλέως, ὅπως B σωθεῖεν, καὶ σφόδρα ὑπεραγωνιζομένου, τῶν δ', ὅπως νικήσειαν τὴν λεγομένην Καδμείαν, διαφιλονεικούντων. ἑστᾶσι μὲν γὰρ καὶ οἱ τρεῖς θήξαντες ἀλλήλους καθάπερ συῶν 20 ὀδόντες καὶ τοὺς λόγους τοῦ αὐτοκράτορος ἐν νῷ ἔχοντες διατέμνειν καὶ εἴ τις τὸν Κούσινον ἐξέφευγεν ἔνστασις, V. 360

13. τὸ addidi. αὐτὸ scripsi: αὐτῷ CP. 15. συνεκρότει C, συνεκράτει P. 16. ἤδειν C¹, corr. C². 17. ὑπεραγωνιζομένου scripsi: ὑπεραγωνιζόμενον P. 18. τὴν C, om. P. 19. θήξαντες] τες in C e corr. m. 2. 20. νῷ P, ᾧ C. ἔχοντες] τ in C add. m. 2.

nostris non esse deprehensos, tamen et repulsos illos sola fama et multos se ex Manichaeorum haeresi ad nostram fidem traduxisse in victoria posuit sicque duplex erexit tropaeum, alterum armis contra barbaros partum, alterum contra haereticos disputationibus religiosissimis. quocirca Philippopolin reversus modica quiete usus denuo ad certamina se applicuit. Culeontem enim Cusinumque et Pholum Manichaicae sectae antistites inter ceteros Manichaeos tenacissimos perversae suae doctrinae et ad persuadendum difficillimos, in lacerandа vero sacra scriptura eiusque locis pravo studio ad argutias usurpandis callidissimos, eos igitur quotidie ad se vocat acremque cum iis disceptationis bellum gerit; ac duplex conspici certamen potuit, imperatore, ut salvi essent, summopere nitente, illis vero ad reportandam Cadmeam, quae dicitur, victoriam pervicaciter contendentibus. stabant enim tres illi veluti aprorum dentes invicem se exacuentes nihilque nisi rescindere imperatoris rationes cupientes; cumque contrarium aliquod argumentum effugerat Cusinum, id Culeon

ταύτης ὁ Κουλέων ἀντελαμβάνετο καὶ ἀμηχανοῦντος Κουλέοντος ὁ Φῶλος αὖθις ἀντεξανίστατο ἢ καὶ πρὸς τὰς βασιλικὰς προτάσεις καὶ ὑποφορὰς ἄλλος ἐπ' ἄλλῳ ἠγείρετο
C καθάπερ μέγιστα κύματα ἐπὶ μεγάλοις καταλαμβάνοντα κύμασιν. ὁ δὲ αὐτοκράτωρ τὰς πάσας τούτων διαλύων ὡς 5
ἱστὸν ἀράχνης ἐνστάσεις ἐπέρραπτε μὲν εὐθὺς τῶν ἀκαθάρτων τὰ στόματα· ὡς δὲ πέπεικεν οὐδαμῶς, τέλος ἀπειρηκὼς πρὸς τὴν τῶν ἀνδρῶν τούτων ἠλιθιότητα προπέμπει τούτους εἰς τὴν βασιλίδα πόλιν ἑστίαν ἀποκληρωσάμενος αὐτοῖς τὰς περὶ τὸ μέγα παλάτιον περιδρόμους στοάς. οὐ μὴν 10
ἄθηρος παντάπασιν ἦν, εἰ καὶ τούτους τοὺς ἀρχηγοὺς λόγοις
D τῷ τέως οὐκ ἐθήρασεν, ἀλλ' ἡμέρας ἑκάστης προσῆγε Θεῷ ὅπου μὲν ἑκατόν, ὅπου δὲ καὶ πλείους τῶν ἑκατόν, ὡς συμποσοῦσθαι τούς τε προτεθηραμένους καὶ τοὺς νῦν ὑπὸ τῆς
P. 456 τούτου γλώττης ἑαλωκότας εἰς μυρίας καὶ χιλιάδας ἀνδρῶν 15
πολυαριθμήτων. καὶ τί γὰρ δεῖ λέγειν καὶ διατρίβειν περὶ ὧν ἡ σύμπασα οἰκουμένη ἐπίσταται καὶ μάρτυρές εἰσι καὶ ἀνατολὴ καὶ δύσις; πόλεις γὰρ ὅλας καὶ χώρας ταῖς παντοδαπαῖς αἱρέσεσι κεκρατημένας πολυτρόπως εἰς τὴν ἡμετέραν ὀρθόδοξον μετήνεγκε πίστιν. τοὺς μὲν τὰ πρῶτα φέροντας 20
μεγάλων ἠξίου δωρεῶν καὶ τῶν στρατιωτῶν τοῖς λογάσι

3. ἄλλος scripsi: ἄλλο σὺν C, ἀλλῷ σὺν P. 4. ἐπὶ] ὶ in C e corr. m. 2. μεγάλοις] οι in C e corr. m. 2. 7. δὲ in C add. in mg. m. 2. πέπεικεν] ει in C e corr. m. 2. 11. ἄθηρος C^1, ἄθυρος C^2P. ἀρχηγοὺς scripsi: ἀρχαίους P. λόγοις scripsi: λόγους CP. 13. πλείους] ου in C e corr. m. 2. 18. πόλλεις C. 21. δωρεῶν scripsi: δορεῶν (m. ead. superscripsit προνοιῶν) C, προνοιῶν P. ταῖς P, correxi.

statim excipiebat et hoc quoque perturbato Pholus rursus pugnam capessebat vel etiam contra imperatoris ratiocinationes obiectionesque alius super alium extitit, sicut maximi magnos fluctus excipiunt. sed imperator, quaecumque obiciebantur, tamquam aranearum telas discutiens impura eorum ora statim obstruxit. sed, ubi neutiquam iis persuadere potuit, tandem pertaesus tantae stultitiae Constantinopolin eos deduci iubet habitatione assignata in porticibus magni palatii. nec tamen omnia illius erant frustra, licet ipsos illos duces disputationibus nondum cepisset; sed singulis diebus deo reconciliabat modo centum, modo etiam amplius, ut, si quos et antea et tunc lingua ceperit comprehendas, numerus in multa millia excrescat. sed quid ea commemorem, quae totus scit orbis terrarum atque oriens occidensque testantur? totas enim haereticorum omnis generis et urbes et regiones multimodis ad veram fidem nostram adduxit. etenim primores magnis donis dignatus delectis militibus adscripsit; humi-

κατέλεγε· τοὺς δὲ χυδαιοτέρους συναθροίσας ἅπαντας καὶ
ὅσοι σκαπανεῖς ἦσαν καὶ περὶ ἄροτρα καὶ βόας ἠσχόληντο,
πάντας συναγαγὼν ἅμα καὶ τέκνοις καὶ γυναιξὶ καὶ πόλιν B
τούτοις δειμάμενος ἀγχοῦ που Φιλιππουπόλεως καὶ πέραν
5 Εὔρου τοῦ ποταμοῦ ἐκεῖσε τούτους μετῴκισεν Ἀλεξιούπολιν
τὴν πόλιν κατονομάσας ἢ καὶ Νεόκαστρον, ὃ καὶ μᾶλλον
ἐπεκράτησεν, ἀποδασάμενος καὶ τούτοις κἀκείνοις ἀρούρας
τε καὶ οἰνόπεδα καὶ οἰκίας καὶ κτῆσιν ἀκίνητον. οὐ μὴν
ἀφῆκεν αὐτοῖς ἀνίσχυρα τὰ τῶν δόσεων οὐδ' ὥσπερ Ἀδώ-
10 νιδος κήπους σήμερον ἀνθοῦντας καὶ αὔριον καταρρέοντας,
ἀλλὰ καὶ χρυσοβούλλοις λόγοις τὰς πρὸς τούτους ἐνεπέδωσε
δωρεὰς καὶ οὐκ εἰς τούτους μόνους περιϊσταμένας τὰς χάρι-
τας ἔστησεν, ἀλλὰ καὶ εἰς τοὺς ἐξ αὐτῶν καὶ τοὺς ἐξ ἐκείνων C
διαδοσίμους πεποίηκε· καὶ τούτων διαρρυέντων αἱ γυναῖκες
15 αὖθις τῶν δεδωρημένων ἀντέχονται. οὕτως ἐκεῖνος ἐξήπλου
τὰς χάριτας. ταῦτα μὲν οὕτω λελέχθω· τὰ γὰρ πλείω
παρείθη. καὶ μή τις ἐπιμεμφέσθω τὴν ἱστορίαν, ὡς δῆθεν
δωροδοκοῦσαν τὴν συγγραφήν. τῶν γὰρ νῦν ὄντων μάρτυρές
εἰσι πολλοὶ τῶν ἀφηγουμένων, καὶ οὐκ ἂν ψευδηγορίας V. 361
20 ἁλοίημεν. καὶ ὁ μὲν αὐτοκράτωρ πάνθ' ὡς ἐχρῆν πεποιη-
κὼς ἀπάρας ἐκεῖθεν εἰς τὴν βασιλίδα πόλιν μετεσκηνώκει.

2. ὅσοι σκαπανεῖς scripsi: ὅσοις καπανοῖς CP. 3. γυναιξὶν P, correxi. 4. ἀγχοῦ C, ἄχχου P. Φιλιππουπόλεως] in C π alterum add. m. 2, eadem εως e corr. scripsit. 5. μετῴκισεν P, μετώκησεν C. 7. ἀποδασάμενος scripsi: ἀποδυσάμενος CP. 8. οἴκους C[1], οἰκίας C[2]P. 9. Ἀδώνιδος] ς in C in ras. m. 2. 11. χρυσοβούλλοις C, χρυσοβούλῳ P. 17. παρείθη C, παρέθη P. 18. δωροδοκοῦσαν C, δωροδουκοῦσαν P. 19. ψευδηγορίας scripsi: ψευδηγορίαις C, ψευδογορίαις P. 20. ὡς P, ὃς C. 21. μετεσκηνώκει C, μετεσκηνώσκει P.

liores vero et fossores quique circum aratra et boves degebant omnes cum liberis mulieribusque convocavit atque in urbe collocavit, quam ipse prope Philippopolin ultra Hebrum fluvium aedificarat quamque Alexiopolin, sive, quod magis usu invaluit, Neocastrum nominaverat. utrisque etiam agros vineas domos possessionemque immobilem divisit nec munera non firmavit nec Adonidis hortorum instar florentium hodie, cras evanescentium ea esse voluit, sed bullis aureis ita haec iis stabilivit, ut non iis solis haec beneficia tribueret, sed etiam in eorum filios nepotesque propagaret; qui si deessent, mulieres in ius succedendi substituit. sic ille beneficia conferre solebat. sed haec hactenus, quamquam omisimus plurima. attamen, ne quis historiam vituperet scilicet corruptam, eorum quae retulimus multi hodieque testes vivunt, nec mendacii arguamur. rebus igitur omnibus ut opus erat compositis rediit imperator in regiam urbem, rursusque cum Cu-

D καὶ πάλιν οἱ αὐτοὶ ἀγῶνες καὶ διατάξεις πρὸς τοὺς ἀμφὶ
P. 457 τὸν Κουλέοντά τε καὶ Κούσινον ἐγίνοντο τῷ αὐτοκράτορι
συνεχεῖς. ἀλλὰ τὸν μὲν Κουλέοντα εἷλεν· ὡς συνετώτερον,
οἶμαι, καὶ δυνάμενον παρακολουθῆσαι λόγοις ἀληθείας καὶ
τῆς ἡμετέρας μάνδρας πεποίηκε πρόβατον ἡμερώτατον. ὁ δέ 5
γε Κούσινος καὶ ὁ Φῶλος ἐξαγριαίνοντες καὶ βαλλόμενοι μὲν καθάπερ σίδηρος ταῖς συχναῖς τοῦ αὐτοκράτορος ὁμιλίαις, ὅμως
B μέντοι σιδήρεοι μένοντες ἐξετράποντό τε καὶ οὐκ εὐαγώγως
εἶχον αὐτῷ. καὶ διὰ τοῦτο ὡς πάντων Μανιχαίων βλασφημοτάτους καὶ καθαρῶς εἰς λαμπρὰν μελαγχολίαν ἐλαύνοντας 10
εἰς τὴν οὑτωσὶ λεγομένην Ἐλεφαντίνην φρουρὰν ἐμβαλὼν
καὶ τὰ πρὸς χρείαν ἅπαντα δαψιλῶς χορηγῶν μόναις ταῖς
ἑαυτῶν κακοπραγίαις ἀφῆκεν ἀποθανεῖν.

3. Κουλέοντα] ο posterius in C e corr. m. 2. 11. λεγομένην P, λεγομένων C. 13. ἀφῆκεν] εν in C e corr. m. 2.

leonte Cusinoque certamina disceptationesque continuae instituebantur. atque illum quidem cepit, qui prudentior, opinor, esset veritatisque rationibus obsequi valeret, eumque ovilis nostri mansuetissimum reddidit agnum. at Cusinus Pholusque efferati ferrique instar assiduis imperatoris disputationibus contusi ferrei tamen manserunt seque ab eo averterunt nec ab eo duci se passi sunt. quare eos, qui Manichaeorum omnium malitiosissimi ac manifesta melancholia insani essent, in custodiam, quae Elephantine dicitur, coniecit affatimque suppeditatis, quae ad victum necessaria erant, solis suis peccatis perire passus est.

ΑΛΕΞΙΑΣ ΙΕ.

ALEXIADIS LIBER XV.

ARGUMENTUM.

Turcae Asia vastata in fugam vertuntur (1). *Strabobasilius et Stypeota Turcas vincunt. Alexius contra Solymam sultanum profectus moratur Nicomediae* (2). *de variis bellandi modis digressio; nova Romanae aciei forma* (3). *Turcae a Camytze devicti. imperator deo consulto Bardam contra Turcas mittit. oppida Iconio vicina Romani vastant* (4). *Monolyco Romanos aggrediente imperator suos alloquitur firmatque. nova Turcarum irruptione facta cadit Andronicus Annae frater.* (5). *Nicephorus Bryennius Turcas fundit; eorum sultanus Saisan pace facta dona ab Alexio accipit; postea vero a Puchea deceptus excaecatur strangulaturque* (6). *in itinere insigniter Alexius aegros morientesque curat. reversus condit orphanotrophium, ubi etiam artes ac litterae coluntur* (7). *haeresis Bogomilorum; eorum princeps Basilius convictus perseverat in errore. terretur a daemonibus.* (8). *eximius in Bogomilos liber Panopliae dogmaticae. imperator Bogomilos ecclesiae reconciliare studet* (9). *Basilius comburitur. Alexii laudes* (10). *eiusdem morbus supremus et obitus; filiae lamentatio* (11).

---

1. Ἀλλὰ τοιαῦτα μὲν τὰ κατὰ τὴν Φιλιππούπολιν καὶ P. 460
τοὺς Μανιχαίους ἔργα τοῦ αὐτοκράτορος· ἄλλος δ' ἐκεῖθεν V. 364
αὖθις βάρβαρος ἐξαρτύεται κατ' αὐτοῦ κυκεών. ἐβουλεύετο

3. ἐξερτύεται C; corr. m. 2. ἐβουλεύετο C, ἐβούλετο P.

1. His quas rettulimus circa Philippopolin Manichaeosque rebus gestis alia imperatori malorum potio a barbaris paratur.

γὰρ ὁ Σολυμᾶς σουλτὰν τὴν Ἀσίαν αὖθις δῃώσασθαι καὶ
τοῦ Χοροσᾶ καὶ τοῦ Χάλεπ δυνάμεις μετεκαλεῖτο, εἴ ποι
γενναίως παρὰ τὸν αὐτοκράτορα ἀντικαταστῆναι σχοίη. ἐπεὶ
δ' αὐτῷ τὸ πᾶν τῆς τοῦ Σολυμᾶ σουλτὰν βουλῆς πρός τινος
διεμηνύθη, ἐσκόπει καὶ αὐτὸν μέχρι τοῦ Ἰκονίου στρατεῦσαι 5
καὶ καρτερώτατον τὸν μετ' αὐτοῦ συναρράξαι πόλεμον. κεῖθι
B γὰρ τὸ σουλτανικὸν τῷ Κλιτζιασθλὰν ἀπομεμέριστο. δυνά-
μεις τοίνυν ἐξ ἀλλοδαπῶν καὶ μισθοφορικὸν μετεκαλεῖτο
πολὺ καὶ τὸ ἴδιον στράτευμα πανταχόθεν μετεπέμπετο. κατ'
ἀλλήλων οὖν ἀμφοτέρων τῶν στρατηγῶν τὴν μελέτην ποιου- 10
μένων ἐν τῷ μεταξὺ τὸ σύνηθες ἄλγημα τῶν ποδῶν συνέβη
τῷ αὐτοκράτορι. καὶ δυνάμεις ἁπανταχόθεν μὲν συνέρρεον,
ἀλλὰ κατὰ στράγγα καὶ οὐκ ἀθρόον διὰ τὸ πόρρω που τὰς
σφῶν εἶναι πατρίδας· ἡ δέ γε ὀδύνη ἀπεῖργε τοῦτον οὐ
τοῦ προκειμένου μόνον ἅψασθαι σκοποῦ, ἀλλὰ καὶ τοῦ βα- 15
δίζειν ἁπλῶς. καὶ κλινήρης ὢν ἤχθετο οὐ τοσοῦτον διὰ τὴν
C τῶν ποδῶν περιωδυνίαν ὁπόσον διὰ τὴν ἀναβολὴν τοῦ κατὰ
τῶν βαρβάρων ἔργου. οὐκ ἐλάνθανε ταῦτα τὸν βάρβαρον
Κλιτζιασθλάν· ἔνθεν τοι καὶ ἀμεριμνήσας τὸ παρὸν τὴν
Ἀσίαν ἅπασαν ἐληΐζετο, ἑπτάκις κατὰ τῶν Χριστιανῶν ἐκ- 20
δρομὰς ποιησάμενος. καὶ γὰρ οὐδέποτε ἐπὶ τοσοῦτον τὸ
ἄλγος ἐκεῖνο τὸν αὐτοκράτορα κατέσχεν· ἐκ διαστημάτων

2. Χορασᾶ P, correxi. 4. βουλὴν C; corr. m. 2. 7. Κλιτζι-ασθλᾶν P. 8. μετεκαλεῖτο C, μετακαλεῖται P. 15. μόνον scripsi: μόνου CP. 16. τὴν add. m. 2 in C. 19. Κλιτζι-ασθλᾶν P, κλιτζισθλὰν C.

Solymas enim sultanus iterum Asiam depraedaturus copias e Chorosane Chalepque convocabat, si forte prospere in imperatorem pugnare posset; quo toto sultani consilio delato ipse ad Iconium usque, ubi Clitziasthlanis sultanicii fines erant, castra movere et acerrime cum eo congredi constituit; ideoque copiis ex alienigenis collectis multisque militibus mercede conductis proprium quoque exercitum undique coegit. sed dum ambo duces certatim bellum meditantur, consuetus pedum dolor imperatori accidit; et conveniebant quidem copiae, sed sensim guttatimque quasi, non una omnes, cum patria eorum longe abesset. dolor autem impediebat eum non solum, quominus propositum exequeretur, sed etiam, ne incederet omnino; lectoque affixus dolebat non tam ob pedum dolorem, quam quod expeditio in barbaros differebatur. nec fugit id Clitziasthlanem barbarum, qui septem in Christianos excursionibus factis totam Asiam eo ipso tempore securus vastabat; neque alias umquam tantus dolor impe-

γὰρ μακρῶν πρὸ τοῦ ἐπερχομένη τούτῳ ἡ νόσος οὐ περιοδικῶς τὸ τηνικάδε ἀπήντησεν, ἀλλὰ συνεχὴς ἦν καὶ ἐπαλλήλους τοὺς παροξυσμοὺς ἐδίδου. ἀλλὰ τοῦτο τὸ πάθος πρόσχημα ἐδόκει τοῖς περὶ τὸν Κλιτζιασθλὰν νοσήματος, οὐ D
μέντοι νόσημα, ἀλλ' ὄκνος καὶ ῥαθυμία ἔξωθεν περιβεβλημένη τὴν ποδαλγίαν· κἀντεῦθεν πολλὰ πολλάκις ἀπέσκωπτον κἀν ταῖς μέθαις κἀν τοῖς πότοις καθάπερ αὐτοφυεῖς ῥήτορες P. 461
ἠθοποιΐας τῆς τῶν ποδῶν ὀδύνης τοῦ αὐτοκράτορος οἱ βάρβαροι ἐποιοῦντο. καὶ κωμῳδίας ἐγίνετο πρόφασις ἡ τῶν
10 *ποδῶν ἀλγηδών. πρόσωπα γὰρ ἰατρῶν τε καὶ τῶν περὶ τὸν αὐτοκράτορα διαπονουμένων ὑπεκρίνοντο καὶ αὐτὸν δῆτα τὸν βασιλέα εἰς τὸ μέσον παράγοντες καὶ ἀναθέμενοι ἐπὶ κλίνης προσπαίζειν ᾤοντο. καὶ ἐπὶ ταύταις ταῖς παιδιαῖς γέλως τοῖς βαρβάροις ἐπῆρτο πολύς. οὐ μὴν ἐλάνθανε ταῦτα*
15 *τὸν αὐτοκράτορα κἀντεῦθεν ἠρεθίζετο πρὸς τὴν κατ' αὐτῶν μάχην μᾶλλον παφλάζων τὰ τοῦ θυμοῦ. οὐ πολὺ τὸ ἐν μέσῳ* B
καὶ κουφισθεὶς τῆς ὀδύνης τῆς προκειμένης ὁδοιπορίας εἴχετο. τήν τε Δάμαλιν διαπεράσας καὶ τὸν ἀναμεταξὺ Κιβωτοῦ V. 365
τοῦ καὶ Αἰγιαλῶν διαπλωϊσάμενος πορθμὸν καὶ τὴν Κιβωτὸν
20 *καταλαβὼν ἐκεῖθεν εἰς τὸ Λοπάδιον ἄπεισι τὴν τῶν ταγμάτων ἐκδεχόμενος ἄφιξιν καὶ ὁπόσον μισθοφορικὸν μετε-*

4. *Κλιτζιασθλᾶν* P, *κλιτζασθλᾶν* C. 5. *ὄκνος* P, *ὄγγος* C. 11. *ὑπεκρίνοντο* scripsi: *ὑποκρίνοιτο* CP. 12. *ἀναθέμενοι*] *ι* in ras. m. 2 C. 13. *παιδιαῖς* P, *πεδιαῖς* C. 16. *παφλάζων τὰ τοῦ θυμοῦ* scripsi: *παμφλάζοντα θυμοῦ* CP. 18. *Κιβωτοῦ καὶ Αἰγιαλῶν* scripsi: *Κιβωτῷ αἰγιαλῷ* CP; cf. 279, 4. 19. *διαπλωϊσάμενος* scripsi: *διαπλωϊέμενος* CP. *πορθμὸν*] *μ* eras. C. 20. *Λοπάδιον* P, *λοπάδιν* C.

ratorem ceperat, cum morbus, quo magnis ante intervallis aegrotabat, tunc continuo et sine ulla intermissione saeviens eum urgeret. quod malum simulari credebant, qui cum Clitziasthlane erant, nec morbum, sed cunctationem ignaviamque dicebant, quae podagrae speciem prae se ferret; indeque multa inter patinas calicesque ut extemporales rhetores iocabantur ac de podagra imperatoris declamationum vel mimorum argumenta sumebant: sic pedum dolorem in comoediam vertebant. nam personae producebantur medicorum atque imperatoris famulorum eumque ipsum lecto impositum et in medium prolatum illudere sibi videbantur, iisque iocis summus inter barbaros risus oriebatur. quo imperator nuntiato magis etiam ira excandescens ad pugnandum in eos incendebatur ac vixdum dolore levatus itineris exequendi consilium cepit. itaque Damalin profectus cum fretum inter Cibotum et Aegialos pernavigasset Cibotumque venisset, Lopadium abit Romanas copias mercennariosque

πέμπετο. ἐπὰν δὲ συνεληλύθεισαν ἅπαντες, ἀπάρας ἐκεῖθεν σὺν ὅλαις δυνάμεσι τὸ τοῦ κυρίου Γεωργίου καταλαμβάνει φρούριον ἀγχοῦ τῆς τῇ Νικαίᾳ παρακειμένης λίμνης διακείμενον κἀκεῖθεν εἰς Νίκαιαν, εἶτα διὰ τριῶν ἡμερῶν αὖθις C ὑποστρέφει ἔνθεν τῆς γε τοῦ Λοπαδίου γεφύρας καὶ στρατοπεδεύει κατὰ τὴν βρύσιν τοῦ καρυκέως καλουμένην, οὕτω δόξαν αὐτῷ, ἵνα τὸ μὲν στράτευμα πρότερον διὰ τῆς γεφύρας διαβιβάσας ἐν ἐπικαίρῳ τόπῳ τὰς σκηνὰς πήξηται κἀθ' οὕτως καὶ αὐτὸς ὁ αὐτοκράτωρ διὰ τῆς αὐτῆς γεφύρας διελθὼν μετὰ παντὸς τοῦ στρατεύματος τὴν βασιλικὴν καταθείη σκηνήν. οἱ δὲ μηχανικώτατοι Τοῦρκοι τὰ κατὰ τὴν περὶ τοὺς πρόποδας τῶν Λεντιανῶν καὶ τῆς οὕτω καλουμένης Κοτοιραικίας διακειμένην πεδιάδα ληϊζόμενοι, ἐπεὶ D τὴν τοῦ αὐτοκράτορος κατ' αὐτῶν μεμαθήκεισαν ἔφοδον, ἐκδειματωθέντες παραυτίκα πυρσοὺς παμπόλλους ἀνῆψαν, ἐντεῦθεν φαντασίαν τοῖς ὁρῶσι στρατιᾶς πολλῆς παρέχοντες τάχα. καὶ οἱ μὲν πυρσοὶ τὸν ἀέρα ἐξέκαιον καὶ πολλοὺς τῶν ἀπείρων ἐξεδειμάτουν· τὸν δὲ αὐτοκράτορα ἐθρόει τούτων οὐδέν. κἀκεῖνοι μὲν τὴν λείαν πᾶσαν καὶ τοὺς δορυαλώτους ἀναλαβόμενοι ᾤχοντο· αὐτὸς δὲ κατὰ τὸ περίορθρον πρὸς τὴν ἤδη † ἐκεῖσε πεδιάδα ἠπείγετο σπεύδων αὐτοῦ που τούτους καταλήψεσθαι, ἀλλ' ἀστοχήσας τῆς ἄγρας

1. συνεληλύθεισαν C, συνεληλύθησαν P. 2. κύρου P, correxi. 3. παρακειμένη λίμνη P, correxi. 4. κακεῖθεν C, κακεῖθα P. διὰ om. C, add. P. 15. παμπόλλους P, παμπόλλας C. 16. παρέχοντες P, παρέσχοντες C. 21. ἐκεῖσε] ῥηθεῖσαν ἐκείνην? cf. e. c. 330, 10. 16.

expectans; congregatisque tandem omnibus toto exercitu inde movet et domini Georgii arcem ad Nicaeensem lacum occupat. hinc intrat Nicaeam ac triduo deinde retrocedens castra communivit citra pontem Lopadii ad condimentarii quem dicunt fontem. ita enim ei visum est, ut et priorem partem exercitus ponte traductam apto loco collocaret et ipse dein reliquo agmine eundem pontem transgressus praetorium poneret. callidissimi autem Turcae, qui planitiem ad radices Lentianorum montium Cotoeraciaeque patentem depraedabantur, ubi imperatoris in se iter compererunt, perterriti statim rogos incendunt plurimos, ut ingentis multitudinis speciem intuentibus offerrent. quibus ignibus aer flagrabat multique eorum, qui parum experti erant, metu commovebantur: imperatorem nihil eorum terruit. sed illi praedam omnem captivosque secum ferentes abscesserunt, cumque ipse diluculo in planitiem illam proficisceretur, quamquam festinabat, ut ibi eos assequeretur, tamen praeda frustratus

καὶ πολλοὺς μᾶλλον τῶν Ῥωμαίων ἔτι ἐμπνέοντας εὑρηκώς,
πολλοῖς δὲ καὶ νεκρῶν σώμασιν ἐντετυχηκὼς ἤχθετο ὡς P. 462
εἰκὸς καὶ ἤθελε μὲν διώκειν, ἀλλ' ἵνα μὴ τὸ πᾶν ἀπολέσῃ
θήραμα, μὴ δυνατοῦ ὄντος τοῦ παντὸς στρατεύματος τοὺς
5 φεύγοντας ὀξέως καταλαβεῖν, χάρακα μὲν αὐτοῦ που περὶ
τὸ Ποιμανηνὸν πήγνυται καὶ παραχρῆμα ἀπολεξάμενος γεν-
ναίους ψιλοὺς στρατιώτας τὴν ἐπιδίωξιν τῶν βαρβάρων ἐπι-
τρέπει παραγγείλας ὅπως χρὴ ἐπιπορεύσασθαι τοὺς ἀλάστο-
ρας. οἱ δὲ τούτους ἐφθακότες εἴς τινα τόπον Κελλία
10 ἐγχωρίως ὀνομαζόμενον μετὰ τῆς λείας πάσης καὶ τῶν δο-
ρυαλώτων ὡς πῦρ κατ' αὐτῶν ἵενται καὶ αὐτίκα πλείστους B
μὲν μαχαίρας ἔργον ἐποιήσαντο, ἐνίους δὲ ζωγρήσαντες καὶ
τὴν λείαν πᾶσαν ἐκεῖθεν ἀναλαβόμενοι μετὰ νίκης λαμπρᾶς
πρὸς τὸν αὐτοκράτορα ἐπανῆλθον. τούτους ἀποδεξάμενος
15 καὶ τὴν παντελῆ τῶν πολεμίων φθορὰν ἐγνωκὼς πρὸς τὸ
Λοπάδιον ἐπανέρχεται. κεῖθι δὲ παραγενόμενος καὶ μῆνας
τρεῖς ὅλους ἐγκαρτερήσας τὸ μέν τι δι' ἀνυδρίαν τῶν δι'
ὧν ἔμελλε διελθεῖν μερῶν (θέρους γὰρ ὥρα παρῆν καὶ ἡ
ἀλέα ἀφόρητος), τὸ δὲ καὶ τὸ μήπω φθάσαν τοῦ μισθο-
20 φορικοῦ στρατεύματος ἀπεκδεχόμενος. ἐπὰν δὲ ἅπαντες
ἀθροισθεῖεν ἐκεῖ, ἐξαναστὰς ἅπαν τὸ ὁπλιτικὸν τηνικαῦτα C
κατὰ τὰς ἀκρολοφίας τοῦ Ὀλύμπου καταθέμενος καὶ τῶν V. 366

1. πολλοὺς C, πολὺς P. 2. πολλοῖς] ι in ras. m. 2 C. σώμασιν P, σώμασι C. 3. εἰκὸς] ο in ras. m. 2 C. 7. βαρβάρων] ν add. m. 2 C. 9. τούτους P, τούτοις C. 16. παραγενομένου CP, correxit Wilkenus. 17. τοι CP, correxi. 21. ὁπλητικὸν C; corr. m. 2.

est; et Romanorum potius multis, qui spirabant etiamtum, multisque etiam eorum cadaveribus inventis fieri non potuit, quin ira accenderetur: sed in summo persequendi studio, ne omnem praedam amitteret, quia universus exercitus fugientibus instare non poterat, castris circa Poemanenum positis statim delectos levis armaturae milites persequi barbaros iubet indicato scelestorum itinere. hi assecuti eos loco, quem Cellia appellant incolae, cum praeda omni captivisque flammae instar aggrediuntur plurimisque trucidatis, nonnullis captis atque omni praeda recepta victores ad imperatorem revertuntur; qui exceptis iis iam de plena hostium internecione certior factus Lopadium recedit ibique totos tres menses moratur partim propter ariditatem locorum, per quos proficiscendum ei erat (aestatis enim tempus aderat nec ferri poterat calor), partim quod partem mercennariorum, quae nondum venerat, expectabat. iam collectis omnibus castra movit, cumque gravem armaturam universam circa Olympi

οὕτω καλουμένων Μαλάγνων αὐτὸν τὸν Ἀέρα κατέλαβε. τῆς δὲ βασιλίδος κατὰ τὴν Πρίγκιπον αὐλιζομένης, ἵν' ἔχοι ῥᾷον ἐκεῖθεν τὰ περὶ τοῦ αὐτοκράτορος μανθάνειν περὶ τὸ Λοπάδιον ἐπανελθόντος, ὁ βασιλεὺς ἅμα τῷ τὸν Ἀέρα καταλαβεῖν διὰ τοῦ βασιλικοῦ μονήρους μεταπέμπεται αὐτὴν τὸ 5 μέν τι καὶ τὸ ἄλγος ὑφορώμενος ἀεὶ τῶν ποδῶν, τὸ δέ τι καὶ τοὺς συμπαρομαρτοῦντας αὐτῷ τῶν ἐγκολπίων ἐχθρῶν D δεδιὼς διὰ τὴν ἄκραν αὐτῆς περὶ αὐτὸν ἐπιμέλειαν καὶ τὸ ἀγρυπνικώτατον ὄμμα.

2. Οὔπω τρίτη παρῆλθεν ἡμέρα καὶ ὁ περὶ τὸν βασιλικὸν 10 κοιτωνίσκον ἀσχολούμενος κατὰ τὸ περίορθρον ἐλθὼν ἀγχοῦ τοῦ βασιλικοῦ σκίμποδος εἱστήκει. ἡ δὲ βασίλισσα διυπνισ-P. 463 θεῖσα καὶ τοῦτον θεασαμένη Τούρκων ἡμῖν ἔφοδον ἀπαγγέλλειν ἔφη. τοῦ δὲ περὶ τὸ οὕτω καλούμενον τοῦ Γεωργίου φρούριον ἐφθακέναι λέγοντος κατεσίγασε τοῦτον ἡ βασιλὶς 15 τῇ χειρί, ἵνα μὴ τὸν αὐτοκράτορα διυπνίσῃ. ὁ δὲ ἐν αἰσθήσει τῶν λεγομένων γεγονὼς ἐπὶ ταὐτῷ σχήματι καὶ γνώμης τέως ἦν· ἀνίσχοντος δὲ τοῦ ἡλίου πρὸς τὰς συνήθεις ἐργασίας ἐτράπετο ὅλος τῆς τούτου προμηθείας γεγονώς. οὔπω τρίτη παρῆλθεν ὥρα καὶ ἕτερος ἐκεῖθεν καταλαβὼν ἐγγίζειν 20 ἤδη τοὺς βαρβάρους ἔλεγεν. ἡ δὲ αὐτοκρατόρισσα ἔτι συμ-

1. Μαλαγίνων? αὐτὸς? 1. 4. ἀέρα P, correxi. 5. βασιληκοῦ C; corr. m. 2. μεταπέμπεται αὐτὴν C (ται αὐτὴν fere evanida), μεταπέμπεται τὴν Αὐγοῦσταν P. 6. τῶν evanuit in C. 8. αὐτὸν ἐπιμέλειαν] ὃν ἐπι in ras. m. 2 C. 10. παρὰ CP, correxi. 13. ἀπαγγέλλειν P, ἀπαγγέλειν C. 19. τούτων? 21. αὐτοκρατόρισσα P, αὐτοκρατόρησα C[1], αὐτοκρατόρισα C[2]: sic etiam infra.

iuga disposuisset et Malagnorum, quae dicunt, ipse Aërem tenuit, imperatrice interim ad Principum morante, unde facilius de imperatore Lopadium reverso certior fieret. is ubi Aërem tenuit, monere regia missa ad se Augustam invitat, quia et pedum dolorem semper respiciebat et a comitibus metuebat, quos sibi inimicos quasi fovebat sinu, propter uxoris summam sui curam maximamque vigilantiam.

2. Necdum biduo praeterito repente imperatorii cubiculi praefectus mane ingressus prope imperatorium lectum adstitit. tum somno excitata imperatrix, ubi conspexit eum, Turcarum dixit adventum nobis eum nuntiare. cumque iam ad Gregorii arcem eos pervenisse narrasset, ne imperatorem e somno excitaret, manu eum tacere iussit. is vero, quamquam audierat illa verba, se nuntio moveri dissimulabat atque oriente sole ad consuetas occupationes conversus animo tamen nihil nisi illa volvebat. necdum tertia hora effluxerat, cum alius accurrens appropinquare iam barbaros retulit. erat cum im-

παρῆν τῷ αὐτοκράτορι δειλιῶσα μὲν ὡς εἰκός, ἐξεχομένη δὲ ὅμως τῆς ἐκείνου γνώμης. ἐπὰν δὲ πρὸς ἄριστον οἱ βα- B σιλεῖς ἐπείγοντο, ἕτερος ᾑμαγμένος καταλαβὼν προσουδίσας τοῖς ποσὶ τοῦ αὐτοκράτορος ἑαυτὸν ὑπὲρ κεφαλῆς τὸν κίν-
5 δυνον ἵστασθαι ἐπώμνυτο τῶν βαρβάρων ἤδη ἐπικαταλαμβανόντων. ὁ δὲ αὐτοκράτωρ εὐθὺς τὴν πρὸς τὸ Βυζάντιον ἐπάνοδον τὴν αὐτοκρατόρισσαν ἐπέτρεψεν. ἡ δὲ πτοηθεῖσα ἐν μυχοῖς καρδίας ὅμως εἶχε τὸν φόβον καὶ οὔτε λόγοις οὔτε σχήμασι τοῦτον ἐνέφαινεν. ἀνδρεία γὰρ καὶ στάσιμος οὖσα τὴν φρένα
10 καθάπερ ἡ παρὰ τοῦ Σολομῶντος ἐν παροιμίαις ὑμνουμένη ἐκείνη γυνὴ οὐ γυναικῶδές τι ἐνεδείξατο καὶ ἀθαρσὲς ἦθος, οἷα τὰ πολλὰ τὰς γυναῖκας ὁρῶμεν πασχούσας, ἐπειδάν τι φο- C βερὸν ἀκούσωσι· καὶ αὐτὸ τὸ χρῶμα κατηγορεῖ τῆς ψυχῆς τὴν δειλίαν, καὶ συχνάκις ἀνακωκύουσι γοερὸν ὥσπερ ἐκ τοῦ
15 σχεδὸν αὐταῖς τῶν δεινῶν ἐφεστηκότων. ἀλλ' ἥ γε βασιλὶς ἐκείνη, κἂν ἐδεδοίκει, περὶ τῷ αὐτοκράτορι ἐδεδοίκει, μή τι πάθῃ ἄτοπον· δευτέρως δὲ περὶ ἑαυτῆς ἐπεφόβητο. οὐ τοίνυν ἐκείνη κατ' ἐκεῖνο καιροῦ ἀνάξιόν τι τῆς ἑαυτοῦ γενναιότητος ἐπεπόνθει, ἀλλ' ἐχωρίζετο μὲν τοῦ αὐτοκράτορος
20 ἄκουσα καὶ πυκνὰ περιστρεφομένη πρὸς ἐκεῖνον καὶ θαμὰ προσβλέπουσα, ὅμως μέντοι συντείνασα ἑαυτὴν καὶ οἷον τονώσασα μόγις ἀπηλλάγη τοῦ βασιλέως. κἀκεῖθεν κατα- D

5. ἐπώμνητο C; corr. m. 2. ἐπικαταλαμβανόντων C, καταλαμβανόντων P. 10. ἡ παρὰ τοῦ scripsi: ἡ παρὰ P, περὶ τοῦ C. 11. ἐνδείξατο P, correxi. 12. ἐπειδὰν** C. 15. βασιλὴς C; corr. m. 2. 17. πάθοι C; corr. m. 2. ***ἄτοπον C.

peratore etiam tum imperatrix et licet pavens illius arbitrium sequebatur; cumque pransuri essent, alius cruore madidus ad imperatoris pedes procumbens periculum imminere iuratus affirmat; barbaros enim iamiam supervenisse. tum statim imperator Augustam Byzantium misit, quae quamvis metueret, tamen intimo pectore timorem continuit eumque nec voce nec gestu ostendit. fortis enim atque constantis animi, ut illa in Solomonis proverbiis laudata femina, fuit nec quidquam muliebre timidumve prae se tulit, ut pleraeque mulieres de periculo audientes; quarum facies ipsa insimulat animi timorem, gemuntque saepe flebiliter, ac si prope pericula adsint. sed imperatrix, cum metuebat, imperatori metuebat, ne quid ei accideret; secundo loco et ipsi sibi timebat. nec tamen quidquam tunc sua virtute indignum passa erat, sed invita ab imperatore recessit saepe se retro vertens illumque saepe respiciens; attamen cum ipsa se cogeret obfirmaretque, aegre abiit. ac postquam ad mare

βᾶσα πρὸς θάλασσαν κἄπειτα εἰς τὸ ταῖς βασιλίσιν ἀποτεταγμένον μονῆρες εἰσεληλυθυῖα τὴν ἠϊόνα τῆς Βιθυνῶν παραπλέουσα θαλαττίου κλύδωνος αὐτὴν κατασχόντος ταῖς ἀκταῖς τῆς Ἑλενουπόλεως τὴν ναῦν προσορμίσασα κεῖθι V. 367 τέως αὐλίζεται. ἀλλὰ ταῦτα μὲν τὰ περὶ τὴν Αὔγουσταν· ὁ 5 δὲ αὐτοκράτωρ μετὰ τῶν συνόντων στρατιωτῶν τε καὶ συγγενῶν εὐθὺς ἐπὶ τοῖς ὅπλοις ἦν. καὶ δὴ ἐποχηθέντες ἅπαντες P. 464 τὴν πρὸς Νίκαιαν ὥδευον. οἱ δὲ βάρβαροι Ἀλανόν τινα κατασχόντες καὶ τὴν τοῦ βασιλέως κατ' αὐτῶν ἔφοδον δι' αὐτοῦ μεμαθηκότες, δι' ὧν ἦλθον ἀτραπῶν, διὰ τούτων ἐπανῄεσαν 10 φεύγοντες. ὁ δέ γε Στραβοβασίλειος καὶ Μιχαὴλ ὁ Στυπειώτης (Στυπειώτην δὲ ἀκούων τις μὴ τὸν μιξοβάρβαρον νοείτω· ἀργυρώνητος γὰρ τούτου ἐκεῖνος δοῦλος γεγονὼς ἐς ὕστερον τῷ βασιλεῖ ὡς δῶρόν τι πρὸς αὐτὸν προσενήνεκται· ἀλλά τινα τῶν τῆς μείζονος τύχης), ἄνδρες οὗτοι μαχιμώ- 15 τατοι καὶ τῶν πάλαι ὑμνουμένων, [οὗτοι] κατὰ τὰς ἀκρολο- B φίας τῶν Γερμίων ἐνδιατρίβοντες καὶ τὰς ἀμφόδους παρασκοποῦντες, εἴ που ταῖς ἄρκυσιν αὐτῶν καθάπερ τις θήρα οἱ βάρβαροι περιπεσόντες ἀλῷεν, ὡς τὴν τούτων ἔλευσιν μεμαθήκεισαν, παρὰ τὰς πεδιάδας τὰς οὕτω καλουμένας 20 ...... ἀνελθόντες καὶ ἀναδεξάμενοι τὸν μετ' αὐτῶν πόλεμον μάχην συνεστήσαντο καρτερὰν ἡττήσαντες τούτους κατὰ κράτος. καταλαβὼν δὲ ὁ αὐτοκράτωρ τὸ πολλάκις εἰρημένον

4. Ἑλενουπόλεως] ω m. 2 ex corr. C. ναῦν P, ναῦ C. 16. οὗτοι seclusi. 20. post καλουμένας lacuna sex litterarum in C, quattuor litterarum in P.

descendit et in monerem imperatricum propriam intravit, Bithynorum oram praeternavigavit, donec tempestate deprehensa Helenopoli navem appulit ibique mansit. hactenus de Augusta. imperator autem cum militibus suis cognatisque statim in armis erat equisque conscensis omnes Nicaeam tendunt, dum barbari capto Alano quodam ab eodem imperatoris adversus ipsos expeditione cognita quibus venerant viis fugientes recedunt. at Strabobasilius et Michael Stypeota — Stypeotam ne semibarbarum illum intellegas, qui emptus pecunia huius servus cum fuisset, postea imperatori dono datus erat, sed e numero nobilium ille fuit — hi, inquam, fortissimi viri et fama olim celebres in Germiorum iugis morabantur transitusque custodiebant, num forte ipsorum cassibus ut ferae incidentes barbari caperentur; compertoque eorum adventu in planitiem, quam * vocant, descendunt ac pugna commissa eos fundunt fugantque. verum imperator Gregorii illo, quod saepe commemoravimus, castello ac pago,

φρούριον Γεωργίου κἀκεῖθεν αὖθις κωμόπολίν τινα Σαγουδάους ἐγχωρίως καλουμένην καὶ τοῖς Τούρκοις μὲν μὴ ἐντυχών, μεμαθηκὼς δὲ τὰ συμβάντα τούτοις παρὰ τῶν ἤδη C
ῥηθέντων γενναίων ἀνδρῶν, τοῦ τε Στυπειώτου καὶ τοῦ
5 Στραβοβασιλείου φημί, καὶ ἀποδεξάμενος τὴν ἐξ αὐτῆς ἀρχῆς τόλμαν καὶ νίκην τῶν Ῥωμαίων, τηνικαῦτα ὁ αὐτὸς αὐτοῦ που ἔξωθεν τουτουῒ τοῦ καστελλίου τὸν χάρακα πήγνυται. τῇ δὲ μετ' αὐτὴν ὡς παρὰ τὴν Ἑλενούπολιν κατελθὼν τῇ βασιλίδι ἐντετυχήκει ἔτι αὐλιζομένῃ διὰ τὸ τῆς θα-
10 λάττης ἄπλωτον. διηγησάμενος οὖν τὰ συμβάντα τοῖς Τούρκοις καὶ ὡς νίκης ἐπιθυμοῦντες συμφορᾷ προσεπέλασαν καὶ κρατεῖν φανταζόμενοι μᾶλλον κεκράτηνται καὶ τἀναντία D
τῶν προσδοκηθέντων ἐφεύροσαν καὶ τῆς πολλῆς ἀθυμίας ἀνακτησάμενος αὐτὴν ἄπεισιν ὡς πρὸς Νίκαιαν. ἐκεῖσε δὲ
15 ἔφοδον ἑτέρων μεμαθηκὼς Τούρκων ἔρχεται πρὸς τὸ Λοπάδιον· ἐν ᾧ μικρὸν χρονοτριβήσας καὶ μεμαθηκὼς τὴν Νίκαιαν καταλαμβάνειν πολὺ Τουρκικὸν στράτευμα τὰς δυνάμεις ἀναλαβόμενος απονεύει πρὸς Κίον καὶ δι' ὅλης τῆς αὐτῆς νυκτὸς μεμαθηκὼς αὐτοὺς τῇ Νικαίᾳ προσπελάζειν
20 ἤδη ἀπάρας ἐκεῖθεν ἔρχεται διὰ τῆς Νικαίας πρὸς Μίσκουραν. καὶ αὐτοῦ που βεβαιωθείς, ὡς τὸ μὲν ἅπαν στράτευμα τῶν Τούρκων οὔπω κατέλαβεν, ὀλίγοι δέ τινες παρὰ τοῦ P. 465

4. καὶ τοῦ C, τοῦ om. P. 5. Στραβοβασίλει CP, correxi. αὐτῆς scripsi: αὐτοῦ CP. 6. αὐτὸς] αὐτοκράτωρ? 7. τουτουῒ τοῦ καστελλίου P, τουτοῒ τὸ καστέλλιον C. 9. βασιλίδη C; corr. m. 2. ἐντυχήκει CP, correxi. 10. ἄπλωτον Lobeckius: ἄπλετον CP. 11. συμφορᾷ προσεπέλασαν C, συμφορὰ προσεπέλασεν P. 21. ἅπαν C, πᾶν P. 22. παρὰ scripsi: περὶ CP.

quem Sagudaos incolae vocant, occupato, cum nusquam Turcas videret et eorum fata a fortibus illis viris, Stypeota et Strabobasilio, audivisset audaciamque impetus Romanorum et victoriam laudasset, ibi ipse extra illam arcem vallum figit; postero vero die Helenopolin profectus imperatricem convenit, quae ob maris procellas ibi adhuc commorabatur. cui, quid accidisset Turcis, narravit, et ut victoriam appetentes calamitas eos oppressisset, iique qui se victores iam putarant victi eorum quae speraverant contraria adepti essent. sic magno ea timore liberata Nicaeam ipse se confert ibique certior factus de aliorum Turcarum incursione venit Lopadium; paulo post, cum audiisset magnum Turcarum exercitum ad Nicaeam appropinquare, collectis copiis ad Cium pergit cognitoque tota eos nocte adversus Nicaeam iter facere castris motis per Nicaeam ad Miscuram usque procedit. ibi comperit certiora, scilicet nondum totum Turcarum exercitum

Μονολύκου ἀποσταλέντες κατὰ τὸ Δολύλον ἐνδιατρίβουσι
καὶ τὰ τῆς Νικαίας μέρη, ἐφ' ᾧ τὴν αὐτοῦ περισκοπεῖν
ἔλευσιν καὶ τὰς περὶ αὐτοῦ τῷ Μονολύκῳ διδόναι συνεχεῖς
εἰδήσεις, Λέοντα μὲν τὸν Νικερίτην μετὰ τῶν ὑπ' αὐτὸν
V. 368 δυνάμεων εἰς τὸ Λοπάδιον πέπομφεν ἐγρηγορέναι τε διὰ 5
παντὸς παρακελευσάμενος καὶ τὰς ἀμφόδους ἐπιτηρεῖν καὶ
B ἅττα δὴ περὶ τῶν Τούρκων γνοίη, ταῦτα διὰ γραφῶν δηλοῦν
αὐτῷ· τὸ δὲ ἐπίλοιπον στράτευμα ἐν ἐπικαίροις καταθέμε-
νος τόποις διέγνω βέλτιον εἶναι μηκέτι κατὰ τοῦ σουλτάνου
χωρεῖν στοχαζόμενος τοὺς σωθέντας βαρβάρους τὴν κατ' 10
αὐτῶν ὁρμὴν διακηρυκεύσασθαι τοῖς κατὰ τὴν Ἀσίαν ἅπασι
Τούρκοις, ὡς ἐν διαφόροις ἐντετυχηκότες τοῖς Ῥωμαίοις
προσέβαλλον, ὡς καρτερῶς ἀντέστησαν, ὡς ἡττηθέντες οἱ
μὲν ἑάλωσαν, οἱ δὲ ἀνῃρέθησαν, ὀλίγοι δὲ καὶ τραυματισθέν-
τες ἀπῴχοντο, κἀκ τούτου διαγνόντες τὴν αὐτοῦ ἔλευσιν 15
C οἱ βάρβαροι πορρωτέρω καὶ αὐτοῦ Ἰκονίου γενήσονται καὶ
κενόσπουδος αὐτῷ ἡ σπουδὴ γένηται. διὰ ταῦτα στρέψας
τοὺς χαλινοὺς διὰ τῆς Βιθυνῶν τὴν Νικομήδειαν κατέλαβεν,
ἵν' ἐντεῦθεν ἀπελπίσαντες τὴν κατ' αὐτῶν ἔφοδον ἐπανέλ-
θοιεν ἕκαστος, οὗπερ τὴν οἴκησιν πρότερον ἐπεποίητο· ἐπὰν 20
δὲ ἀποθαρρήσαντες αὖθις εἰς προνομὴν σκεδασθεῖεν, ὡς
ἔθος τοῖς Τούρκοις, καὶ αὐτὸς ὁ σουλτάνος τοῦ προτέρου

12. ἐν διαφόροις τόποις? ἐ. δ. καιροῖς? 13. προσέβαλλον C, προσέβαλον P. 15. ἀπῴχοντο C, ἀπώλοντο P. ἔλευσιν (in mg. m. 1 γρ. ἐπέλευσιν) C, ἐπέλευσιν P. 17. κενόσπουδος P, κενόσπουδον C. 21. σχεδασθεῖεν CP, correxi.

advenisse, sed paucos tantum a Monolyco praemissos esse circa Dolylum Nicaeamque, qui ipsius adventum specularentur et continua de eo indicia Monolyco mitterent; quapropter Leonem Niceritam cum copiis suis Lopadium dimittit, quem vigilare aditusque custodire et quae de Turcis comperisset, per litteras sibi nuntiare iussit. reliquum exercitum ubi in locis opportunis collocavit, satius habuit non amplius in sultanum educere, suspicans barbaros superstites cladis suae famam omnibus per Asiam Turcis nuntiaturos esse: variis sese locis cum Romanis conflixisse ac restitisse fortiter, victos vero alios captos, alios interfectos esse, paucos vero eosque vulneratos aufugisse; sic cognito ipsius adventu barbaros trans Iconium recessuros esse operamque suam irritam fore. itaque mutato itinere per Bithyniam Nicodemiam se contulit, ut nullum amplius impetum timentes barbari omnes, ubi antea fuissent, eo redirent; sin vero receptis animis Turcae suo more dispersi ad praedas se vertissent ad inceptumque antea opus sultanus rediisset, ipse militibus nostris paulum refectis

ἅψηται ἔργου, τηνικαῦτα καὶ αὐτὸς τῶν στρατιωτῶν μικρὸν ἀναπαυσαμένων καὶ τῶν ἵππων καὶ ὑποζυγίων πιόνων ἐντεῦθεν γεγονότων μετ' οὐ πολὺ σφοδρότερον τοῦ κατ' αὐτῶν ἅψηται πολέμου καὶ τῆς μάχης καρτερῶς ἀνθέξηται. D
5 διὰ ταῦτα τὴν Νικομήδειαν ἀναζητήσας, ὡς εἴρηται, καὶ καταλαβὼν τοὺς συνεφεπομένους αὐτῷ ἅπαντας τῶν στρατιωτῶν εἰς τὰς ἐγγύθι κωμοπόλεις κατέθετο, ὡς οἵ τε ἵπποι καὶ τὰ ὑποζύγια τροφὴν ἀποχρῶσαν ἔχοιεν τῆς Βιθυνῶν γῆς πολὺν τὸν χόρτον ἀναδιδούσης καὶ αὐτοὶ δὴ οἱ στρα-
10 τιῶται ῥᾳδίως ἀπό τε τῆς Βυζαντίδος καὶ τῶν πέριξ διὰ τοῦ παρακειμένου κόλπου ἀποχρῶντα τὰ πρὸς χρείαν κομίζοιντο, ἐπισκήψας αὐτοῖς ὅλῃ γνώμῃ πολλὴν ἐπιμέλειαν τῶν ἵππων καὶ ἀχθοφόρων κτηνῶν ποιεῖσθαι καὶ μηδ' εἰς P. 466 θήραν μηδ' εἰς ἱππηλάσιον τὸ παράπαν ἐξιέναι, ἵνα καιροῦ
15 καλοῦντος πίονες ὄντες τοὺς ἐπιβάτας εὐχερῶς φέροιεν καὶ πρὸς τὰς κατὰ τῶν ἐχθρῶν ἱππασίας χρήσιμοι αὐτοῖς εἶεν.

3. Ταῦτα τοιγαροῦν οἰκονομήσας ἐκεῖνος οἷα σκοπὸς καθῆστο πόρρωθεν φύλακας διὰ πάσης ἀτραποῦ ἐπιστήσας· μέλλων δὲ αὐτοῦ που ἡμέρας ἱκανὰς αὐλίζεσθαι μεταπέμπε-
20 ται τὴν Αὔγουσταν δι' ἃς πολλάκις αἰτίας εἰρήκειμεν, ἐφ' ᾧ συνεῖναι τούτῳ, μέχρις ἂν τὰς τῶν βαρβάρων ἐφόδους ἐνωτισθεὶς ἐκεῖθεν ἀπᾶραι βουληθείη. ἡ δὲ θᾶττον τὴν Νικομήδειαν καταλαμβάνει· ὁρῶσα δέ τινας τῶν ἐναντίων B

4. ἀνθέξεται CP, correxi. 9. πολὺν] υ in ras. m. 2 C. δὲ CP, correxi. 14. θήραν] η in ras. m. 2 C. 17. ἐκεῖνος C, ἐκείνοις P.

atque equis iumentisque curatis bellum statim in eos inciperet fortiterque pugnam capesseret. quocirca Nicomediam, ut dixi, petiit omnesque, quos secum habuit, milites in vicinis pagis disposuit, ut et equi iumentaque sufficiens pabulum haberent (Bithynorum enim regio feni feracissima est) et milites ipsi a Byzantio et adiacentibus locis per maris sinum, ad quem Nicomedia sita est, rerum ad victum commodarum copiam nanciscerentur; iussique sunt maximam equorum iumentorumque curam habere neque in venatione aut ad ludos equis uti, ut pingues essent suo tempore et equites bene ferrent neve ad hostes adoriendos non apti forent.

3. His mandatis ipse velut speculator ex longinquo per omnes vias custodes collocavit; quod vero dies aliquot ibi manere voluit, Augustam arcessivit ob eas quas saepe iam dixi causas, ut secum esset, dum barbarorum excursionibus nuntiatis castra inde moveret. quae cum Nicomediam celeriter pervenisset, adversariorum aliquot

ἐπιγαννυμένους οἷον ἐφ' οἷς ὁ βασιλεὺς ἠπρακτήκει καὶ πανταχοῦ διαλοιδορουμένους τῷ βασιλεῖ καὶ ὑποψιθυρίζοντας, ὡς
V. 369 ἄρα κατὰ τῶν βαρβάρων τοσοῦτον παρασκευασάμενος καὶ πολλὰς συνειλοχὼς δυνάμεις καὶ μηδὲν μέγα ἠνυκὼς ἀπέκλινε πρὸς τὴν Νικομήδειαν, καὶ τοῦτο οὐκ ἐν γωνίαις μόνον, 5 ἀλλὰ καὶ ἐν πλατείαις καὶ ἀμφόδοις καὶ τριόδοις ἀναισχυντότερον λέγοντας ἠνιᾶτο καὶ ἤσχαλλεν. ὁ δὲ αὐτοκράτωρ τὸ πέρας τῆς κατὰ τῶν ἐχθρῶν αὐτοῦ ὁρμῆς αἴσιον ἔσεσθαι
C στοχαζόμενος, δεινὸς ὢν περὶ τὰ τοιαῦτα παρ' οὐδὲν μὲν τὰς διατριβὰς ἐκείνων καὶ νεμέσεις ἐτίθετο, ὡς παιδαρίων 10 ἀθυρμάτων πάμπαν τῶν τοιούτων καταφρονῶν καὶ τοῦ νηπιώδους αὐτῶν καταγελῶν φρονήματος· τὴν δέ γε Αὔγουσταν κρείττοσιν ἀνεκτᾶτο λογισμοῖς αὐτὸ τοῦτ' ἔσεσθαι μείζονος νίκης αἴτιον ἐπομνύμενος, ὅπερ ἐκεῖνοι διασύρουσιν. ἐγὼ μὲν οὖν ἀνδρείαν οἶμαι, ὅταν τις σὺν εὐβουλίᾳ τῆς νίκης 15 κρατήσειε· τὸ γὰρ θυμοειδὲς τῆς ψυχῆς καὶ δραστήριον
D ἄνευ τοῦ φρονεῖν κατηγορούμενον γίνεται καὶ θράσος ἐστὶν
P. 467 ἀντὶ θάρσους. θαρροῦμεν γὰρ τοῖς ὅπλοις καθ' ὧν δυνάμεθα· θρασυνόμεθα δὲ καὶ καθ' ὧν οὐ δυνάμεθα, ὥσθ' ὁπόταν κίνδυνος ἡμῖν ἐπικρέμαται, † ἀπὸ κατὰ πρόσωπον 20 προσβαλεῖν * * τότε τρόπον ἕτερον τὸν πόλεμον μεταχειριζόμεθα καὶ ἀμαχεὶ τῶν ἐχθρῶν κρατεῖν ἐπειγόμεθα. καὶ

1. ἐπιγαννυμένους C, ἐπιγαυνυμένους P. 6. ἀναισχυντότερον C. ἀναισχυντώτερον P. 7. ἤσχαλλεν C, ἤσχαλεν P. 10. νεμέσεις] ε secundum in ras. m. 2 C. 18. θράσους CP, correxi. 20. post ἀπὸ (sic C) aliquid intercidisse suspicor: ἀπυκαταπρόσωπον P. 21. lacunam signavi.

laetos quasi de imperatoris segnitia vidit et ubique deridentes eum murmurantesque, quod in tanto contra barbaros apparatu multis copiis collectis nulla tamen magna re gesta Nicomediam devertisset. neque in angulis tantum, sed etiam in plateis et in biviis triviisque impudentius haec iactabantur, id quod et dolebat et irascebatur. verumtamen imperator prosperum adversus hostes successum fore sperans pro sua in eiusmodi rebus constantia nihili eorum obtrectationes vituperiaque faciebat tamquam puerorum nenias ea contemnens ac stolida eorum dicta irridens. Augustam autem melioribus argumentis erexit hoc idem, quod illi vituperarent, maioris victoriae causam fore affirmans. equidem virtutem eam existimo, si quis consilio usus victoria potiatur; animi enim vehementia et agendi cupiditas sine consilio iure vituperatur nec fortes ii sunt sed audaces. etenim fortes sumus in bello contra eos quos superare possumus, audaces contra eos quos non possumus, ita ut imminente periculo * sine metu temere aggrediamur: * * tum alio modo bellum tractantes sine

πρώτη ἐστὶν ἀρετῶν ἡ στρατηγῶν σοφία κτᾶσθαι νίκην ἀκίνδυνον· τέχνῃ δ' ἡνίοχος περιγίνεται ἡνιόχοιο, φησὶν Ὅμηρος. τὸ γὰρ μετὰ κινδύνου νικᾶν καὶ ἡ Καδμόθεν παροιμία διαφαυλίζει. ἐμοὶ δὲ ἄριστον νενόμισται καὶ τὸ ἐν αὐτῇ τῇ
5 μάχῃ μηχανᾶσθαί τι πανοῦργον καὶ στρατηγικόν, ὁπηνίκα μὴ ἀπόχρῃ τὸ στράτευμα πρὸς τὴν τῶν ἐναντίων ἰσχύν· B καθὼς ἔστιν ἐκ τῆς ἱστορίας ἀναλέγεσθαι τῷ βουλομένῳ, ὡς οὐκ ἄρα μονότροπος ἡ νίκη οὐδὲ μονοειδής, ἀλλὰ διαφόροις κόποις πάλαι μέχρι τοῦ δεῦρο κατορθουμένη, ὥστε
10 τὴν μὲν νίκην μίαν εἶναι, τοὺς δὲ τρόπους, δι' ὧν αὕτη τοῖς στρατηγοῖς περιγίνεται, διαφόρους τε καὶ ποικίλους τὴν φύσιν. τινὲς γὰρ τῶν πάλαι ὑμνουμένων στρατηγῶν αὐτῇ ἰσχύϊ * τῷδε τρόπῳ τοὺς ἐναντίους νικήσαντες φαίνονται· ἄλλῳ δὲ ἄλλοι πολλάκις χρησάμενοι τὴν νικῶσαν εἶχον.
15 ὁ δέ γε ἐμὸς πατὴρ καὶ βασιλεὺς ὅπου μὲν ἀλκῇ τῶν ἐναντίων ἐκράτει, ὅπου δὲ καὶ περινοίᾳ τινὶ χρησάμενος, ἔστι δ' C οὗ κἂν ταῖς μάχαις αὐταῖς ὀξύ τι στοχασάμενος καὶ τολμήσας τὴν νικῶσαν εἶχεν εὐθύς. ὅπου μὲν καὶ στρατηγικῷ μηχανήματι συγχρησάμενος, ὅπου δὲ καὶ διὰ χειρῶν μαχό-
20 μενος πολλὰ πολλάκις ἐξ ἀπροσδοκήτων ἐστήσατο τρόπαια. ἦν μὲν γάρ, εἴπερ ἄλλος τις, καὶ φιλοκίνδυνος ὁ ἀνήρ, καὶ συνεχεῖς ἦν ὁρᾶν αὐτῷ τοὺς κινδύνους ἐγειρομένους, ἀλλὰ

1. ἡ scripsi: ἢ CP. 8. παροιμία] οι m. 2 ex corr. C. 9. τρόποις? τοῦ scripsi: τῆς CP. 12. πάλαι] αι m. 2 ex corr. C. 13. lacunam signavi. 16. ἐκράτη C, corr. m. 2. 21. ἤπερ CP, correxi. ἄλλος] ς add. m. 2 C.

pugna hostes vincere properamus. ac prima virtus ducum sapientia est, qua sine periculo victoriam reportant; scilicet arte, ut ait Homerus, auriga aurigam superat. periculosam enim victoriam iam Cadmeum illud proverbium vituperat, optimumque mihi videtur, in ipsa quoque pugna facere astuti aliquid ex arte militari, quandoquidem hostium multitudini exercitus non par est, veluti ex historia licet cuique colligere, non eadem ratione victoriam comparari, sed ab omni inde tempore variis laboribus, ut una quidem victoria sit, ratio autem, qua eveniat ducibus, natura varia ac diversa. nonnullos enim clarorum olim ducum aperta vi * hac ratione adversarios superasse constat, alios alio modo vicisse. iam pater meus et imperator modo vi modo dolo usus hostes vincebat; factumque est haud raro, ut in pugnis ipsis, cum astuti aliquid excogitasset essetque ausus, victoriam statim nancisceretur. atque alias strategemate, alias etiam consertis manibus multa saepe nec opinata erexit tropaea. nam periculorum ut qui maxime appetens fuit, et continua licuit pericula

ποτὲ μὲν γυμνῇ τῇ κεφαλῇ πρὸς τούτους παρεδύετο καὶ
V. 370 ὁμόσε τοῖς βαρβάροις ἐχώρει, ποτὲ δὲ καὶ ἐσχηματίζετο
D ὑποκατακλίνεσθαι καὶ τὸν ὀρρωδοῦντα ὑπεκρίνετο, ὡς καιρὸς ἐδίδου καὶ τὰ πράγματα ὑπηγόρευε. καὶ ἵνα συνελοῦσα
τὸ πᾶν εἴποιμι, καὶ φεύγων ἐκράτει καὶ διώκων ἐνίκα, καὶ 5
ἵστατο καταπίπτων καὶ καταβάλλων ὄρθιος ἦν κατὰ τὴν τῶν
P. 468 τριβόλων θέσιν· καὶ ταῦτα γὰρ ὅπως ἂν ῥίψειας ὀρθά σοι
ἐστήξεται. πάλιν δ' ἐνταῦθα γενομένη παραιτοῦμαι τὴν
μέμψιν, ὅτιπερ περιαυτολογοῦσα καταλαμβάνομαι· ἀλλὰ πολλάκις ἀπελογησάμην, ὅτι οὐχ ἡ τοῦ πατρὸς εὔνοια τοὺς λό- 10
γους τούτους παρέχεται, ἀλλ' ἡ τῶν πραγμάτων φύσις. τί
γὰρ κωλύει πρὸς τῆς ἀληθείας αὐτῆς, καὶ φιλοπάτορα εἶναι
κατὰ ταὐτόν τινα καὶ φιλαλήθη; ἐγὼ μὲν γὰρ τἀληθῆ προειλόμην ξυγγράφειν καὶ περὶ ἀνδρὸς ἀγαθοῦ· εἰ δὲ τὸν αὐτὸν
ξυμβέβηκεν εἶναι καὶ πατέρα τοῦ ξυγγραφέως, τὸ μὲν τοῦ 15
πατρὸς ὄνομα προσερρίφθω ἐνταῦθα καὶ κείσθω ἐκ τοῦ
B παρέλκοντος· τῇ δὲ φύσει τῆς ἀληθείας ἀνακείσθω τὸ σύγγραμμα. ἐν ἄλλοις μὲν γὰρ τὴν πρὸς τὸν πατέρα ἐνεδειξάμην εὔνοιαν καὶ διὰ τοῦτο καὶ δυσμενῶν κατ' ἐμαυτῆς ἠκόνησα δόρατα καὶ ξίφη παρέθηξα. καὶ ἴσασιν ὁπόσοι τὰ καθ' 20
ἡμᾶς οὐκ ἠγνόησαν πράγματα. οὐ μὴν ἐν τῷ τῆς ἱστορίας
σχήματι καταπροδοίην ἂν τὴν ἀλήθειαν. ἄλλος μὲν γὰρ

1. τότε P, correxi. 9. περιαυτολογοῦσα scripsi: αὐτολογοῦσα C, ταυτολογοῦσα P. 11. τούτους C, τούτου P. 14. τὸν αὐτὸν C, om. P. 22. σχήματι scripsi: χρήματι CP.

conspicere ei minantia, sed modo vel nudo capite iis se obiciebat manumque cum barbaris conserebat, modo declinare videbatur ac, si tempus postulabat et res ferebant, timere se simulabat; sed, ut brevi complectar, fugiens superior erat vincebatque persequens, et cadens stabat et deiciens manebat erectus muricum tricuspidum instar, qui utut proiciuntur recti semper stant. rursus hic, ne reprehendar, verendum est, quod mea praedicare convincor; verum, quod saepe iam dixi, non mihi patris amor, sed rerum natura suggerit talia. quid enim per ipsam veritatem impedit, quominus aliquis et patris et veritatis amans appareat? nam equidem proposui mihi vera conscribere eaque de viro bono. qui si contigit ut pater scribentis sit, patris nomen mittamus atque pro supervacaneo habemus, in veritatis autem natura scripta posita sint, praesertim cum alias meum erga patrem ostenderim amorem eoque factum sit, ut malevolorum in me mucrones gladiosque acuerim; quod sciunt, quicumque res nostras noverunt. at sub historiae specie veritatem minime relinquam: aliud enim fuit amoris in patrem tempus, quo

καιρός ἐστιν εὐνοίας πατρικῆς, καθ' ὃν ἡμεῖς ἠνδρισάμεθα,
ἕτερος δὲ καιρὸς ἀληθείας, ὅντινα παραπεπτωκότα οὐκ ἂν
παρὰ φαῦλον θείην. εἰ δ', ὅπερ εἶπον, καὶ φιλοπάτορας ἡμᾶς
συναποδείκνυσιν ὁ καιρὸς οὗτος, οὐ † παρὰ τοῦ τὰ τῆς
5 ἀληθείας ἐπηλυγάσαι τὸ τῶν ἀνθρώπων μεμψίμοιρον. ὁ
μέντοι λόγος ἀνατρεχέτω αὖθις πρὸς τὸ προκείμενον. ἄλλο C
δ' οὐδὲν ὁ αὐτοκράτωρ ἔργον εἶχεν, ἐφ' ὅσον ἐκεῖ που τὴν
αὐλαίαν ἐπήγνυτο, ἢ νεολέκτους τῷ παντὶ συγκαταλέγειν στρα-
τεύματι ἐπιμελῶς τε ἐκπαιδεύειν, ὅπως χρὴ τόξον τείνειν καὶ
10 δόρυ κραδαίνειν ἵππον τε ἐλαύνειν καὶ μερικὰς ποιεῖσθαι
συντάξεις, τὸ καινὸν ἐκεῖνο σχῆμα τῆς παρατάξεως, ὅπερ
αὐτὸς ἐξεῦρεν, ἀναδιδάσκων τοὺς στρατιώτας, ἔστιν οὗ καὶ
αὐτὸς συνιππαζόμενος τούτοις καὶ παραθέων τὰς φάλαγγας
καὶ τὸ δέον ἅπαν ὑποτιθέμενος. τοῦ ἡλίου δὲ τῶν μειζό-
15 νων ἀφισταμένου κύκλων καὶ παραμείψαντος μὲν τὴν φθι- D
νοπωρινὴν ἰσημερίαν, ἐπικύπτοντος δὲ ἤδη πρὸς τοὺς νοτιω-
τέρους κύκλους, ἐπεὶ οὑτοσὶ εὔθετος ὁ καιρὸς ταῖς ἐκστρα- P. 469
τείαις ἐδόκει, σὺν ὅλαις δυνάμεσι κατευθὺ Ἰκονίου ἤλαυνε
καθ' ὃν ἀρχῆθεν προέθετο λογισμόν. καὶ τηνικαῦτα τὴν
20 Νίκαιαν καταλαβὼν εὐζώνους στρατιώτας μετ' ἐμπείρων
ἡγεμόνων ἀποδιελόμενος τοῦ λοιποῦ στρατεύματος εἰς προ-
νομὴν κατὰ τῶν Τούρκων προεκδραμεῖν τούτους παρεκελεύ-
σατο διεσπαρμένως τὰς ἐκδρομὰς ποιουμένους· ἀλλὰ μηδέ, V. 371

3. εἶπον] ον ex ι m. 2 C. 4. παρὰ τοῦ] παραιτοῦμαι περὶ τοῦ? 7. ἔργου P, correxi. 15. φθινοπωρινὴν C, φθινοπωρικὴν P.

fortes nos praestitimus, aliud est veritatis, quod contigisse mihi haud parvi faciam; sin autem, quod dixi, nos etiam patris amantes esse hoc tempus ostendit, minime hominum obtrectationem deprecor, ut veritatem obumbratam excusent. sed redeat oratio ad propositum. non fuit igitur alia cura imperatori, dum tabernaculum ibi habet, quam ut novis delectibus augeret exercitum; tironesque arcum tendere et hastam quatere et equos regere et divisa formare agmina novo illo, quem invenerat, modo docuit: interdum et ipse cum iis equitabat vel phalanges obibat et necessaria quaeque prospiciebat. sole autem a maioribus redeunte circulis ac praeterito autumni aequinoctio iam ad australes orbes inclinante, cum tempus ad expeditiones idoneum videretur, cunctis copiis recta Iconium proficiscitur ex consilio iam diu capto; tum Nicaeam accessit expeditosque milites cum peritis ducibus ante reliquum exercitum praemisit, ut divisi huc illuc in Turcas excurrentes praedarentur, sed, etiamsi divina gratia

εἰ τὴν νίκην θεόθεν λάβοιεν καὶ κατατροπώσαιντο τοὺς ἐχθρούς, ἐς μακρὰν ἀποτελεῖν τὴν καταδρομήν, ἀρκουμένους
B δὲ τῇ δεδομένῃ μετ' εὐταξίας πάλιν τὴν ὑποστροφὴν παρηγγύα ποιεῖν. καταλαβόντες οὖν ἅμα τῷ αὐτοκράτορι τόπον τινὰ * διακείμενον, ἐγχωρίως οὑτωσὶ Γαΐτα προσαγορευόμενον, 5 ἐκεῖνοι μὲν εὐθὺς ἀπῄεσαν, ὁ δὲ ἀπάρας ἐκεῖθεν σὺν ὅλαις δυνάμεσι τὴν κατὰ τὸν Πιθηκᾶν διακειμένην καταλαμβάνει γέφυραν. εἶτα ἐν τρισὶν ἡμέραις διὰ τοῦ Ἀρμενοκάστρου καὶ τῶν οὕτω καλουμένων Λευκῶν τὰς τοῦ Δορυλέου καταλαμβάνει πεδιάδας, ἀποχρώσας δὲ ταύτας πρὸς παρατάξεις 10 κατανοήσας καὶ θέλων ἅπαντας θεάσασθαι καὶ τὴν ὁπλιτικὴν πάντως ἐγνωκέναι δύναμιν, ἣν πάλιν ὤδινε πολεμικὴν
C σύνταξιν καὶ ἐν διφθέραις πολλάκις συνεγράψατο σχηματίζων τὰς παρατάξεις (ἦν γὰρ οὐδὲ τῆς Αἰλιανοῦ τακτικῆς ἀδαής), ταύτην κατὰ τὸν παρεστηκότα τότε καιρὸν ἐν ἀληθείᾳ συν- 15 τάξας κατὰ τὸ πεδίον ἐκεῖνο ἐστρατοπέδευσεν. εἰδὼς γὰρ οὗτος ἐξ ἐμπειρίας πάνυ πολλῆς, ὅτι ἡ Τουρκικὴ παράταξις οὐ κατὰ τὰς τῶν ἄλλων ἐθνῶν παρατάξεις συνέστηκεν, οὐδ', ὡς Ὅμηρός φησιν, ἀσπὶς δ' ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ, ἀλλὰ καὶ τὸ δεξιὸν κέρας τοῖς Τούρκοις καὶ 20 τὸ εὐώνυμον καὶ τὸ μέτωπον ἀπ' ἀλλήλων διέσπασται καὶ ἑστήκασιν οἷον ἀπερρωγυῖαι ἀπ' ἀλλήλων αἱ φάλαγγες, καὶ

1. καταροπώσαιντο C, corr. m. 2. 2. ἀρκουμένους] ους ex corr. m. 2 C. 5. lacunam signavi. 7. Πιθηκᾶν C, Πιθικᾶν P. 12. παντὸς CP, correxi. 13. διφθέραις] ε ex corr. m. 2 C. συνεγράψαντο PC, correxi. 16. γὰρ] αρ ex corr. m. 2 C. 19. δ' ἄρ' C, δ' P. ἀσπίδ'] ιδ ex corr. m. 2 C.

adiuti vincerent fugarentque hostes, ut ne tum quidem longius excurrerent, sed data fortuna contenti ordine se statim reciperent. occupato igitur una cum imperatore loco quodam * sito, qui Gaita ab indigenis vocatur, extemplo illi abierunt, ipse autem cum omnibus inde copiis profectus pontem ad Pithecam situm occupat ac triduo per Armenocastrum Leucasque quae vocantur Dorylei campos petiit. quos cum aptos videret ad aciem explicandam, quia omnes lustrare voluit armatamque vim plane cognoscere, ex iis quae olim animo agitarat et saepe in membranis descripserat ordines et aciem conformaturus (non erat enim rudis Aeliani tacticos), illam igitur conformationem revera tunc secutus in ista planitie castra posuit. nam cum didicisset longo usu, Turcarum aciem non cum ceteris populis congruere, neque apud eos, ut Homerus ait, scutum haerere scuto, galeam galeae, viro virum, sed et dextrum et sinistrum cornu et mediam aciem Turcis disiungi segregatasque esse phalanges alias ab aliis; et si quis dextrum

ὅταν τις ἐπὶ τὸ δεξιὸν ἢ τὸ εὐώνυμον κέρας ὁρμήσειεν, D
ἐφάλλεται αὐτῷ καὶ τὸ μέτωπον καὶ τὸ μετ' ἐκεῖνο μέρος
τῆς ὅλης παρατάξεως καὶ καθάπερ τινὲς λαίλαπες τὸ ὑπο-
κείμενον συνετάραξαν· τὰ δὲ πολεμικὰ τούτοις ὄργανα, οὐ
πάνυ δόρασι χρῶνται καθάπερ οἱ λεγόμενοι Κελτοί, ἀλλὰ
πανταχόθεν κυκλοῦντες τὸν ἐχθρὸν τόξοις βάλλουσιν· καὶ
ἔστιν ἡ ἄμυνα τούτων πόρρωθεν· ὁπόταν διώκῃ, ἁλίσκει
τῷ τόξῳ, καὶ διωκόμενος κρατεῖ τοῖς βέλεσι, καὶ βάλλει βέ-
λος καὶ τὸ βέλος πετόμενον ἢ τὸν ἵππον ἢ τὸν ἱππότην
ἔπληξεν, ἀπὸ δὲ βαρυτάτης χειρὸς ἀφεθὲν δι' ὅλου τοῦ σώ-
ματος παρελήλυθεν· οὕτως εἰσὶ τοξικώτατοι· πρὸς γοῦν P. 470
τοῦτο ὁ πολυπειρότατος ἐκεῖνος βασιλεὺς ἐνιδὼν τὰς παρα-
τάξεις αὐτὸς ἐπεποίητο καὶ συνίστα τὰς φάλαγγας οὕτως,
ὡς τοὺς μὲν ἀπὸ τῶν δεξιῶν τοξεύειν, ὅθεν αἱ ἀσπίδες
προβέβληντο, τοὺς δὲ ἡμετέρους ἐκ τῶν ἀριστερῶν βάλλειν,
ὅθεν τὰ ἀσκέπαστα ἦν τοῦ σώματος. καὶ αὐτὸς μὲν τὴν
τοιαύτην κατανοήσας παράταξιν ὡς ἄμαχός ἐστιν ἐθαύμασε
τῆς δυνάμεως· ὥσπερ τινὰ Θεοῦ σύνταξιν ἄντικρυς καὶ ἀγ-
γέλων παρεμβολὴν τὴν τοιαύτην ἡγεῖτο παράταξιν. ἅπαντες
δὲ καὶ ἐθαύμαζον καὶ ἐγεγήθεσαν τεθαρρηκότες ἐπὶ τῷ τοῦ
αὐτοκράτορος σκέμματι. ἐκεῖνος δὲ ἅμα καὶ τὰς δυνάμεις B
κατα|νοῶν καὶ τὰς πεδιάδας, δι' ὧν διϊέναι ἔμελλε, φαν|ταζό-

6. παντοχόθεν P, correxi. 7. τούτων] τοῦ Τούρκου? 9. πετόμενον C, πετώμενον P. ἱππότην] ἱπ ex corr. m. 2 C. 13. αὐτὸς scripsi: αὐτῷ C, αὐτὰ P. 22. κατανοῶν] inde a νοῶν codicis Coisliniani versus distinxi, ut paulo certius postea de evanidarum litterarum numero indicetur.

vel sinistrum cornu invadit, invehitur in eum media quoque acies et omnes reliqui, qui post eam positi sunt, ac procellae instar opposita quaeque disiciunt; sin ad arma eorum spectas, non tam, ut Galli, utuntur hastis quam in hostes undique circumventos sagittas emittunt pugnantque eminus; et si quem persequuntur, arcu eum capiunt et insequentem telis superant, volansque telum vel equum vel equitem vulnerat et gravissima vi emissum totum penetrat corpus: tanta est eorum sagittandi ars. quo perspecto peritissimus ille imperator aciem phalangesque ita instituit, ut nostri, si a dextra illi iaculabantur, et scutis tegerentur et ipsi a sinistra iacerent, quia corpora hostium ibi nuda erant; cumque ipse animadverteret, vinci non posse hanc aciem, admiratione affectus veluti a deo ipso angelisque profectam eam habuit; gaudebantque ac mirabantur omnes imperatoris invento alacriores. is autem, cum et copias suas reputaret et campos per quos profecturus erat aciemque firmam suam

μενος καὶ τὸ τῆς παρατάξεως στερρὸν καὶ ἀ|διάσπαστον λογιζόμενος χρηστὰς ἐλπίδας ἐντεῦθεν | ἐλάμβανε καὶ εἰς ἔργον ταύτας Θεῷ προβῆναι ἐπηύ|χετο.

4. *Οὕτω γοῦν παραταξάμενος τὴν Σαντάβαριν | κατέλαβε . . . . τοὺς ἡγεμόνας ἅπαντας τῆς | τοιαύτης . . . .*
V. 372 *. . . . . διελὼν τὸν μὲν Καμύτζην κατὰ | τοῦ πολ . . . . τῆς Κέδρου ἐξέπεμψε (πολί|χνιον δὲ τοῦτο ἐρυμνότατον παρά*
C *τινος σατράπου | Πουχέα καλουμένου κατεχόμενον), τῷ δέ γε Στυ|πειώτῃ κατὰ τῶν ἐν τῷ Ἀμορίῳ βαρβάρων ἀπελ|θεῖν . . . . αἰσθόμενοι δὲ τῆς βουλῆς δύο | τινὲς Σκύθαι αὐτόμολοι προσεληλυθότες τῷ Πουχέᾳ τὴν τοῦ Καμύτζη διεμήνυον ἔφοδον, ἅμα δὲ καὶ τὴν τοῦ αὐτοκράτορος ἔλευσιν. ὁ δὲ φόβῳ τηνικαῦτα πολλῷ συσχεθεὶς περὶ μέσας φυλακὰς τῆς νυκτὸς ἐκεῖθεν ἐξελθὼν μετὰ τῶν ὁμοφύλων ᾤχετο. αὐγαζούσης δὲ ἤδη τῆς ἡμέρας καταλαβὼν ὁ Καμύτζης τὸν μὲν Πουχέαν οὐχ εὗρεν, ἀλλ' οὐδέ τινα τὸ παράπαν Τοῦρκον·*
D *πλῆρες δὲ λαφύρων τὸ πολίχνιον, τὴν Κεδρέαν φημί, εὑρηκὼς πρὸς οὐδὲν τούτων ἀπένευσεν, ἀλλ' ἠνιᾶτο καθάπερ οἱ θηραταὶ τὴν ἐν χεροῖν ἄγραν ἀπολωλεκότες καὶ μὴ ἀνασχόμενος εὐθὺς τὰς ἡνίας στρέψας κατὰ τοῦ Πολυβότου ἄπεισι καὶ ἀθρόον τούτοις ἐπεισπεσὼν κτείνει μὲν βαρβάρους ὑπὲρ ἀριθμόν, ἅπασαν δὲ τὴν λείαν καὶ τοὺς δορυαλώτους ἀναλα-*

1. *στεῤῥὸν* P, *στερὸν* C. 5. litterae aliquot hic et in sequentibus evanuerunt. *κατέλαβε* . . . . P. *τοιαύτης* . . . . P. 6. *πολυ* . . . . . P. 7. *τοῦτο* . . P, sed in codice nulla lacuna. 8. *πουχήα* (*Πουχέα* scripsi) *καλουμένου* C, ... P. 9. *στυπ|πειώτη* C. *κατὰ τῶν* C, ... P. *ἀπελθεῖν* . . . . P. 10. *αἰσθόμενοι* C, *θόμενοι* P. in *δύο* desinit fol. 227[b] codicis. 16. *τοῦρκον* C, *Τούρκων* P. 19. *ἐν χεροῖν* C, *εὐχερὴν* P.

quaeque non facile disiceretur, consideraret, magnam spem concepit. quae ut rata fieret, deum precabatur.

4. Ita instructo exercitu Santabarin pervenit * duces omnes huius * dispertiens Camytzen contra oppidum Cedri emisit; fuit vero hoc munitissimum, cui satrapa quidam, qui Pucheas dicebatur, praeerat; Stypeotam autem iussit contra barbaros in Amorio proficisci. quo consilio cognito duo quidam Scythae ad Pucheam transfugerunt et Camytzae et imperatoris adventum nuntiarunt. is metu statim correptus media nocte cum suis abiit, ac prima luce nec Pucheam nec alium omnino e Turcis Camytzes invenit, cumque spoliis confertam Cedream urbem reperisset. nihil eorum appetiit, sed taedebat eum ut venatores, quibus praeda e manibus elapsa est; noluit igitur ibi morari mutatoque itinere statim Polybotum profectus ex improviso barbaros deprehendit et innumerabilem eorum copiam

βόμενος περὶ τὰ κεῖθι μέρη αὐλίζεται τὴν τοῦ αὐτοκράτορος P. 471
ἀπεκδεχόμενος ἔλευσιν. τὰ αὐτὰ καὶ ὁ Στυπειώτης τὸ Ποι-
μανηνὸν καταλαβὼν δράσας πρὸς τὸν βασιλέα ἐπανέστρεψε.
καταλαμβάνει δὲ καὶ ὁ αὐτοκράτωρ τὴν Κεδρέαν περὶ ἡλίου
5 δυσμάς. καὶ προσεληλυθότες παραχρῆμα αὐτῷ στρατιῶταί
τινες ἔφασαν, πληθὺν ἀμέτρητον εἶναι βαρβάρων εἰς τὰ τοῦ
πάλαι ᾀδομένου Βούρτζη πολίχνια ἀγχοῦ που διακείμενα. ὁ
δὲ αὐτοκράτωρ αὐτίκα τε ἠκηκόει τοῦ λόγου καὶ πρὸς ἔργον
ἡτοίμαστο. καὶ παραυτίκα τὸν ἐκείνου τοῦ Βούρτζη ἀπό- B
10 γονον Βάρδαν τὴν κλῆσιν μετὰ Γεωργίου τοῦ Λεβούνη καὶ
Σκύθην Πιτικὰν σκυθικῶς καλούμενον μετὰ τῶν ὑπ' αὐτοὺς
[εἰς] ἀξιόμαχον παραστήσας δύναμιν κατ' ἐκείνων ἐξέπεμψεν
ἐπισκήψας, ἐπὰν ἐκεῖσε παραγένωνται, προνομεῖς ἀποστεῖλαι
κατὰ τῶν παρακειμένων κωμοπόλεων καὶ ἁπάσας δῃώσασθαι
15 καὶ αὐτοὺς δὴ τοὺς αὐτόχθονας ἐκεῖσε μετοικίσαντας κομί-
σαι οἱ. ἐκεῖνοι μὲν οὖν εὐθὺς τῆς προκειμένης ὁδοῦ εἴχοντο,
ὁ δὲ αὐτοκράτωρ ἐχόμενος τοῦ προτέρου σκοποῦ τὸ Πολύ-
βοτον καταλαβεῖν ἠπείγετο καὶ μέχρις Ἰκονίου ἀποδραμεῖν.
ταῦτα διαλογιζόμενος καὶ ἔργου ἀπάρτι ἅπτεσθαι μέλλων, C
20 ἐπεὶ τοὺς βαρβάρους καὶ αὐτὸν δὴ τὸν Σολυμᾶν σουλτάνον
τὴν αὐτοῦ ἔφοδον μεμαθηκότας ἐβεβαιοῦτο ἐμπρῆσαι τὰς

2. *Στυπειώτης* P, *στυπιώτης* C. 4. *Κέδρην* CP, correxi. 11. *Πιτικὰν σκυθικῶς* C, ... P. 12. *εἰς* seclusi. 13. *προ•νομεῖς* C. 14. *κωμοπόλεων*] *ε* add. m. 2 C. 18. *καταλαβεῖν*] *βεῖν* in ras. m. 2 C. 20. *ἐπεὶ* scripsi: *ἐπὶ* CP. *Σολυμᾶν*] *ν* add. m. 2 C. 21. *ἐμπρῆσαί τε* CP, *τε* delevi.

interficit ac tota praeda captivisque omnibus receptis manet illic imperatoris expectans adventum. simili fortuna apud Poemanenum usus Stypeota ad imperatorem se retulit. ac vespere imperator quoque Cedream pervenit, ubi statim conveniunt eum milites quidam indicantes immensam barbarorum copiam prope in oppidis clari olim Burtzae versari. quo igitur nuntio ille accepto statim aggressus opus unum ex Burtzae illius posteris, quem Bardam vocabant, una cum Georgio Lebune ac Scytha, qui Pitican a suis dicebatur, arcessivit eosque cum militibus suis addito insigni copiarum numero contra illos emisit imperans, eo ubi pervenissent, ut praedatores dimitterent in vicinos vicos omnibusque vastatis incolas ad se abducerent. quocirca, dum mandatum illi iter ingrediuntur, ipse imperator tenax prioris propositi se parat, ut Polybotum perveniret et Iconium usque procurreret; idque cogitans secum cum iam in eo esset, ut rem capesseret, pro certo nunciatur, barbaros ipsumque Solymam sultanum cognito eius adventu omnes Asiae

ἀρούρας τῆς Ἀσίας ἁπάσας καὶ τὰς πεδιάδας, ὡς μήτε τοῖς ἀνθρώποις μήτε τοῖς ἵπποις τροφὴν τὸ παράπαν παρεῖναι, ἀπὸ δὲ τῶν ἀνωτέρων μερῶν ἄλλη βαρβάρων ἔφοδος διεκηρυκεύετο καὶ ἡ φήμη αὕτη ὑπόπτερος ἅπασαν διέτρεχε τὴν Ἀσίαν, τὸ μὲν ἐδεδίει, μὴ ἐν τῷ πρὸς Ἰκόνιον ἀπέρχεσθαι 5 ἅπαν τὸ στράτευμα λιμοῦ παρανάλωμα διὰ τὴν σπάνιν τῶν D χορτασμάτων γένηται, τὸ δὲ καὶ τοὺς ἐλπιζομένους ἐκεῖ βαρβάρους ὑφορώμενος ἤχθετο. βουλὴν οὖν βουλεύεται συνετήν τε καὶ τολμηράν, Θεὸν ἐπερωτῆσαι, εἰ χρὴ τῆς πρὸς τὸ Ἰκόνιον ἔχεσθαι ἢ κατὰ τῶν περὶ τὸ Φιλομήλιον 10 V. 373 ἐξορμῆσαι βαρβάρων. ἐν δυσὶ γοῦν χαρτίοις περὶ τούτων ἐπερωτήσας καὶ ἄνωθεν τῆς ἱερᾶς καταθέμενος ταῦτα τραπέζης παννύχιον τὸν ὕμνον καὶ ἐκτενεῖς τῷ Θεῷ προσέφερε τὰς ἐντεύξεις. κατὰ δὲ τὸ περίορθρον εἰσελθὼν ὁ ἱερεὺς καὶ θάτερον τῶν τεθέντων χαρτίων ἀναλαβόμενος καὶ παρουσίᾳ λύσας ἁπάντων ὑπανεγίνωσκε τῷ αὐτοκράτορι τῆς πρὸς τὸ Φιλομήλιον ἀνθέξεσθαι ὁδοῦ παρακελευόμενον. ἀλλὰ ταῦτα 15 P. 472 μὲν τὰ κατὰ τὸν αὐτοκράτορα· ὁ δέ γε Βάρδας ὁ Βούρτζης ἐν τῷ ἔχεσθαι τῆς ἤδη ῥηθείσης ὁδοῦ στράτευμα πολὺ θεασάμενος ἑνωθῆναι μετὰ τοῦ Μονολύκου διὰ τῆς γεφύρας 20 τοῦ Ζόμπη ἐπειγόμενον παρευθὺ ὁπλισάμενος συμμίγνυται

1. ἁπάσας C, ἁπάσης P. 4. αὕτη P, ἀύτη C. 10. 17. Φιλομήλιν CP. 12. ταῦτα scripsi: ταύτης PC. 15. χαρτίων C, χαρτίον P. παρουσίᾳ scripsi: παρρησίᾳ CP. 18. ὁ Βούρτζης C, ὁ om. P.

segetes camposque incendisse, ut neque hominibus neque iumentis quidquam cibi inveniri posset. praeterea ex superioribus partibus nova imminere barbarorum incursio dicebatur, eaque fama totam Asiam percrebuit. metuit igitur ne in itinere Iconium usque omnis exercitus famis praeda fieret ob pabulorum inopiam; simul terrebant eum barbari, qui ibi expectabantur. quare consilium capit prudens illud quidem sed audax, ut dei sententiam exquireret, utrum Iconium versus proficisceretur an duceret exercitum contra barbaros, qui circa Philomelium versarentur. in duabus enim chartis hac de re percontatur iisque supra sacram mensam collocatis tota nocte hymnum continuasque preces deo offert; ac diluculo ingressus sacerdos alteram depositarum chartarum cum sumpsisset, explicat coram omnibus legitque; quae ut Philomelium versus iter susciperet, imperatori suasit. hactenus de imperatore. interim Bardas Burtzes, dum eam, quam diximus, viam sequitur, magnum videt exercitum, qui per Zompi pontem Monolyco coniungere se studebat, statimque correptis armis

τούτοις περὶ τὴν τοῦ Ἀμορίου πεδιάδα καὶ νικᾷ κατὰ κράτος. ἕτεροι δὲ ἀπὸ τοῦ ἀνατολικοῦ μέρους Τοῦρκοι κατερχόμενοι καὶ ὡς πρὸς τὸν Μονόλυκον σπεύδοντες παρατυχόντες τῇ τοῦ Βούρτζη παρεμβολῇ ἐκείνου μήπω φθάσαντος ἀφαιροῦνται B
5 τὰ παρατυχόντα ὑποζύγια καὶ τὰς παρασκευὰς τῶν στρατιωτῶν. ὁ δὲ Βούρτζης [ἐκεῖθεν] νικητὴς ὑποστρέφων καὶ πολλὴν συνεπιφερόμενος λείαν συνηντηκώς τινι τῶν ἐκεῖθεν ἐρχομένων καὶ μεμαθηκώς, ὅπως οἱ Τοῦρκοι ἅπαντα τὰ ἐν τῇ παρεμβολῇ αὐτοῦ καὶ τὴν λείαν πᾶσαν ἀναλαβόμενοι
10 ᾤχοντο, διεσκοπεῖτο τί ἂν χρῇ ποιεῖν. ὀξέως δὲ τὸν δρόμον τῶν βαρβάρων ποιουμένων ἤθελε μὲν καὶ αὐτὸς ὄπισθεν διώκειν τούτων, οὐκ ἠδύνατο δὲ κεκμηκότων τῶν ἵππων. καὶ διὰ τοῦτ' ἀπειπὼν τὴν ἐπιδίωξιν, ὡς μὴ χεῖρόν τι συμβαίη, βραδεῖ ποδὶ σὺν εὐταξίᾳ στείχων κατὰ τὸ περίορ- C
15 θρον τὰ ἤδη ῥηθέντα τοῦ Βούρτζη καταλαμβάνει πολίχνια καὶ ἐξοικίζει ἅπαντα. κἀκεῖθεν τούς τε δορυαλώτους ἀναλαμβάνων καὶ ὁπόση τις ἦν περιουσία τοῖς βαρβάροις ἐπαγόμενος καὶ μικρὸν ἐν ἐπικαίρῳ τόπῳ ἑαυτόν τε καὶ πάντας κεκοπιακότας ἀνακτησάμενος ἀνίσχοντος ἡλίου τῆς ὡς πρὸς
20 τὸν αὐτοκράτορα φερούσης εἴχετο. ἐν τῷ μεταξὺ δὲ ἑτέρα τις περιτυχοῦσα τούτῳ Τουρκικὴ δύναμις παραχρῆμα ξυμμίγνυται τούτοις καὶ πόλεμος ἐντεῦθεν ἀναρριπίζεται μέγας. ἐφ' ἱκανὸν δὲ τὴν μάχην ἀναδεξάμενοι τοὺς δορυαλώτους D ᾐτοῦντο καὶ τὰ ἐξ αὐτῶν ἀφαιρεθέντα λάφυρα διαβεβαιού-
25 μενοι, ὡς εἰ τῶν ἐπιζητουμένων τύχοιεν, οὐκέτι προσβαλεῖν

5. καὶ τὰς C, καὶ om. P. 6. ἐκεῖθεν seclusi. 7. ἐκεῖ CP, correxi. 10. χρὴ CP, correxi. 21. τούτῳ C, τῷ P.

adortus eos in Amorii planitie devicit. alii autem Turcae ab orientali parte ad Monolycum festinantes, cum inciderent in Burtzae castra, nondum eo reverso diripiunt quae iumenta repperere sarcinasque militum. Burtzes victor magna cum praeda redux, ut a quodam, qui inde venerat, comperit, castra sua Turcas diripuisse et cum praeda omni abiisse, quid facto opus esset, deliberat. cum igitur, quamvis vellet, celeriter proficiscentes barbaros insequi fessis equis non posset, sequi suos vetuit, et ne quid peius accideret, lento passu ordineque incedens mane in illa Burtzae oppida pervenit eaque incolis abductis exhausit. ibi et captivos recepit et totum barbarorum commeatum paulumque moratus, postquam opportuno loco se omnesque defatigatos recreavit, oriente sole ad imperatorem iter flexit. in quo alia ei Turcarum manus fit obvia; statimque magno proelio conserto barbari, ubi aliquantisper pugnam sustinuerunt, et captivos et spolia reposcunt polliciti, acceptis iis non amplius aggressuros se Romanos.

τοῖς Ῥωμαίοις ἐπιχειρήσουσιν, ἀλλ' οἴκαδε ἀπελεύσονται. ὁ
δὲ Βούρτζης οὐδαμῶς τῷ τῶν βαρβάρων θελήματι συνετίθετο,
ἀλλὰ καρτερῶς τῆς μάχης ἀντείχετο γενναίως ἀγωνιζόμενος.
ἐπεὶ δὲ τῇ προτεραίᾳ ὕδατος τὸ παράπαν οὐκ ἀπεγεύσαντο
μαχόμενοι, ἐπὰν ὀχθοὺς ποταμοῦ τινος κατέλαβον, κατέψυχον 5
τὸ καῦμα τοῦ δίψους καὶ αὖθις ἀμοιβαδὸν τῆς μάχης ἀντεί-
χοντο· τῶν δὲ αὖθις τοῦ πολέμου ἀντεχομένων οἱ προκεκ-
μηκότες διὰ τοῦ ὕδατος ἑαυτοὺς διανέπαυον. τοσαύτην δὲ
τῶν βαρβάρων τόλμαν ὁ Βούρτζης ὁρῶν καὶ πρὸς τοσοῦτον
πλῆθος ἀποκναίων ἐν ἀμηχανίᾳ ἦν καὶ οὐ τῶν κοινῶν τινα 10
P. 473 στρατιωτῶν πρὸς τὸν βασιλέα τὴν περὶ τούτων ἀγγελίαν
κομίσοντα πέπομφεν, ἀλλὰ τὸν ἤδη ῥηθέντα Γεώργιον τὸν
Λεβούνην. ὁ δὲ μὴ ἔχων ἄλλην ἀτραπόν, ἐν ᾗ οὐ πλῆθος
V. 374 Τούρκων παρῆν, ῥιψοκινδύνως ἐς μέσον τούτων ἑαυτὸν ὤσας
διεληλύθει καὶ μέχρι βασιλέως διεσέσωστο. ὁ δὲ τὰ κατὰ 15
τὸν Βούρτζην μεμαθηκὼς περί τε Τούρκων πληθύος ἀκρι-
βέστερον διαγνοὺς καὶ ὡς χρεία τῷ Βούρτζῃ πολλῶν καὶ
χειρῶν καὶ δυνάμεων, αὐτὸς μὲν τηνικαῦτα ἐπὶ τοῖς ὅπλοις
ἦν καὶ τὸ στράτευμα ἐξώπλιζε. καὶ οὕτω κατὰ φάλαγγας κα-
B ταστήσας τὸ ὁπλιτικὸν κατὰ τῶν βαρβάρων ἐπορεύετο σὺν 20
εὐταξίᾳ πολλῇ. εἶχε δὲ τὸ μὲν ἔμπροσθεν κέρας ὁ βασι-

1. ὁ in ras. m. 2 C. 2. *Βούρτζης*] ς ex ν m. 2 C. *συνε-τίθετο* C, *συνετίθεντο* P. 6. *ἀμοιβαδὸν*] ο posterius m. 2 ex corr. C. *ἀντείχοντο*] ε m. 2 ex corr. C. 7. *ἀντεχομένων* scripsi: *ἀντεμαχομένων* C[1], *ἀντιμαχομέναιν* C[2]P. 10. *τῶν* C, *τὸν* P. 12. *κομίσοντα* scripsi: *κομίσαντα* CP. 16. *βούρτζη* C, corr. m. 2. *περὶ* scripsi: *παρὰ* P. 19. *οὗτο* C.

sed domum abituros esse. at nequaquam iis morem gerens Burtzes fortiter proelio dimicans obstitit. cum vero pridie eius diei nihil omnino aquae in pugna gustassent, fluvii cuiusdam ripa occupata sitis aestum levabant pugnabantque illico alternis vicibus, defessis militibus, dum ceteri certant, sese reficientibus. Burtzes autem tantam barbarorum audaciam animadvertens tantaque multitudine perculsus nesciebat, quid consilii caperet, nec tamen quemquam e gregariis militibus, qui imperatori id nuntiaret, dimisit, sed, quem memoravimus, Georgium Lebunem; qui cum nullam cerneret viam, in qua non esset Turcarum multitudo, audacter ruens per medios hostes feliciter ad Augustum pervenit. is de Burtzae rebus certior factus, ubi et Turcarum numerum accuratius diiudicavit, et quantum opus esset Burtzae auxiliis copiisque, armat se ipse statim iubetque armari milites et instructa acie contra barbaros summo ordine proficiscitur. duxit primum cornu princeps Michael, dextrum Bryen-

λεὺς Μιχαήλ, τὸ δεξιὸν ὁ Βρυέννιος, τὸ ἀριστερὸν ὁ Γαβρᾶς καὶ τὴν οὐραγίαν ὁ Κεκαυμένος. ὡς δὲ πόρρωθεν οἱ Τοῦρκοι τούτους ἐδέχοντο, Νικηφόρος ὁ τῆς βασιλίδος ἀδελφιδοῦς, νέος ὢν καὶ πρὸς μάχας σφαδάζων, αὐτός τε προ-
5 εκδεδραμήκει τῆς παρατάξεως καί τινας σὺν αὐτῷ ἐφελκυσάμενος Ἄρεος ὑπασπιστὰς καὶ συμπλακεὶς τοῖς κατ' αὐτοῦ πρότερον ἐφωρμηκόσι πλήττεται μὲν τηνικαῦτα κατὰ τοῦ γόνυος, πλήττει δὲ τὸν παίσαντα κατὰ τὸ στέρνον διὰ τοῦ C δόρατος. ὁ δὲ παραχρῆμα τοῦ ἵππου κατενεχθεὶς ἄφωνος
10 ἔκειτο. τοῦτο οἱ ὄπισθεν βάρβαροι θεασάμενοι τὰ μετάφρενα τοῖς Ῥωμαίοις παραυτίκα διδόασιν. ὁ δὲ βασιλεὺς ἀριστέα τὸν νεανίαν ἀπολαβὼν ἥσθη τὸ παραυτίκα καὶ μεγάλως τοῦτον ἐπαινέσας πρὸς τὸ Φιλομήλιον ἤλαυνε. καὶ περὶ τὴν λίμνην τῶν τεσσαράκοντα μαρτύρων ἐφθακὼς τῇ
15 μετ' αὐτὴν τὰ καλούμενα Μεσάνακτα κατέλαβεν· ἐκεῖθεν δ' ἀπάρας τὸ Φιλομήλιον ἐξ ἐφόδου κατέσχεν. εἶτα ἀποσπάδας διαφόρους τοῦ στρατεύματος ἀποδιελόμενος παντὸς μεθ' ἡγεμόνων γενναίων κατὰ πασῶν τῶν Ἰκονίῳ παρακειμένων κωμοπόλεων ἐξαπέστειλεν, ἐφ' ᾧ δηώσασθαί τε καὶ τοὺς D
20 δορυαλώτους τῆς ἐκείνων ἀφαρπάσαι χειρός. οἱ δὲ ὡς θῆρές τινες διασπαρέντες ἁπανταχοῦ ἀγεληδὸν πρὸς τὸν βασιλέα τοὺς δορυαλώτους τῶν βαρβάρων κομίζοντες ἐπανῄεσαν μετὰ τῶν σκευῶν αὐτῶν τούτους ἐξανδραποδισάμενοι πάν-

1. γαυρᾶς C. 7. ἐφωρμηκόσι C, ἐφορμηκόσι P. 10. τοῦτον CP, correxi. 12. τὸ C, τὲ P. 15. Μεσάνακτα C, Μεσόνακτα P. 16. Φιλομήλιν CP. 18. ἡγεμόνων] ν posterius in ras. C. 20. ἀφαρπάσας CP, correxi. θηρατῆρές?

nius, laevum Gabras, postremum agmen Cecaumenus. quos dum procul Turcae expectant, Nicephorus imperatricis ex fratre nepos, iuvenis certaminum cupidus, acie procurrit cum aliis quibusdam Martis satellitibus et eos, qui primi occurrerunt, aggressus ipse statim in genu vulnus accepit, idem tamen adversarii pectus hasta percussit, qui equo deiectus mutus humi iacebat. quo conspecto dant illico terga insequentes barbari: imperator vero, postquam laetus fortissimum iuvenem recepit ac magnis laudibus extulit, Philomelium pergit et circa triginta martyrum lacum postero die locum, quem Mesanacta vocabant, occupat: unde castris motis Philomelium primo impetu cepit. deinde a toto exercitu plures manus disiunxit, quas fortibus ducibus praepositis in vicos omnes Iconio vicinos dimisit, ut praedarentur captivosque eorum manibus eriperent; ferarumque ritu ubique dispersi gregatim ad imperatorem barbarorum captivos adducentes illis una cum eorum sarcinis captis omnibus reverterunt. sequebantur eos

τας. συνείποντο δὲ τούτοις αὐθαιρέτως καὶ οἱ αὐτόχθονες
τῶν τοιούτων χωρῶν Ῥωμαῖοι φεύγοντες τὰς τῶν βαρβάρων
χεῖρας, γυναῖκές τε ὁμοῦ μετὰ τῶν νεογνῶν καὶ ἄνδρες αὐτοὶ
καὶ παῖδες, καθάπερ εἴς τι κρησφύγετον ἐς τὸν αὐτοκράτορα
προσπεφευγότες. ὁ δὲ τὴν καινὴν ἐκείνην αὖθις παράταξιν 5
P. 474 διατυπωσάμενος καὶ μέσον τοὺς δορυαλώτους ἅπαντας σὺν
γυναιξὶ καὶ παιδίοις εἰσελάσας τὴν αὐτὴν ἀτραπὸν διῄει, δι'
ἧς διεληλύθει ὁδοῦ, καὶ ἐφ' οἷς ἂν προσεπέλασε τόποις,
μετ' ἀσφαλείας ἁπάσης ἐπορεύετο. καὶ εἶπες ἂν ἰδὼν πόλιν
τινὰ ἔμψυχον πεπυργωμένην πορεύεσθαι κατὰ τὴν εἰρημένην 10
ἐκείνην καινουμένην σύνταξιν.

5. Ὡς δὲ προσωτέρω προῄει, βάρβαροι μέν τινες οὐκ
ἐφαίνοντο, παρείπετο δὲ ὁ Μονόλυκος ἐφ' ἑκάτερα ἐν λόχοις
τῷ στρατεύματι μετὰ ἀποχρώσης δυνάμεως. ἐπὰν δὲ διὰ
B τῆς ἀναμεταξὺ πεδιάδος τοῦ τε Πολυβότου καὶ τῆς ἤδη 15
ῥηθείσης ἐκείνης λίμνης διῄει, ἀπόμοιρά τις τοῦ βαρβαρικοῦ
τάγματος, αὐτόσκευοι πάντες καὶ ψιλοὶ τολμητίαι, ἑκατέ-
ρωθεν λοχήσαντες τοῦ στρατοπέδου ἀθρόον ἀπὸ τῶν μετ-
εώρων αὐτοῖς ἀνεφάνησαν. καὶ τὰ μὲν πρῶτα τὴν καινὴν
V. 375 ἐκείνην παράταξιν ὁ ἀρχισατράπης Μονόλυκος θεασάμενος 20
γέρων τε ὢν καὶ πολλῶν ἐν πείρᾳ πολέμων τε καὶ ταγμά-
των ἐξεπλάγη τεθαυμακὼς τὴν καινὴν ἐκείνην διασκευὴν τοῦ
συντάγματος καὶ τὸν ξυνταγματάρχην ἐπεζήτει ἐγνωκέναι.

1. δὲ τούτοις C, δὲ τοῖς P. 6. σὺν addidi. 10. πρεύεσθαι C, corr. m. 2. 11. καινουμένην scripsi: κινουμένην CP. 13. 20. μονόληκος C². 18. λοχήσαντες C, λοχήσαντος P.

sua sponte Romani etiam indigenae horum locorum fugientes barbarorum servitutem ac mulieres cum parvulis et viri ipsi liberique ut in asylum quoddam ad imperatorem confugiebant. is nova illa acie iterum formata in eaque inclusis captivis omnibus cum mulieribus liberisque eandem, qua venerat, viam ingressus, quaecumque loca praeteriit, tutus omnino pergebat; crederesque vivam urbem munitam novaque, quam diximus, forma instructam cernere ambulantem.

5. Cum vero longius progrederetur, quamquam barbari non apparebant, utrimque tamen circuibat Monolycus exercitui idoneis cum copiis insidians. ut vero in planitiem ventum est, quae Polyboto illique, de qua diximus, lacui interiacet, manus quaedam barbarorum, expediti omnes et leviter armati, sed audaces homines, ex insidiis utrimque a superioribus locis subito apparent. sed Monolycus archisatrapa, iam senex longoque bellorum usu artis militaris peritissimus, nova illa acie conspecta admirans obstupuit, cumque

τὸν αὐτοκράτορα Ἀλέξιον ἐστοχάζετο καὶ οὐχ ἕτερον ἡγεμόνα τῶν ταγμάτων εἶναι καὶ τῆς καινῆς ἐκείνης παρατάξεως. C καὶ ἤθελε μὲν προσβαλεῖν, οὐκ εἶχε δέ· ἀλλ' ὅμως τὸ ἐνυάλιον ἀλαλάξαι ἐκέλευσε. πολλοῦ δὲ στρατεύματος φαντασίαν 5 τοῖς Ῥωμαίοις παρασχεῖν μηχανώμενος μὴ συνασπίζειν, ἀλλὰ διῃρημένως καὶ ἀτάκτως, καθάπερ ἄνωθεν τὴν παράταξιν αὐτῶν διεγράψαμεν, θέειν ἐπέτρεψεν, ἵν' ἐντεῦθεν τῷ ἀπροσδοκήτῳ τῆς θέας καὶ τοῖς τῶν ἵππων δρόμοις κατάκροτον αὐτοῖς πεποιηκότες τὴν ἀκοὴν τὰς τῶν Ῥωμαίων 10 δυνάμεις καταπλήξαιεν. ὁ δέ γε αὐτοκράτωρ καθαπερεὶ πύργος προὔχων τῆς παρατάξεως προϊὼν ἢ στύλος πυρὸς ἢ θεία τις καὶ οὐρανία ὄψις τὰς φάλαγγας αὐτῶν ἀνερρώννυε καὶ ἐπὶ ταὐτοῦ βαδίζειν σχήματος ἐκέλευε καὶ θαρρεῖν παρ- D εκελεύετο καὶ προσετίθει, μὴ πρὸς τὴν ἑαυτοῦ σωτηρίαν 15 ἀποβλέπων τὸν τοσοῦτον ἀναδέξασθαι μόχθον, ἀλλὰ τῆς τῶν Ῥωμαίων εὐκλείας ἕνεκα καὶ δόξης καὶ πρὸς τούτοις ἑτοιμότατον εἶναι ὑπὲρ ἁπάντων ἀποθανεῖν. ἅπαντες οὖν τεθαρρηκότες ἕκαστος τὸν ἴδιον ἐφύλαττε τόπον πάνυ τὴν πορείαν ἀνειμένως ποιούμενοι, τοσοῦτον ὡς μηδὲ κινεῖν P. 475 20 δοκεῖσθαι τοῖς βαρβάροις. δι' ὅλης οὖν τῆς ἡμέρας προσβάλλοντες τῷ Ῥωμαϊκῷ στρατεύματι καὶ μηδὲν ἠνυκότες μηθ' ὅλως μήτε ἐκ μέρους διασπάσαι τὸ Ῥωμαϊκὸν σύν-

1. τὸν γοῦν? 2. ἐκείνης εὑρετὴν? 3. προσβαλεῖν] εῖν m. 2 ex corr. C. τὸ ἐνυάλιον C, τὸ om. P. 16. ἕνεκα addidi.

exercitus ducem quaereret, Alexium imperatorem suspicabatur exercitui praeesse eundemque aciem illam invenisse, non alium quemquam ducum; nec, quamvis vellet, aggredi potuit. sed tamen signum pugnandi dari iubet, et quo maioris exercitus speciem praeberet Romanis, praecepit suis, ut acie non instructa passim ac sine ordine, eo quem supra descripsimus modo procurrerent: fore enim, ut necopinata specie atque equorum impetu terribilem excitantes strepitum Romanorum copias disturbarent. verum imperator quasi alta turris vel ignis columna aciei praecurrens ac velut divina quaedam et caelestis species ordines corroborabat et aciem eandem servare fortique esse animo iubebat addens haec, minime se sua causa tantum laborem suscepisse, sed propter gloriam splendoremque Romanorum seque insuper paratissimum esse pro omnibus mortem obire. quare omnibus animi creverunt: pro se quisque locum suum obtinere et lentissimo gradu iter facere, ut ne moveri quidem barbaris viderentur. itaque toto die Romanum exercitum sine ullo successu aggressi, cum neque in universum neque ex parte eum

ταγμα δυνηθέντες αὖθις πρὸς τὰς ἀκρολοφίας ἀνέτρεχον ἄπρακτοι καὶ πυρσοὺς τηνικαῦτα πλείονας ἀνάψαντες δι' ὅλης νυκτὸς ὠρύοντο καθάπερ λύκοι, ἔστι δ' οὐ καὶ πρὸς τοὺς Ῥωμαίους ἀπέσκωπτον· ἦσαν γάρ καί τινες ἐν αὐτοῖς μιξοβάρβαροι ἑλληνίζοντες. αὐγαζούσης δὲ τῆς ἡμέρας τὰ αὐτὰ μηχανώμενος ὁ Μονόλυκος τοῖς Τούρκοις ἐπέταττε ποιεῖν. ἐπὶ τούτοις καταλαβὼν καὶ αὐτὸς ὁ Κλιτζιασθλὰν B σουλτάνος καὶ θεασάμενος τὴν τοῦ στρατοπέδου εὐταξίαν ἐθαύμασε μέν, ἀπέσκωψε δὲ οἷα νέος πρὸς γέροντα τὸν Μονόλυκον, ὅτου χάριν τὴν μετὰ τοῦ αὐτοκράτορος ἀνεβάλετο μάχην. ὁ δὲ "ἐγὼ μὲν" ἔφη "ὡς γέρων ἢ δειλὸς ἀγχέμαχον τὴν μετ' αὐτοῦ συμπλοκὴν ἀνεβαλόμην μέχρι τοῦδε. εἰ δὲ σὺ θαρρῶν ἦσθα, ἄγε δὴ πειράθητι καὶ αὐτός· τὸ πρᾶγμα διδάξει". εὐθὺς οὖν αὐτὸς μὲν τοῖς περὶ τὴν οὐραγίαν οὖσι προσέβαλεν, ἑτέροις δὲ σατράπαις τὴν κατὰ πρόσωπον τοῦ αὐτοκράτορος προσβολὴν ἐπέταξε καὶ C ἄλλοις τὴν καθ' ἑτέραν πλευρὰν τῆς παρατάξεως μάχην ἀνέθετο. ὁ γοῦν τὸ δεξιὸν κέρας ἐπέχων Νικηφόρος ὁ Βρυέννιος Καῖσαρ τῆς κατὰ τὴν οὐραγίαν μάχης αἰσθόμενος ἐσφάδαζε μὲν ἀμύνειν τοῖς ὄπισθεν, οὐκ ἤθελε δὲ ἀπειρίας V. 376 ἢ νεότητος ἐνδείξασθαί τι, ἀλλ' ἐπεῖχε καίπερ λυττῶντα τὸν κατὰ τῶν βαρβάρων θυμὸν καὶ σὺν εὐταξίᾳ ἐπὶ ταὐτοῖ

4. Ῥωμαίους] ο m. 2 ex corr. C. 6. ἐπέττατε C. 9. ἀπέσκοψε C. 10. ἀνεβάλετο C[1], ἀνεβάλλετο C[2], αἰεβάλλετο P. 12. ἀγχεόμαχον C. 13. θαρρῶν] ν add. m. 2 C. 14. αὐτός] ς del. m. 2 C. 15. προσέλαβεν C, corr. m. 2. ἑτέροις σατράπαις] ς finale bis add. m. 2 C. δὲ addidi. 19. ὁ ἐμὸς Καῖσαρ? 21. καίτοι CP, correxi.

dirumpere possent, re infecta in montium iuga se receperunt pluribusque ignibus incensis per noctem luporum instar ulularunt conviciantes interdum Romanis, cum nonnulli semibarbari inter eos essent graeci sermonis periti. albescente die cum eadem Monolycus quae antea Turcas facere iussisset, ipse interim Clitziasthlan sultanus adveniens, postquam conspexit aciem egregie instructam, licet miratus ut iuvenis tamen Monolycum senem irrisit, quod proelium cum imperatore distulisset. at ille "equidem" inquit "ut senex timidusve pugnam contra eum hucusque distuli; tibi si fiducia est, agedum ipse periclitare. rem probabit eventus." itaque statim sultanus novissimum agmen adortus aliis satrapis in imperatorem ex adverso, aliis ab utroque latere impetum facere imperavit. sed Nicephorus Bryennius Caesar, qui dextrum cornu habuit, cognito extremi agminis certamine, etiamsi huic opem ferre cuperet, tamen, cum imperitiam intemperiemve ostendere nollet, iram in barbaros cohibuit et com-

σχήματος τὴν πορείαν ποιεῖσθαι ἐσπούδαζε. καρτερῶς δὲ
τῶν βαρβάρων μαχομένων ὁ τὸ ἀριστερὸν κέρας ἐπέχων ὁ
φίλτατός μοι τῶν ἀδελφῶν ὁ πορφυρογέννητος Ἀνδρόνικος
τὰς ἡνίας στρέψας σφοδρὰν μετὰ τῆς ἰδίας φάλαγγος τὴν
5 κατὰ τῶν βαρβάρων ἐπέλευσιν ἐποιήσατο. ὃς εἰς τὸ χαρι- D
έστατον αὐτὸ τῆς ἡλικίας ἐληλυθώς, τόλμαν δὲ συνετὴν καὶ
χεῖρα δεξιὰν καὶ φρόνησιν περιττὴν ἐν πολέμοις ἔχων πρὸ
καιροῦ ᾤχετο καί, ὡς οὐκ ἄν τις ἤλπισεν, ἐξ ἡμῶν ἀπῆλθε
καὶ κατέδυ. ὦ νεότης καὶ ἀκμὴ σώματος καὶ ἐπὶ τῶν ἵππων
10 ἅλματα κοῦφα ποῦ ποτε κατερρεύσατε; μονῳδεῖν με τὸ
ἐπὶ τούτῳ πάθος ἐκβιάζεται, ἀλλ' ὁ τῆς ἱστορίας νόμος P. 476
ἐκεῖθεν αὖθις ἀπείργει. θαυμάζειν δὲ ἔστι, πῶς οὐ γίνεταί
τις καὶ νῦν καθάπερ καὶ πάλαι, φησίν, ἢ λίθος ἢ ὄρνις ἢ
δένδρον ἤ τι τῶν ἀψύχων ὑπὸ μεγάλων κακῶν εἰς τὰ τοι-
15 αῦτα τὴν φύσιν ἀμείβων, εἴτε μῦθος τοῦτό ἐστιν εἴτε λόγος
ἀληθής· καὶ τάχα κρεῖττον ἂν εἴη πρὸς τὰ μηδὲν αἰσθανό-
μενα μεταμείβειν τὴν φύσιν ἢ τοσαύτην αἴσθησιν δέχεσθαι
τοῦ κακοῦ. εἰ γὰρ τοῦτ' ἦν, τάχ' ἄν με λίθον ἀπέδειξε τὰ
συμπεσόντα δεινά.

20 6. Τὴν δὲ μάχην ἀγχέμαχον ἤδη γεγονυῖαν ὁ Νικηφόρος
θεασάμενος καὶ πτοηθεὶς τὴν ἧτταν μετὰ τῆς ἰδίας παρα-
τάξεως ὅλας ἡνίας στρέψας ἀμύνειν ἠπείγετο. καὶ τηνικαῦτα B

3. πορφυρογέννητος C, Πορφυρογέννης P. 4. μετὰ scripsi: κατὰ CP. 10. τὸ ἐπὶ C, τὸ om. P.

posito ordine, ut solebat, iter facere properavit. acriter vero barbaris pugnantibus Andronicus porphyrogenitus, fratrum meorum mihi carissimus, qui laevo cornu praeerat, mutato itinere cum suo agmine barbaros invadit ibique in summo flore aetatis, cum excelleret in bellis prudenti audacia et insigni dexteritate et sapientia, praemature obiit praeterque omnium spem nostrum decessit et occidit. o iuventus, o vigor corporis, o equitantis leves saltus, quo tandem abiistis! ut lamenta fundam, dolore quidem de eius casu perducor, sed arcet rursus inde me lex historiae. mirum tamen videtur, cur non etiam nunc ut olim, ut dicunt, in lapidem vel avem arboremve vel aliud quid inanimorum commutetur quis ob malorum magnitudinem induens illarum rerum naturam. nam sive fabula seu verum est, melius certe esset, commutare amisso sensu naturam, quam tale sentire malum; quod si fieri posset, facile me mala in lapidem mutassent.

6. Ceterum Nicephorus, ubi comminus rem agi videt, cladem veritus cunctis copiis suis conversis auxilii causa properavit, celeriterque

οἱ βάρβαροι νῶτα δεδωκότες καὶ σὺν αὐτῷ δὴ τῷ Κλιτζιασθλὰν σουλτὰν ἀνὰ κράτος φεύγοντες πρὸς τὰς ἀκρολοφίας ἠπείγοντο. πολλοὶ μὲν οὖν τηνικαῦτα πεπτώκασι πολεμοῦντες, οἱ πλείους δὲ καὶ ἑάλωσαν· τῶν δὲ σωθέντων ἁπάντων διασπαρέντων καὶ αὐτὸς δὴ ὁ σουλτάνος ἀπεγνωκὼς τὰς σωζούσας 5 ἐλπίδας μετὰ τοῦ οἰνοχοοῦντος αὐτῷ μόνου φεύγων περί τι τέμενος κατὰ τὴν ἀκρολοφίαν ἱδρυμένον, οὗ κυκλόθεν οὐρανομήκεις κυπάριττοι στοιχηδὸν ἑστήκεσαν, ὑπὸ τῶν C διωκόντων αὐτὸν τριῶν Σκυθῶν καὶ τοῦ υἱοῦ τοῦ Οὐζᾶ στενοχωρηθεὶς ἀνελήλυθε καὶ μικρὸν ἐπὶ θάτερον παρεκ- 10 κλίνας, ἐπεὶ μηδὲ γνώριμος τοῖς διώκουσιν ἦν, αὐτὸς μὲν σέσωστο, ὁ δέ γε οἰνοχόος παρὰ τῶν Σκυθῶν κατασχεθεὶς τῷ αὐτοκράτορι ὡς μέγα τι δῶρον προσενήνεκται. ὁ μὲν οὖν βασιλεὺς ἐπὶ τῇ τοιαύτῃ νίκῃ καταγωνισάμενος τοὺς ἐχθροὺς ἔχαιρεν, ἠνιᾶτο δέ, ὅτι μὴ καὶ ὁ σουλτάνος εἰς 15 χεῖρας ἐμπεσὼν κατεσχέθη, ἀλλὰ παρὰ μικρὸν, τοῦτο δὴ τὸ πεπαροιμιασμένον, ἐρρύσθη. ἑσπέρας δὲ ἤδη καταλαβούσης αὐτοῦ κατὰ τόπον αὐλίζεται, οἱ δὲ περισωθέντες τῶν D βαρβάρων αὖθις κατὰ τὰς ἀκρολοφίας ἀνελθόντες πυρσούς τε παμπόλλους ἀνῆψαν καὶ δι' ὅλης νυκτὸς κατὰ τῶν Ῥω- 20 μαίων ὡς κύνες περιυλάκτουν. Σκύθης δέ τις ἀποδράσας ἀπὸ τοῦ Ῥωμαϊκοῦ στρατεύματος καὶ προσεληλυθὼς τῷ σουλτὰν ἔφη "τὴν μετὰ τοῦ αὐτοκράτορος μάχην ἡμέρας

6. *οἰνοχοοῦντος* P, *ἡνιοχοῦντος* C. 7. *ἱδρυμένον* C, *ἱδρυμένων* P. 16. *μικροῦ* CP, correxi. 17. *πε∗παροιμιασμένον* C. 19. *ἀνελθόντες*] λ m. 2 in ras. C. 21. *περιυλάκτουν*] υ prius m. 2 in ras. C. *τις* ex *της* m. 2 C.

barbari una cum Clitziasthlane sultano fugientes ad montium cacumina contenderunt. ibi multis hostium caesis pluribus captis reliquis omnibus dispersis ipse sultanus salute desperata cum solo pocillatore confugit ad sacellum in summo monte extructum, quod circum altissimae cupressi per series consitae erant; iterumque aufugit pressus a tribus Scythis Uzaeque filio paulumque declinans ad alteram partem, quoniam persequentibus ignotus erat, ipse quidem se servavit, sed pocillator a Scythis comprehensus atque ut magnum munus imperatori oblatus est. qua victoria licet valde laetaretur imperator, dolebat tamen, quod sultanus non comprehensus, verum aegre, ut in proverbio est, servatus esset; vespereque facto ibi, ut locus tulit, tabernacula statuit, dum barbari qui supererant in montium cacumina regressi permultos ignes accendunt totamque noctem canum instar Romanos allatrant. ibi Scytha quidam Romanorum exercitu deserto sultanum adiit et "noli" inquit "umquam cum imperatore de die confligere;

οὔσης μηδαμῶς ἐπιχείρει· οὐ γάρ σοι πρὸς καλὸν ἐσεῖται. V. 377
ἀλλ' ἐπεὶ μὴ ἀποχρώσης τῆς πεδιάδος συνεσφιγμένως τὰς
σκηνὰς ἐπήξατο, δι' ὅλης νυκτὸς πρὸς τοὺς πρόποδας τῶν
βουνῶν κατιόντες ψιλοὶ τοξόται καὶ συχνὰ τὰ βέλη κατ'
5 αὐτῶν πεμπέτωσαν καὶ οὐ τὴν τυχοῦσαν ζημίαν τῷ Ῥω-
μαϊκῷ στρατεύματι ὑφέξουσι." τηνικαῦτα δὲ καὶ μιξοβάρβα- P. 477
ρός τις ἐκεῖθεν αὖθις λαθὼν τοὺς Τούρκους πρὸς τὸν βα-
σιλέα φοιτᾷ ἀπαγγέλλων, ὁπόσα ὁ Σκύθης τῷ σουλτάνῳ
προσελθὼν ὑπέθετο, καὶ τὰ βεβουλευμένα ἅπαντα κατὰ τοῦ
10 Ῥωμαϊκοῦ στρατεύματος σαφῶς διηγήσατο. ταῦτα μεμαθη-
κὼς ὁ αὐτοκράτωρ διχῇ διελὼν τὸ στράτευμα τοὺς μὲν
εἴσω τῆς παρεμβολῆς ὄντας ἐγρηγορέναι καὶ νήφειν προσ-
έταξε, τοὺς δέ γε λοιποὺς ὁπλίσασθαί τε καὶ ἔξωθεν τῆς
παρεμβολῆς ἐξελθόντας προϋπαντῆσαι τοῖς κατ' αὐτῶν ἐρχο-
15 μένοις Τούρκοις καὶ τὴν μετ' αὐτῶν ἀναδέξασθαι μάχην.
οἱ δὲ βάρβαροι δι' ὅλης νυκτὸς γύρωθεν περιζώσαντες τὸ B
στράτευμα πολλὰς ἐκδρομὰς περὶ τοὺς πρόποδας τῶν βου-
νῶν ποιούμενοι συχνοὺς ὀϊστοὺς κατὰ τοῦ στρατεύματος
ἔβαλλον. οἱ δὲ Ῥωμαῖοι κατὰ τὰς ὑποθήκας τοῦ αὐτοκρά-
20 τορος ποιοῦντες ἐφύλαττον ἑαυτοὺς μὴ διασπῶντες τὴν
παράταξιν. ὑπαυγαζούσης δὲ τῆς ἡμέρας ἅπαντες ἐπὶ τοῦ
αὐτοῦ σχήματος ᾔεσαν καὶ τὴν λείαν καὶ τὰς σκευὰς ἁπά-
σας καὶ αὐτοὺς δὴ τοὺς δορυαλώτους μετά τε γυναικῶν καὶ
παιδίων ἐς τὸ μέσον τῆς παρατάξεως αὖθις ἐλάσαντες τὴν

14. προϋπαντῆσαι] ι in ras. m. 2 C.

etenim bene tibi non eveniet. sed quoniam planitie non sufficiente artius tabernacula imperator collocavit, fac tota nocte expediti sagittarii assidua de montium radicibus in eos tela mittant. ita enim haud parvam cladem Romanis inferent." eodem vero tempore semibarbarus quidam clam Turcis imperatorem accessit et quae Scytha sultano suasisset omniaque in Romanos consilia accurate exposuit. quo imperator comperto bifariamque exercitu diviso alteram partem intra castra se tenere et pervigilare iubet, reliquos vero sumptis armis e castris exire manusque cum Turcis, si aggrederentur, conserere. ac barbari, qui tota nocte undique exercitum circumdederunt, saepe excurrentes circa montium radices assidua in exercitum tela mittebant, dum interim Romani ex imperatoris praecepto nusquam ordinibus diremptis sese tuentur. primo vero mane suum quisque locum tenebant ac praeda, impedimentis omnibus, captivis cum mulieribus liberisque in mediam aciem rursus receptis Ampum versus

πρὸς Ἀμποῦν ὥδευον. πόλεμος δὲ τηνικαῦτα καταλαμβάνει τούτους βαρὺς καὶ δεινός. ὁ γὰρ σουλτάνος συνάξας αὖθις C τὰς δυνάμεις καὶ περιζώσας τὸ στράτευμα γυρόθεν καρτερῶς ἐμάχετο, μηδαμῶς δὲ τὸν συνασπισμὸν τῶν Ῥωμαίων διακόψαι ἰσχύσας, ἀλλ' ὥσπερ ἀδαμαντίνοις τείχεσι προσβαλὼν ἄπρακτος ἀπεπέμφθη. ἠνιᾶτο γοῦν δι' ὅλης ἐκείνης τῆς νυκτὸς καὶ καθάπαξ ἀπογνοὺς μετὰ τοῦ Μονολύκου καὶ τῶν λοιπῶν σατραπῶν ἐβουλεύετο καὶ τὰ περὶ εἰρήνης ἐπιφωσκούσης ἡμέρας ᾐτεῖτο τὸν αὐτοκράτορα τούτου πᾶσι τοῖς βαρβάροις συνδόξαντος. οὐκ ἀποπέμπεται δέ, ἀλλὰ δέχεται τούτου τὴν ἱκεσίαν ὁ αὐτοκράτωρ καὶ παραχρῆμα τὸ ἀνακλητικὸν ἠχῆσαι ἐπέταξε καὶ οὕτως ἀτρεμεῖν ἅπαντας παρεκελεύσατο καὶ ἐπὶ τοῦ αὐτοῦ ἵστασθαι σχήματος μήτε D τῶν ἵππων ἀποβάντας μήτε τὰς σκευὰς τῶν ὑποζυγίων ἀποσάξαντας περιφραττομένους ἀσπίδι καὶ κυνέῃ καὶ δόρατι, καθά γε καὶ πρότερον δι' ὅλης τῆς ὁδοιπορίας. ταῦτα δὲ δι' οὐδὲν ἄλλο τῷ αὐτοκράτορι ᾠκονόμητο, ἀλλ' ἵνα μὴ συγχύσεως γενομένης πολλάκις τό τε σχῆμα τῆς παρατάξεως διασπασθῇ κἀντεῦθεν εὐάλωτοι ἅπαντες γένωνται. ἐδεδίει γὰρ τοὺς Τούρκους πλῆθος πολὺ τούτους ὁρῶν καὶ ἁπανταχόθεν τῷ Ῥωμαϊκῷ προσβάλλοντας στρατεύματι. ἐν ἐπικαίρῳ δὲ τόπῳ στὰς ὁ αὐτοκράτωρ τούς τε συγγενεῖς αὐτοῦ ἅπαντας καὶ ἱκανοὺς τῶν στρατιωτῶν ἀπολεξάμενος ἐφ' ἑκάτερα

3. γυρόθεν C, γύρωθεν P. 7. καὶ addidi. 17. αὐτοκράτωρι C.

progrediebantur. ibi bellum eos excepit grave et atrox, cum sultanus rursus collectis copiis undique circumvolans exercitum acriter instaret. nec tamen ulla ratione Romanorum contextum scutorum perrumpere potuit, sed, tamquam in adamantinos muros impegisset, infecta re abiit; totaque nocte sollicitus ac plane desperans cum Monolyco reliquisque satrapis consultavit, et ubi illuxit, quod omnibus barbaris placuit, pacis condiciones imperatorem rogavit. nec repudiat preces eius imperator signoque confestim dato, omnes ut consistant ordinesque suos teneant, imperat, neu ab equis descendant vel iumenta sarcinis levent, sed ut, quales toto itinere, protecti stent clipeis galeis hastis; quod quidem nulla alia causa curaverat, quam ne forte confusione exorta acies dirimeretur omnesque hostium praeda fierent, quippe quod Turcas ingenti numero undique Romano exercitui circumfusos metuit. tum idoneo loco capto omnibusque cognatis et sufficiente lectissimorum numero militum utrimque collocatis mediam tenuit

ἐπὶ κεφαλῆς μὲν αὐτὸς εἱστήκει, δεξιόθεν καὶ ἐξ εὐωνύμων οἱ καθ' αἷμα καὶ ἐξ ἀγχιστείας αὐτῷ προσήκοντες καὶ τού- P. 478
τοις ἐχομένως μιγὰς τῶν στρατιωτῶν ἔκκριτος, κατάφρακτοι ἅπαντες· ὁ δὲ τῶν ὅπλων ἀποστίλβων πυρσὸς τὸν ἀέρα
5 πλέον καὶ τῆς ἡλιακῆς ἀκτῖνος κατηύγαζε. προσεληλύθει δὲ τηνικαῦτα καὶ ὁ σουλτάνος μετὰ τῶν ὑπ' αὐτὸν σατραπῶν, ὧν ὁ Μονόλυκος χρόνῳ καὶ πείρᾳ καὶ ἀνδρίᾳ πάντων τῶν κατὰ τὴν Ἀσίαν Τούρκων ὑπερφέρων προῆγε, καὶ καταλαμβάνει τὸν βασιλέα κατὰ τὴν πεδιάδα τὴν μεταξὺ Αὐγουστόπολιν
10 καὶ Ἀκρόνιον. οἱ δέ γε σατράπαι πόρρωθεν θεασάμενοι V. 378
τὸν αὐτοκράτορα τῶν ἵππων ἀποβάντες τὴν συνήθη τοῖς B
βασιλεῦσι προσκύνησιν ἀποδεδώκασι. τὸν δὲ σουλτάνον πολλάκις τοῦ ἵππου ἀποβῆναι ἐπιχειρήσαντα ὁ αὐτοκράτωρ οὐ ξυνεχώρει. ἀλλ' ἐκεῖνος ταχὺ πεζεύσας τὸν πόδα τούτου
15 ἠσπάσατο. καὶ ὃς χεῖρά τε δοὺς αὐτῷ καὶ ἵππον τῶν ἐκκρίτων ἐπιβῆναι ἐκέλευσεν. ἐπιβάντος δὲ τούτου καὶ παρὰ θατέραν πλευρὰν τοῦ αὐτοκράτορος προσεγγίσαντος παραχρῆμα τὸ ἀμφίον ὃ περιεβέβλητο λύσας τοῖς ὤμοις ἐκείνου ἐπέθετο. εἶτα μικρὸν ἐπισχὼν τὸ πᾶν τῶν αὐτῷ δεδογμέ-
20 νων δημηγορήσας ἐξέφηνε λέγων ὡς "εἰ μὲν τῇ βασιλείᾳ Ῥωμαίων ὑπείκειν βούλεσθε καὶ τὰς κατὰ τῶν Χριστιανῶν C
ἐκδρομὰς ἀνακόψαι, χαρίτων μὲν καὶ τιμῆς ἀπολαύσετε καὶ ἀνέτως ἐν ταῖς ἀποτεταγμέναις ὑμῖν χώραις τοῦ λοιποῦ

1. εἰστείκει C. ἐξ εὐωνύμων C, ἐξ om. P. 7. ἀνδρία C, ἀνδρείᾳ P. 9. κατὰ scripsi: καὶ CP. 14. τὸν] ν add. m. 2 C. 16. ἐπιβάντα δὲ τοῦτον CP, correxi. παρὰ scripsi: περὶ CP. 17. προσεγγίσαντα CP, correxi. 20. δημηγορήσας C, δημογορήσας P. 21. βούλεσθε] βουλεσ in ras. m. 2 C.

ipse, dextram vero et sinistram partem consanguinei eius affinesque, quos lecta militum caterva excepit, cataphracti omnes; armorum vero splendor magis etiam quam solis radii aerem collustrabat. ac processerat interim sultanus quoque cum satrapis suis duce Monolyco, qui omnibus in Asia Turcis aetate experientia virtute superior erat, et offendit imperatorem in campo inter Augustopolin Acroniumque. ibi satrapae procul imperatore conspecto degressi equis consuetam imperatoribus salutationem fecerunt; sultano tamen saepe de equo descendere conanti imperator id non concedebat. sed celeriter is desiliens pedem Augusti osculatur, qui dextra iuncta unum ex delectis equis conscendere eum iussit. quo facto cum ad alterum imperatoris latus accessisset, subito is amiculum, quo indutus erat, solvit ac sultani humeris induit; silentioque brevi interiecto, quidquid videbatur, ita exposuit: "si Romanorum imperio cedentes excursiones contra Christianos omiseritis, beneficiis honoribusque augebimini ac liberam

βιώσεσθε, οὗ τὸ πρότερον τὰς διατριβὰς εἴχετε πρὸ τοῦ Ῥωμανὸν τὸν Διογένην τὰς ἡνίας τῆς βασιλείας περιζώσασθαι καὶ τὴν ἧτταν ἐκείνην ἡττηθῆναι μετὰ τοῦ σουλτάνου συνάξαντα δυστυχῶς τὴν μάχην καὶ ἁλῶναι παρ' αὐτοῦ. χρὴ οὖν τὴν εἰρήνην ἑλέσθαι τῆς μάχης καὶ τῶν ὑπὸ τὴν Ῥω- 5 μαίων ἀρχὴν ὁρίων ἀπέχεσθαι τοῖς ἰδίοις ἀρκουμένους. καὶ D εἴ μου πεισθῆτε τοῖς λόγοις συμβουλευομένου τὰ λῷονα, μεταμεληθήσεσθε οὐδαμῶς, ἀλλὰ καὶ πολλῶν δωρημάτων ἐπιτεύξεσθε. εἰ δὲ μή, ἐμὲ ἴστε ὀλοθρευτὴν τοῦ γένους ὑμῶν ἔσεσθαι." ὁ δὲ σουλτάνος καὶ οἱ τούτου σατράπαι 10 πρὸς ταῦτα μάλα προθύμως συνέθεντο λέγοντες "οὐκ ἂν αὐτόμολοι ἐνταῦθα παρεγενόμεθα, εἰ μὴ τὴν μετὰ τῆς σῆς βασιλείας εἰρήνην ἀσπάσασθαι προειλόμεθα". τούτων οὖν ῥηθέντων ἀπέλυσε τούτους εἰς τὰς ἀποτεταγμένας αὐτοῖς σκηνὰς εἰς νέωτα τὰς συνθήκας κατεμπεδῶσαι ὑποσχόμενος. 15 τῇ δὲ μετ' αὐτὴν αὖθις τὸν σουλτάνον Σαϊσὰν τὴν κλῆσιν θεασάμενος ὁ βασιλεὺς καὶ τὰς μετ' αὐτοῦ συνθήκας ὡς ἔθος πληρώσας χρήματα μὲν ὅτι πλεῖστα αὐτῷ ἐχαρίσατο καὶ τοῖς αὐτοῦ δὲ σατράπαις ἱκανῶς φιλοτιμησάμενος χαί- P. 479 ροντας ἀπέλυσεν· ἐν τῷ μεταξὺ δὲ μεμαθηκὼς ὁ αὐτοκρά- 20 τωρ, ὅτι ὁ νόθος αὐτοῦ ἀδελφὸς Μασοὺτ τῆς ἀρχῆς αὐτοῦ βουλόμενος ἐπιδράξασθαι τὸν τοῦ Σαϊσὰν μεμελετήκει φόνον, † ὑπεισελθόντων αὐτῷ σατραπῶν τινων, ὁποῖα εἴωθεν

12. παραγενόμεθα CP, correxi. 21. ὁ ἀδελφὸς CP, ὁ delevi. 22. μελετήκει P, correxi. 23. ὑπεισαγγελλόντων?

in posterum in terris, quae vobis assignatae sunt, vitam degetis, in illis scilicet, in quibus versabamini, priusquam Romanus Diogenes imperii habenis susceptis cladem illam accepit infeliciterque cum sultano pugnans captus est. itaque pacem bello praeferatis oportet abstineatisque a Romanorum finibus contenti propriis; et si obsequemini verbis meis, quibus optima vobis consulo, numquam vos poenitebit, immo multorum munerum fietis participes; sin minus, perniciem me generis vestri fore scitote." quibus libenter sultanus eiusque satrapae astipulantes "Sponte" aiunt "non venissemus huc, nisi cum tua maiestate pacem inire voluissemus." his dictis eos dimisit in tabernacula, quae assignarat iis, insequenti die se pacis condiciones firmaturum pollicens. quas, ubi postero die sultanum, qui Saisan dicebatur, conspexit, ratas ut mos erat fecit et plurimam ei pecuniam largitus est; ac satrapas quoque multis donis laetos a se dimisit. interea imperator, cum nothum illius fratrem Masut regnum appetere deque Saisanis morte cogitare audiisset *, ut fieri

ὡς ἐπίπαν γίνεσθαι, ξυνεβούλευε μεῖναι μικρόν, ἔστ' ἂν τὰ
κατ' αὐτοῦ μελετώμενα σαφέστερον διαγνοίη, καὶ οὕτως
ἀπελεύσεται γινώσκων τὰ συμπεσόντα καὶ φυλαττόμενος.
ὁ δὲ παρ' οὐδὲν τὴν τοῦ αὐτοκράτορος βουλὴν λογισάμενος
5 καὶ θαρρῶν ἑαυτῷ εἴχετο τοῦ σκοποῦ. ἵνα γοῦν μὴ δόξῃ
ὁ αὐτοκράτωρ τὸν αὐτόμολον σουλτάνον βίᾳ κατασχεῖν καὶ B
μῶμος ἐντεῦθεν αὐτῷ προστριβῇ, ἐνεδίδου τῇ γνώμῃ του
βαρβάρου φάμενος "καλὸν μὲν ἦν περιμεῖναι τέως μικρόν·
ἐπεὶ δὲ καταθύμιόν σοι τοῦτό ἐστιν, ἀναγκαῖον τὸν δεύτε-
10 ρον ὅ φασι πλοῦν καὶ καταφράκτους στρατιώτας ἱκανοὺς
Ῥωμαίων ἐξ ἡμῶν ἀναλαβέσθαι τοὺς ἀβλαβῆ σε διασώσον-
τας μέχρις αὐτοῦ Ἰκονίου". ἀλλ' οὐδὲ πρὸς τοῦτο καταπει-
θὴς ὁ βάρβαρος ἦν, ὁποῖα τὰ τῶν βαρβάρων ἤθη ἀγέρωχα
μονονοὺ καὶ αὐτῶν νεφῶν ὑπερβάλλεσθαι οἰομένων. συν- V. 379
15 ταξάμενος τοίνυν τῷ αὐτοκράτορι καὶ χρήματα ἱκανὰ λαβὼν
τῆς πρὸς τὰ οἴκοι φερούσης εἴχετο. ὄνειρος δέ τις ἐφίστα- C
ται αὐτῷ νυκτὸς οὐκ ἀπατηλὸς οὔτε ἐκ Διὸς πεμφθεὶς οὔτε
μὴν ἐποτρύνων πρὸς μάχας τὸν βάρβαρον, καθάπερ ἡ γλυ-
κεῖά φησι ποίησις, Νηληΐῳ υἷι ἐοικώς, ἀλλὰ τἀληθῆ τῷ
20 βαρβάρῳ προμαντευόμενος. ἐδόκει γὰρ τάχα μῦας ἐν τῷ
ἀριστᾶν ὁμαδὸν περιχυθέντας αὐτῷ καὶ ὃν κατήσθιεν ἄρτον

8. ἦν ex οὖν m. 2 C. 9. δὲ ex δὴ m. 2 C. κατὰ τὸν δ. ὅ φ. π. [καὶ] καταφράκτους? 11. διασώσαντας CP, correxi. 20. προ|προμαντευόμενος C. μῦας C, μυίας P. 21. ἀριστᾶν] ᾶ m. 2 ex corr. C. περιχυθείσας C²P.

solet, satrapis quibusdam, auctor illi fuit, ut paulum expectaret, donec de consiliis in eum captis certiora accepisset; ita enim abiturum eum, ut cognitis insidiis servare se posset. quod vero consilium nihili is pendens confidensque sibi ipsi cum in proposito perseveraret, imperator, ne profectum ad se ultro sultanum vi retinere videretur indeque calumniam sibi crearet, cessit barbari sententiae dicens: "melius erat, manere hic aliquantisper; sed quoniam illud tibi cordi est, altera, ut dicunt, navigatio necessaria est sumasque idoneum tecum cataphractorum nostrorum numerum, qui salvum te Iconium usque perducant". at ne hoc quidem barbaro persuaderi potuit, ut sunt superbi animi istorum, qui nubes ipsas paene superare sibi videntur. quare, postquam salutavit imperatorem, largiter donatus domum rediit, sed nocte fit somnium ei neque id fallax nec a Iove missum neque barbarum incitans ad pugnas, quale dulcis celebrat Musa, Nelei filio simile, sed vera barbaro praesagiens. etenim prandens sibi murium catervis circumfusus videbatur, qui quem

ἐκ τῶν χειρῶν ἀφαρπάσαι σπεύδοντας· τοῦ δὲ καταφρονητικῶς διατιθεμένου καὶ ἀποδιοπομπεῖν ἐπιχειροῦντος αἴφνης εἰς λέοντας ἀλλαξαμένους τὴν φύσιν καὶ ὑπερισχυκότας αὐτοῦ. διυπνισθεὶς δὲ τῷ συνοδοιποροῦντι τούτῳ στρατιώτῃ
D τοῦ αὐτοκράτορος διηγεῖτο τὸν ὄνειρον πυνθανόμενος τί 5 ἂν βούλοιτο. τοῦ δὲ εἰς ἐχθροὺς τοὺς μῦάς τε καὶ τοὺς λέοντας διαλύοντος τοῦ ὀνείρου, αὐτὸς δὲ πιστεύειν οὐκ ἤθελεν, ἀλλὰ σπουδαίως καὶ ἀπερισκέπτως τῆς ὁδοιπορίας εἴχετο. σκοποὺς δὲ τάχα προαπεστάλκει, ἐφ' ᾧ περιαθρῆσαι, μή τινες ἐχθροὶ εἰς προνομὴν ἐξεληλύθεισαν. αὐτῷ δὲ 10 τῷ Μασοὺτ οἱ σκοποὶ ἐντετυχηκότες μετὰ πολλῆς στρατιᾶς ἤδη καταλαμβάνοντι καὶ ὁμιλήσαντες τούτῳ ξυνθέμενοί τε τῇ ἐκείνου κατὰ τοῦ Σαϊσὰν γνώμῃ ἐπέστρεψαν μηδένα
P. 480 ἑωρακέναι διαβεβαιούμενοι. πιστὸν δὲ τὸν λόγον δεξαμένῳ τῷ Σαϊσὰν καὶ ἀπεριμερίμνως ὁδεύοντι δυνάμεις αὐτῷ 15 συναντῶσι βαρβαρικαὶ τοῦ Μασούτ. προπηδήσας δὲ τῆς φάλαγγος Γαζῆς τις υἱὸς τοῦ σατράπου Ἀσὰν Κατοὺχ τὴν κλῆσιν, ὃν προφθάσας ὁ Σαϊσὰν ἀνεῖλε σουλτάνον, παίει τοῦτον διὰ τοῦ δόρατος. ὁ δὲ γοργῶς ἐπιστραφεὶς ἐξαρπάζει τὸ δόρυ τῶν χειρῶν τοῦ Γαζῆ φάμενος ὡς "οὐκ 20 ἤδειν ἔγωγε, ὅτι καὶ γυναῖκες νῦν δόρατα φέρουσι καθ' ἡμῶν". καὶ τηνικαῦτα φεύγων τῆς πρὸς τὸν βασιλέα φερού-

1. σπευδούσας C^2P. 3. λέοντας C, λέοντα P. 4. συνοδοιποροῦντι C, συνοδοποροῦντι P. 6. τοὺς μῦας C, τὰς μυίας P. 7. τοῦ ὀνείρου scripsi: τὸν ὄνειρον CP. 11. πολλῆς] λη in ras. m. 2 C. 17. Σαζῆς C, Γασῆς P.

ederet panem e manibus eripere temptarent; cumque contemnens abigere eos conaretur, subito in leones commutati viribus longe superiores erant. expergefactus autem narrat comitanti imperatoris militi somnium et, quid significaret, quaerit; cumque inimicos is mures leonesque somnii esse interpretaretur, nulla fide habita celeriter atque improvide viam urgebat, praemissis tamen exploratoribus, ut, num qui hostes ad praedandum egressi essent, observarent. ii ipsum Masutum cum magno exercitu offendunt iuitaque cum eo contra Saisanem societate revertuntur, neminem se vidisse confirmantes. quare cum secure Saisan, quia dicto fidem addidit, progrederetur, Masuti barbaricae copiae ei occurrunt et Gazes quidam, Asan Catuch satrapae filius, quem sultanum antea Saisan occiderat, extra aciem procurrens hasta eum ferit; qui tamen strenue conversus Gazis manibus hastam extorquet addens verba: "nesciebam ego, mulieres quoque nunc in nos hastas gestare." deinde fugientem, cum ad imperatorem

στης εἴχετο· ἀπείργετο δὲ παρὰ τοῦ συνεφεπομένου αὐτῷ B
Πουχέα, ὃς τῷ μέρει τοῦ Μασοὺτ πάλαι προσκείμενος τῷ
φαινομένῳ φιλίως τῷ Σαϊσὰν προσεφέρετο τὰ λῷονα τάχα
ὑποτιθέμενος· τῇ δ' ἀληθείᾳ πάγας αὐτῷ * καὶ βόθυνον
ὀρύττων ξυνεβούλευε μὴ πρὸς τὸν βασιλέα παλινοστῆσαι,
ἀλλ' εἰς τὸ Τυράγιον εἰσελθεῖν μικρὸν τῆς ὁδοῦ παρεκκλί-
ναντα. πολίχνιον δὲ τοῦτο ἔγγιστα τοῦ Φιλομηλίου διακεί-
μενον. πείθεται τοῖς τοῦ Πουχέα λόγοις ὁ Σαϊσὰν νήπιος
καὶ καταλαβὼν τὸ Τυράγιον προσηνῶς παρὰ τῶν ἐποίκων
Ῥωμαίων ἐδέχθη γινωσκόντων τὴν πρὸς αὐτὸν τοῦ βασιλέως
εὐμένειαν. καταλαβόντες δὲ οἱ βάρβαροι καὶ αὐτὸς ὁ Μα- C
σοὺτ περιζώσαντες γύρωθεν τὰ τείχη πρὸς πολιορκίαν
ἀπένευον. ὁ δὲ προκύψας ἄνωθεν μεγάλως ἠπειλεῖτο τοῖς
ὁμοφύλοις αὐτοῦ βαρβάροις ὅσον ἤδη λέγων δυνάμεις Ῥω-
μαϊκὰς καταλαμβάνειν αὐτοὺς τοῦ αὐτοκράτορος καὶ εἰ μὴ
παύσονται τῆς μάχης, πείσεσθαι τόσα καὶ τόσα. ἀνθίσταντο
δὲ καὶ οἱ ἐντὸς Ῥωμαῖοι τοῖς Τούρκοις γενναίως. ὁ δὲ Που-
χέας τὴν σκηνὴν διαρρήγνυσι καὶ τὸν κρυπτόμενον τῇ δορᾷ
λύκον εἰς τοὐμφανὲς ἐξαγαγὼν κάτεισι τῶν τειχῶν τῷ μὲν
Σαϊσὰν ὑποσχόμενος θαρσῦναι μᾶλλον τοὺς ἐποίκους, ἐφ'
ᾧ γενναιότερον ἀνθίστασθαι, ἀπειλούμενος δὲ μᾶλλον αὐτοῖς D
καὶ ξυμβουλεύων ἐνδοῦναι καὶ τὰς πύλας ἀναπετάσαι τοῖς V. 380

4. lacunam signavi. 6. 9. Τυράγιον C, Τυγάνιον P. 16. παύσεται CP, correxi. ἀνθίσταντο] στ add. m. 2 C. 22. ἀναπετάσας CP, correxi.

flecteret, arcebat Pucheas, qui eum comitabatur quique Masuti partibus iamdiu studens amicitiam Saisani simulabat consulendoque ei, ut videbatur, optima, re vera laqueos foveamque parabat suadens, ne ad imperatorem reverteretur, sed parvo deverticulo facto Tyragium oppidum haud procul a Philomelio situm intraret. itaque Saisan cum stolide credidisset Pucheae consiliis Tyragiumque profectus a Romanis ibi habitantibus benigne exceptus esset, utpote qui imperatoris erga eum benevolentiam cognovissent, barbari adveniunt cum ipso Masuto, qui cinctis muris ad oppugnationem se parant. iam ille de muris despiciens vehementer populares suos increpat denuntiatque, Romanas copias una cum imperatore adfore ideoque, nisi pugna desisterent, extrema eos passuros esse. sed Romanis, qui in urbe erant, fortiter obstantibus Pucheas larvam ponit latentemque sub pelle lupum ostentans descendit de muris, tamquam si, ut promiserat Saisani, incolas, quo fortius resisterent, firmaturus esset; re vera autem minas consiliaque miscuit, ut ce-

Τούρκοις, εἰ μὴ βούλοιντο βαρβαρικῆς χειρὸς παρανάλωμα γενέσθαι πολλῶν δυνάμεων ἤδη καταλαμβανουσῶν καὶ ἐξ αὐτοῦ Χοροσάν. οἱ δὲ τὸ μέν τι διὰ τὸ τῶν βαρβάρων πλῆθος ἐκδειματούμενοι, τὸ δέ τι καὶ ταῖς τοῦ Πουχέα ξυμβουλαῖς πεισθέντες παραχωροῦσι τῆς εἰσόδου τοῖς Τούρ- 5 κοις. καὶ συλλαβόντες τὸν Σαϊσὰν σουλτάνον ἀποστεροῦσι τῶν ὀμμάτων· ὀργάνου δὲ πρὸς τοῦτο χρησιμεύοντος ἀπορούντων τὸ δοθὲν τῷ Σαϊσὰν παρὰ τοῦ αὐτοκράτορος μανουάλιον ἐχρημάτισε. καὶ ἦν ἰδεῖν τηνικαῦτα τὸ δοχεῖον P. 481 φωτὸς σκότους καὶ ἀμαυρώσεως γεγονὸς αἴτιον. αὐγὴν δέ 10 τινα μικρὰν ἔτι ὑποβλέπων, ἐπὰν τὸ Ἰκόνιον χειραγωγούμενος κατέλαβε, τεθάρρηκε τοῦτο τῇ τιθῇ κἀκείνη δὲ τῇ αὐτοῦ ὁμευνέτιδι. καὶ οὕτω μέχρις αὐτῶν ἀκοῶν τοῦ Μασοὺτ ὁ λόγος ἐφθακὼς ἐξετάραξε τὴν ψυχὴν τοῦ βαρβάρου. ὁ δὲ θυμοῦ πλησθεὶς τῷ Ἐλεγμῷ (σατράπης δὲ οὗτος τῶν ἐπι- 15 φανῶν) ἐπέσκηψε διὰ νευρᾶς τοῦτον ἀπάγξαι. τοιοῦτον τέλος τὰ τοῦ Σαϊσὰν σουλτάνου ἔσχεν ἐξ ἀβουλίας μὴ πεισθέντος ταῖς τοῦ αὐτοκράτορος παραινέσεσιν. ὁ δὲ αὐτοκράτωρ τῆς πρὸς τὴν βασιλεύουσαν φερούσης εἴχετο τὴν B παράταξιν διόλου ἐπὶ τῆς αὐτῆς συντηρήσας εὐταξίας. 20

7. Ἀλλὰ παράταξιν καὶ φάλαγγάς τις ἀκούων, ἀλλὰ δορυαλώτους καὶ λάφυρα, ἀλλὰ στρατηγὸν καὶ ξυνταγματάρ-

3. αὐτοῦ C, αὐτῷ P. Χορασάν CP. 3. 4. τοι CP, correxi. ἐκδειματούμενοι] ει m. 2 ex corr. C. 8. μανουήλιον C[1], μανουάλιον C[2], μανουΐλην P. 12. τιθῇ] ι ex η m. 2 C. 18. παραινέσεσιν C, παραινέσεσι P. 20. αὐτοῦ CP, correxi.

derent portasque Turcis aperirent, nisi praeda barbarorum fieri vellent; multas enim copias vel ex ipso Chorosane adventare. tum illi partim barbarorum multitudinem metuentes, partim Pucheae confisi Turcis aditum praebent. captum Saisanem sultanum oculis privant; quam ad rem cum idoneum instrumentum deesset, manualio abutuntur, quod dederat Saisani imperator; licuitque videre tunc lucis vas tenebris et caecitati inservire. radium etiamtum quendam lucis conspiciens, cum ad manum ductus Iconium venisset, id nutrici suae fatetur atque haec uxori ipsius; sic res ad Masuti aures pervenit barbarique animum vehementer commovit. ira enim incensus Elegmo satrapae, uni e primoribus, ut nervo eum strangularet, mandavit. talem Saisan sultanus, quia imperatoris consilia imprudenter neglexerat, finem habuit. imperator autem eadem plane aciei forma servata ad regiam urbem proficiscebatur.

7. Sed si quis aciem et phalangas audierit, captivos quoque et spolia, imperatorem ducesque agminum, ne talia se audire credat,

χας νομίζοι ἂν ἐκείνων ἀκούειν, ὁποίων ἅπας ἱστορικὸς καὶ ποιητὴς ξυγγράφων μέμνηται. ἀλλ' αὕτη ἡ παράταξις καινή τις καὶ παράδοξος ἅπασι κατεφαίνετο καὶ ὁποίαν οὐδείς πω οὔτε τεθέαται οὐθ' ἱστορήσας τοῖς ἐς ὕστερον παρε-
5 πέμψατο. ἐπὰν γὰρ τῆς πρὸς τὸ Ἰκόνιον εἴχετο, συντεταγμένως τε ἐπορεύετο καὶ εὔρυθμον αὐλῷ τὴν κίνησιν τοῦ συντάγματος ἐπεποίητο. εἶπες ἂν τὴν φάλαγγα πᾶσαν ἰδὼν καὶ κινουμένην ἀκίνητον μένειν καὶ ἱσταμένην πορεύεσθαι. C τῷ μὲν γὰρ συνασπισμῷ καὶ τῇ ἀλληλουχίᾳ τῆς παρατάξεως
10 τοῖς ἀσαλεύτοις ὄρεσιν ἐῴκει, ταῖς δὲ μεταβάσεσι κεκινεῖσθαι ὥσπερ ζῶον μέγιστον ἓν ἡ σύμπασα φάλαγξ ὑπὸ μιᾶς κινουμένη καὶ μεταβαίνουσα ψυχῆς. ἐπὰν δὲ τὸ Φιλομήλιον κατέλαβεν ἁπανταχόθεν τοὺς ὑπὸ χεῖρα τῶν βαρβάρων ἀναρρυσάμενος, καθά που καὶ ἄνωθεν εἴρηται, μέσον τῆς παρα-
15 τάξεως εἰσελάσας τούς τε δορυαλώτους καὶ αὐτὰς δὴ γυναῖκας καὶ τέκνα καὶ τὴν λείαν ἅπασαν ὑποστρέφων ἠρέμα τε ἐπορεύετο καὶ οἷον σχολαίαν τε καὶ μυρμηκίζουσαν τὴν D κίνησιν ἐπεποίητο. ἐπεὶ δὲ καὶ πολλαὶ τῶν γυναικῶν ἐγκύμονες ἦσαν, πολλοὶ δὲ καὶ νόσοις συνεσχέθησαν, ὁπηνίκα
20 τις πρὸς τὸ τεκεῖν ἠπείγετο γυνή, σάλπιγξ τηνικαῦτα ἠχοῦσα νεύματι τοῦ αὐτοκράτορος ἀτρεμεῖς πάντας ἐποίει, καὶ ἅπαν τὸ σύνταγμα ἐκεῖ παραχρῆμα εἱστήκει. ὅταν δὲ τεκοῦσαν

2. ποιητὴς P, ποητὴς C. 4. πω οὔτε C, πώποτε P. ἐς ὕστερον] στερον sup. vers. add. m. 2 C. 5. συντεταγμένως] ως ex οι, ut videtur, m. 2 C. 6. εὔρρυθμον C. αὐλῷ scripsi: αὐτῷ CP. 8. ἀκοίμητον C, corr. m. 2. 11. μιᾶς P, μικρᾶς C. 15. δὴ P, δεῖ C. 21. ἐποίει] ει in ras. m. 2 C.

quae rerum scriptores poetaeque omnes memorant; verum haec acies nova quaedam et inaudita omnibus erat, qualem nemo antea viderat umquam nec quisquam historicorum memoriae prodiderat. nam quoad Iconium usque exercitus progrediebatur instructaque acie ac numeroso quodam motu ad tibiam se promovebat, totam diceres phalangam, licet motam, immotam stare stantemque proficisci, quippe quae scutorum virorumque contextu montium immobilium instar esset, iter vero mutans veluti maximum animal uno animo agitata se movere videretur. iam Philomelium ingressus ubique iis, qui in barbarorum potestate erant, liberatis ut supra dictum est, cum in medium agmen captivos ipsasque mulieres et infantes atque omnem praedam redegisset, revertens lente imperator formicarum modo se movebat; cumque multae e mulieribus illis gravidae essent, multi etiam morbis premerentur, quandocumque mulier parturiebat, nutu imperatoris factus est tubae sonitus, ut iter intermitteretur, totumque agmen substitit; tum com-

P. 482 μεμαθήκοι, ἄλλος ἦχος οὐ συνήθης καὶ τῆς κινήσεως προκλητικὸς ἠχήσας τὴν ὁδοιπορίαν ἅπασιν ἐπώτρυνεν. εἰ δέ τις καὶ ἐθανάτα, τὰ αὐτὰ αὖθις ἐγίνετο καὶ ὁ αὐτοκράτωρ
V. 381 πρὸς τὸν θνήσκοντα παρεγίνετο καὶ ἱερεῖς προσεκαλοῦντο τοὺς ἐπιτελευτίους ᾄσοντες ὕμνους καὶ τῶν ἁγιασμάτων 5 μεταδώσοντες τῷ θνήσκοντι. καὶ οὕτω τῶν ἐπὶ τοῖς τελευτῶσι πάντων νομίμως τελεσθέντων, [οὐδὲ] μέχρις ἂν ὁ θνήσκων ἐνσοριασθεὶς ἐτάφη, οὐδὲ βραχὺ τὴν παράταξιν συνεχώρει κινεῖσθαι. ὁπηνίκα δὲ ἀριστῆσαι τούτῳ ἐδέησε, γυναῖκάς τε καὶ ἄνδρας, ὁπόσοι νόσοις ἢ γήρᾳ κεκμηκότες 10
B ἦσαν, μετακαλούμενος τὰ πλείω τῶν ἐδεσμάτων αὐτοῖς παρετίθει καὶ τοὺς συνδειπνοῦντας αὐτὸ τοῦτο ποιεῖν παρεκελεύετο. καὶ ἦν ἡ τράπεζα πανδαισία τις θεϊκὴ οὐκ ὀργάνων παρόντων οὐδὲ αὐλῶν οὐδὲ τυμπάνων οὐδὲ τὸ παράπαν μουσικῆς τινος ἐνοχλούσης. τοιούτοις οὖν ἑαυτὸν ἐφοδιάζων, 15 ἐπὰν τὸ Δαμάλιον κατέλαβεν (ἑσπέρα δὲ ἦν), οὐ λαμπρὰ μὲν αὐτῷ τὰ εἰς τὴν πόλιν γεγονέναι εἰσιτήρια ἐβούλετο οὐδὲ βασιλικὴν ἐπιδείξασθαι τὴν πομπὴν οὐδὲ θεατρικὴν τὴν παρασκευὴν ἠθέλησεν ἐς νέωτα τὴν διαπεραίωσιν φυλάξας, καθά γε καὶ ἐχρῆν. ἀλλ' εὐθὺς εἰς μονήρες εἰσελθὼν 20
C περὶ λύχνων ἀφὰς τὰ ἀνάκτορα κατέλαβε. τῇ δὲ μετ' αὐτὴν ὅλος ἐγεγόνει τῆς τῶν δορυαλώτων καὶ ξένων θεραπείας.

7. οὐδὲ seclusi. 8. ἐνσοριασθεὶς C[1], ἐνσωριασθεὶς C[2]P. 12. αὐτῷ CP, correxi. 15. ἑαυτὸν C, ἑαυτοὺς P. 17. εἰς P, ἐκ C. 20. αὐτὸς εὐθὺς?

perto, editum esse partum, alius haud usitatus sonus, qui signum erat itineris continuandi, omnes ad progrediendum impulit. et si quis moriturus erat, rursus fiebat idem accedebatque imperator ad moribundum et sacerdotes advocabantur, qui hymnos ad tale tempus paratos morienti canerent eumque sacramentis instruerent. rebus igitur quae circa moribundos fieri solent rite peractis non prius inde exercitui vel passum procedere permisit, quam mortui arca conditi sepultique essent. prandii tempore, quotquot mulieres virique morbis aut senectute premebantur, ad se convocabat, iisque maxima ciborum parte apposita convivas, ut idem facerent, monebat. eratque mensa divinum quoddam convivium: aberant vero organa, tibiae ac tympana nec ulli omnino musici modi resonabant. ita instructo itinere, cum Damalium sub vesperam pervenisset, noluit sibi splendidum parari introitum nec regiam pompam nec scaenicos apparatus permisit, sed distulit traiectionem, ut necesse fuit, in posterum diem; ipse statim monere conscensa prima face

τῶν μὲν οὖν παίδων ὁπόσα γονέων ἐστέρηντο τῇ πικρᾷ τῆς ὀρφανίας τρυχόμενα κακότητι τοῖς τε συγγενέσι καὶ ὁπόσους σεμνοῦ βίου ᾔδει ὄντας καὶ τοῖς καθηγουμένοις τῶν ἱερῶν φροντιστηρίων διανείμας ἐπέσκηψε μὴ ὡς δοῦλα, ἀλλ' ὡς
5 ἐλεύθερα ἀνάγειν παντοίας παιδείας ἀξιοῦντας καὶ τὰ ἱερὰ ἐκπαιδεύοντας γράμματα. τινὰ δὲ καὶ εἰς ὅπερ αὐτὸς ἀνήγειρεν ὀρφανοτροφεῖον, παιδευτήριον τοῦτο πλέον πεποιηκὼς τοῖς ἐθέλουσι, παρεδίδου τοῖς προϊσταμένοις τὴν ἐγκύκλιον ἐκπαιδεύεσθαι παιδείαν. ἐν γὰρ τοῖς πρὸς τὴν ἀκρόπολιν D
10 μέρεσιν, ἔνθα καὶ τὸ στόμα τοῦ πόντου ἀνοίγεται, ναὸν ἐφευρηκὼς μεγέθει μέγιστον ἐπ' ὀνόματι τοῦ μεγάλου τῶν ἀποστόλων Παύλου ἐνταῦθα πόλιν ἑτέραν ἐν τῇ βασιλίδι πόλει ἐδείματο. αὐτὸς μὲν γὰρ ὁ ναὸς ἐπ' ἀκροτάτῳ τῆσδε τῆς πόλεως ἕστηκεν οἷον ἀκρόπολις. ἡ δὲ νέα πόλις ἑκα- P. 483
15 τέρωθεν γέγραπται εἰς σταδίους, ὁπόσους ἂν εἴπῃ τις, κατά τε πλάτος καὶ μῆκος· κύκλῳ δὲ ταύτης ἑστᾶσιν οἰκήματα πυκνά, κατοικίαι πενήτων καί, τὸ δὴ φιλανθρωπότερον, ἀνθρώπων λελωβημένων ἐνδιαιτήματα. ἔστι γὰρ ἰδεῖν τούτους κατ' ἄνδρα ἕκαστον ἐπερχόμενον, ὅπου μὲν τυφλούς,
20 ὅπου δὲ καὶ χωλούς, ὅπου δέ τι καὶ ἄλλο κακὸν ἔχοντας. τὴν στοὰν Σολομῶντος ἂν εἶπες ἰδὼν μεστὴν ἀνθρώπων πεπηρωμένων τὰ μέλη καὶ ὅλα τὰ σώματα. ὁ δὲ κύκλος

5. παιδίας C, corr. m. 2. 16. ἑστῶσιν C.

palatium petiit et totus postridie captivis peregrinisque curandis vacabat. iam pueros, quotquot orbitatis miseria afflicti erant, consanguineis suis aut iis, quos sanctiorem vitam degere sciebat, et monasteriorum praefectis dispertivit mandavitque, ne eos ut servos, sed veluti liberos omni eruditione instituerent imbuerentque sacris litteris. complures etiam in orphanotrophium recepit, quod ipse extruxerat ac litterario ludo auxerat, eiusque praefectis omni eos doctrinae genere erudiendos tradidit. in illa enim urbis parte, quae arci proxima est, ubi maris os aperitur, cum templum maximum magno apostolo Paulo dedicatum invenisset, aliam urbem in ipsa regia urbe extrui iussit. nam cum in altissimo huius urbis loco tamquam arx templum emineret, nova urbs utrimque ad stadia, quorum numerum aliquis dicat, in longum latumque descripta est; atque in ea crebrae domus in orbem extant, pauperum domicilia et, quod humanitatem imperatoris magis commendat, debilium hominum receptacula. huc singulos eos accedentes videas, caecos, claudos, alios alio malo laborantes, putaresque Solomonis porticum te conspicere plenam hominum vel membris vel toto corpore male

διπλοῦς τε καὶ δίδυμος. οἱ μὲν γὰρ ἄνω καὶ μετέωροι κατ-
οικοῦσι τῶν πεπηρωμένων τούτων ἀνδρῶν τε καὶ γυναικῶν.
B οἱ δὲ κάτω καὶ πρόσγειοι παρασύρονται. τὸ δὲ τοῦ κύκλου
V. 382 μέγεθος, εἴ τις ἐθέλει τούτους ἰδεῖν, ἀρξάμενος πρωῒθεν εἰς
ἑσπέραν ἂν τὸν κύκλον συνετέλεσε. τοιαύτη μὲν ἡ πόλις, τοιοῦ- 5
τοι δὲ καὶ οἱ τῆς πόλεως ταύτης οἰκήτορες. οὔτε γήπεδα ἔχον-
τες οὔτε ἀμπελῶνας οὔτε τι ἄλλο τοιοῦτον, περὶ ὃ τὸν ἀνθρώ-
πινον βίον ἠσχολῆσθαι καταλαμβάνομεν, ἀλλὰ κατὰ τὸν Ἰὼβ
ἕκαστος ἢ ἑκάστη τὴν μὲν δημιουργηθεῖσαν αὐτοῖς οἰκίαν
οἰκεῖ, αὐτόματα δὲ τὰ πρὸς τροφήν τε καὶ σκέπην παρὰ 10
τῆς βασιλικῆς χειρὸς αὐτοῖς ἐπορίζετο. καὶ γὰρ τὸ παρα-
δοξότατον, οἱ ἀκτήμονες ὥσπερ τινὲς δεσπόται κτήματα
C ἔχοντες καὶ προσόδους παντοδαπὰς φροντιστὰς ἔχουσι καὶ
τοῦ βίου αὐτῶν ἐπιμελητὰς αὐτόν τε τὸν αὐτοκράτορα καὶ
τοὺς ἀμφὶ τὸν αὐτοκράτορα σπουδεργούς. ὅπου γὰρ δή- 15
ποτε γῆς κτῆμα ἦν ἐν καλῷ κείμενον, ταὐτὸν δὲ εἴπερ ἦν
εὐπρόσοδον, τοῖς ἀδελφοῖς τούτοις φέρων ἐνείματο, ἀφ' ὧν
οἶνός τε αὐτοῖς κατὰ ποταμοὺς ἐπιρρεῖ καὶ ἄρτος καὶ ὅσα
ἐπὶ τοῖς ἄρτοις σιτοῦνται ἄνθρωποι· οἱ δὲ ἐσθίοντες ὑπὲρ
ἀριθμόν. καὶ τάχα, τολμῶ καὶ λέγω, εἴποι τις ἄν, πρὸς 20
τὸ τοῦ ἐμοῦ σωτῆρος θαῦμα, τὸ τῶν ἑπτακισχιλίων φημὶ καὶ
πεντακισχιλίων, ἀναφέρεσθαι τὸ τοῦ αὐτοκράτορος ἔργον.
D ἀλλ' ἐκεῖσε ἐκ πέντε ἄρτων ἐκορέσθησαν χιλιάδες, καθὸ καὶ

3. πρόσγειοι C, πρόσγεοι P. 5. συντελέσειε? 12. ἀκ-
τήμονες] η ex ι m. 2 C. 16. εἴπερ ἦν scripsi: εἰπεῖν CP.
21. τὸ ante τῶν addidi.

affectorum. erat orbis duplex et bipartitus, quippe aliis ex mutilatis istis viris mulieribusque in alto habitantibus, aliis vero infra ad terram reptantibus; quem, quod ad magnitudinem spectat, cum mane hos visere coeperis, vespere absolves: talis haec civitas, tales urbis incolae. qui neque hortos neque vineas nec aliud eiusmodi possident, quo occupatam videmus vitam humanam, sed Iobo similes in domo sua quisque habitant; quae vero ad victum tectumque pertinent, sponte iis regia manu praebentur. quod vero summum est, qui nihil possident, velut domini bonis instructi curatores ministrosque victus habent ipsum imperatorem imperatorisque procuratores. ubicumque enim praedium et bene situm et magni reditus erat, id fratribus his tribuit, unde vinum iis fluminum instar et panis quaeque ad panem homines edunt affluunt. ita nutritorum numerus immensus erat; adeo cum illo salvatoris mei miraculo, quo septem millia et quinque millia hominum nutrivit, audeam imperatoris opus conferre: illic quinque panibus hominum millia dei nempe miraculo saturata sunt, hic sane

ὁ Θεὸς ὁ θαυματουργῶν· ἐνταῦθα δὲ τὰ μὲν τῆς φιλαν-
θρωπίας τῆς θείας ἐξέχεται ἐντολῆς· τὸ δ' ἄλλο, ἐκεῖσε P. 484
μὲν θαῦμα, ὧδε δὲ χορηγία βασιλικὴ τὸ αὔταρκες τοῖς ἀδελ-
φοῖς πορίζουσα. εἶδον ἐγὼ καὶ γραῦν γυναῖκα ὑπὸ νεανί-
5 δος ὑπηρετουμένην καὶ ἄνδρα τυφλὸν ὑπὸ βλέποντος ἀν-
θρώπου χειραγωγούμενον καὶ ἄποδα πόδας ἔχοντα οὐ τοὺς
ἑαυτοῦ, ἀλλὰ τοὺς ἀλλοτρίους καὶ ἄχειρα ὑπ' ἀνδρῶν ἑτέ-
ρων χειραγωγούμενον καὶ βρέφη τιθηνούμενα παρ' ἀλλοτρίων
μητέρων καὶ παραλύτους ὑπ' ἄλλων ἀνθρώπων δουλευο-
10 μένους εὐρώστων. καὶ ὅλως διπλοῦν ἦν τὸ πλῆθος τῶν
τρεφομένων, τῶν μὲν εἰς δουλευομένους ἀριθμουμένων, τῶν
δὲ εἰς δουλεύοντας. τῷ μὲν αὐτοκράτορι οὐκ ἐξῆν τῷ παρα-
λύτῳ εἰπεῖν "ἔγειρε καὶ περιπάτει" οὐδὲ τῷ τυφλῷ κελεῦ- B
σαι τὸ βλέπειν οὐδὲ τῷ μὴ ἔχοντι πόδας ἐπιτρέπειν περι-
15 πατεῖν. ταῦτα ἦν τοῦ μονογενοῦς καὶ δι' ἡμᾶς γεγονότος
ἀνθρώπου καὶ ὑπὲρ ἀνθρώπων ἐνταυθοῖ πολιτευσαμένου.
ἃ δὲ προσῆν, ἐκεῖνα ποιεῖ, ὑπηρέτας ἑκάστῳ διδόναι πεπη-
ρωμένῳ καὶ τὴν αὐτὴν πρόνοιαν τιθέναι τῷ λελωβημένῳ,
τῷ ὑγιαίνοντι· ὥστε εἴ τις βούλοιτο τὴν νέαν πόλιν κατα-
20 μαθεῖν, ἣν ἐκ βάθρων ὁ ἐμὸς πατὴρ ἀνεδείματο, τετρα-
πλῆν ἂν ἴδοι τὴν πόλιν καὶ πολλαπλῆν τῶν κάτω, τῶν ἄνω, C
τῶν ἀμφοτέροις τούτοις ἐξυπηρετουμένων. ἀλλὰ τίς ἐξαριθμή-

7. ἑαυτῶν CP, correxi. ἄχερα C. 9. δουλευομένους] δο et λευο in ras. m. 2 C. 10. εὐρρώστων (ευ in ras. m. 2) C. 17. ὑπηρέται CP, correxi.

humanitas ex dei praecepto pendet, illic miraculum, hic largitio imperatoria, qua ad vitam necessaria fratribus praebentur. anum ego a puella curari vidi et virum caecum a vidente manu duci et hominem pedibus carentem pedes habere, non suos, sed aliorum et manibus destitutum suis alienis uti et infantes alienarum matrum uberibus lactari et paralyticos a robustis curari; eratque duplex omnino genus eorum, qui ibi nutriebantur, unum ministratorum, alterum ministrantium. sane imperator non poterat praecipere paralytico 'surge et ambula', vel caeco, ut videret, vel, ut iret, pedibus carenti, quia id erat unigeniti, qui nostra causa homo factus in hoc mundo pro hominibus vitam peregit. quae autem poterat, ea fecit; dabat scilicet ministros cuivis mutilo aegrotisque pariter ac sanis providebat. itaque, si quis novam illam urbem, quam a fundamentis pater meus aedificavit, cognoscere velit, quadrifariam sciat eam divisam esse, immo plurifariam, ac constare et ex iis, qui in superiore inferioreque parte erant, et ex iis, qui utrisque serviebant. at quis enumeret, quot ibi

σαι δυνήσαιτο τοὺς καθ' ἡμέραν ἐσθίοντας ἢ τὴν καθ' ἑκάστην
V. 388 δαπάνην καὶ τὴν γινομένην εἰς ἕκαστον πρόνοιαν; εἰς ἐκεῖνον
γὰρ ἀναφέρω καὶ τὰ μετ' ἐκεῖνον. ἐκεῖνος γὰρ ἀφωρίσατο
τὰς ἀπὸ γῆς καὶ θαλάττης αὐτοῖς προνοίας· ἐκεῖνος γὰρ τὴν
δυνατὴν ῥαστώνην αὐτοῖς περιεποιήσατο. προκάθηται δὲ 5
ἀνήρ τις τῶν ἐνδοξοτάτων φροντιστὴς τῆς μυριάνδρου ταυ-
D τησὶ πόλεως· ὀρφανοτροφεῖον δὲ ταύτῃ τοὔνομα. ὀρφανο-
τροφεῖον δὲ προσαγορεύεται, ὅτι ἡ πρὸς τοὺς ὀρφανοὺς καὶ
ἀποστρατεύτους φιλανθρωπία τοῦ αὐτοκράτορος * *· ὅθεν
καὶ τοὔνομα ἐπεκράτησε τὸ ἀπὸ τῆς τῶν ὀρφανῶν προμη- 10
P. 485 θείας. σέκρετα γὰρ ἐπὶ τούτοις πᾶσι καὶ λογοπραγίαι τῶν
προνοουμένων κατὰ τὰ τῶν πενήτων κτήματα καὶ χρυ-
σόβουλλοι λόγοι ἐπιβραβεύοντες τοῖς τρεφομένοις τὸ ἀναφ-
αίρετον. τῷ δὲ ναῷ τοῦ μεγαλοκήρυκος Παύλου κλῆρος
μέγας κατείλεκτο καὶ πολὺς καὶ φώτων δαψίλεια. καὶ παρα- 15
γενόμενος εἰς τουτονὶ τὸν νεὼν ἴδοις ἂν χοροὺς ἑκατέρωθεν
ἀντᾴδοντας. κατέταξε γὰρ τῷ τῶν ἀποστόλων νεῷ ᾄδοντας
καὶ ᾀδούσας κατὰ τὸν Σολομῶντα. ἐπιμελὲς γὰρ καὶ τὸ τῶν
διακονισσῶν πεποίηκεν ἔργον. πολλὴν δὲ φροντίδα καὶ τῶν

4. τὰ CP, correxi. αὐτῆς CP, correxi. γὰρ scripsi: δὲ CP. 5. περιεποιήσατο C, περιποιήσατο P. δὲ scripsi: γὰρ CP. 6. ἐν-δοξάτων C, corr. in mg. 9. φιλανθροπία (ι posterius in ras. m. 2) C. lacunam signavi. 10. τὸ ἀπὸ τῆς scripsi: τῆς ἀπὸ CP. 11. γὰρ] δὲ? 12. προνοουμένων C, προνουμένων P. κατὰ scripsi: καὶ CP. 13. ἀναφαίρετον] ν finale add. m. 2 C. 15. φώτων ex φῶτα corr. m. 2 C. 17. τῶν ἀποστόλων] cf. Ducang. ad h. l. 18. γὰρ] δὲ? 19. διακονισσῶν] κο add. m. 2 C.

quotidie vescantur, quantus sumptus circa singulos edatur, qua quisque cura colatur. ad illum enim refero etiam quae post eum durant; nam ipse iis assignavit ex terra et ex mari beneficia, ipse eorum, quantum poterat, miseriam levavit. praeest ei urbi, quae multa hominum millia continet, ex illustrissimis quidam vir eiusque res administrat; vocantque eam orphanotrophium, quod imperatoris humanitas erga orphanos eosque, qui non amplius militare poterant * *. sic illud nomen quod ab orphanorum cura ductum est invaluit. praeterea tabularia instituta sunt de his omnibus rationesque reddant oportet, qui pauperum possessiones administrant, ac bullis aureis cautum est, ne quid iis, qui ibi nutriuntur, auferatur. magnus et numerosus clerus magni praedicatoris Pauli templo adscriptus est et largus luminum apparatus; quo in templo utrimque choros vicissim canentes conspicies, cum apostolorum aedi secundum Solomonem cantores cantricesque addixisset. ac magna sane cura etiam quae ad diaconissas spectant ordinavit et monachis providit, quae

ἐπιξενουμένων Ἰβηρίδων μοναχῶν ἐπεποίητο θύραν ἐκ θύρας B
ἀμειβουσῶν τὸ πρότερον, ἐπὰν εἰς τὴν Κωνσταντίνου ἐπι-
δημήσαιεν· ἀλλὰ καὶ ταύταις ἡ κηδεμονία τοὐμοῦ πατρὸς
ἀνεδείματο φροντιστήριον μέγιστον τάς τε τροφὰς καὶ τὰς
5 προσηκούσας ἐσθῆτας διοικονομησαμένου. ὁ μὲν οὖν Ἀλέ-
ξανδρος ἐκεῖνος ὁ Μακεδὼν αὐχείτω μὲν ἐπὶ τῇ κατ' Αἴ-
γυπτον Ἀλεξανδρείᾳ, ἐπὶ τῇ κατὰ Μήδους Βουκεφάλῃ, ἐπὶ
τῇ κατ' Αἰθιοπίαν Λυσιμαχίᾳ. ὁ δὲ αὐτοκράτωρ Ἀλέξιος
οὐκ ἂν οὑτωσὶ ἐπὶ ταῖς ἀνεγερθείσαις παρ' αὐτοῦ πόλεσιν
10 ἐναβρύνοιτο, ἃς πανταχοῦ ἴσμεν ἀνοικοδομηθείσας αὐτῷ,
ὅσον ἐπὶ ταύτῃ τῇ πόλει μεγαλαυχεῖ. ἀλλὰ ταῦτα μὲν τὰ
τεμένη καὶ ἱερὰ φροντιστήρια εἰσιόντι σοι κατὰ λαιὰν ἀπαν- C
τήσειε· κατὰ δὲ τὴν δεξιὰν τοῦ μεγάλου τεμένους παιδευ-
τήριον ἕστηκε τῶν γραμματικῶν παισὶν ὀρφανοῖς ἐκ παντο-
15 δαποῦ γένους συνειλεγμένοις, ἐν ᾧ παιδευτής τις προκάθηται
καὶ παῖδες περὶ αὐτὸν ἑστᾶσιν, οἱ μὲν περὶ ἐρωτήσεις
ἐπτοημένοι γραμματικάς, οἱ δὲ ξυγγραφεῖς τῶν λεγομένων
σχεδῶν. καὶ ἔστιν ἰδεῖν καὶ Λατῖνον ἐνταῦθα παιδοτριβού-
μενον καὶ Σκύθην ἑλληνίζοντα καὶ Ῥωμαῖον τὰ τῶν Ἑλλήνων
20 συγγράμματα μεταχειριζόμενον καὶ τὸν ἀγράμματον Ἕλληνα
ὀρθῶς ἑλληνίζοντα. τοιαῦτα καὶ περὶ τὴν λογικὴν παί-
δευσιν τὰ τοῦ Ἀλεξίου σπουδάσματα. τοῦ δὲ σχέδους ἡ
τέχνη εὕρημα τῶν νεωτέρων ἐστὶ καὶ τῆς ἐφ' ἡμῶν γενεᾶς. D

1. Ἰβηρίδων] ιβη in ras. m. 2 C. 3. ταύταις P, ταύτας C. 8. Αἰθιόπην CP, correxi. 9. οὐκ ἂν addidi. οὕτοσὶ CP, correxi. 19. Σκύθην] ην m. 2 ex corr. C. 20. συγράμματα C.

ex Iberia in Constantini urbem profectae antea ostiatim stipem colligebant; quibus maximum monasterium paterna munificentia extruxit quaeque ad victum vestitumque convenientem opus erant praestabat. ac iactet Alexander ille Macedo Alexandriam, Aegypti urbem, Bucephalem Mediae, Lysimachiam Aethiopiae; sed Alexius imperator omnibus illis urbibus, quas ab eo ubique conditas scimus, vix tantum glorietur, quantum hac. illa igitur templa sacraque monasteria ingredienti ad laevam apparent; dextra autem ludus litterarius, ubi orphani ex omni genere collecti erudiuntur; cui magister praeest, puerique circa eum alii in quaestiones grammaticas incumbunt, alii quas dicunt schedas conscribunt. videsque ibi Latinum discentem et Scytham graecae linguae studentem Romanumque Graecorum scripta tractantem et illitteratum Graecum graece recte loquentem. simile fuit Alexii studium circa logicam institutionem. at schedarum ars nova nostrae-

παρίημι δὲ Στυλιανούς τινας καὶ τοὺς λεγομένους Λογγιβάρδους καὶ ὅσους ἐπὶ συναγωγὴν ἐτεχνάσαντο παντοδαπῶν ὀνομάτων καὶ τοὺς Ἀττικοὺς καὶ τοὺς γεγονότας τοῦ ἱεροῦ
P. 486 καταλόγου τῆς μεγάλης παρ' ἡμῖν ἐκκλησίας, ὧν παρίημι τὰ
V. 384 ὀνόματα. ἀλλὰ νῦν οὐδ' ἐν δευτέρῳ λόγῳ τὰ περὶ τούτων 5 τῶν μετεώρων καὶ ποιητῶν καὶ αὐτῶν συγγραφέων καὶ τῆς ἀπὸ τούτων ἐμπειρίας· πεττεία δὲ τὸ σπούδασμα καὶ ἄλλα τὰ ἔργα ἀθέμιτα. ταῦτα δὲ λέγω ἀχθομένη διὰ τὴν παντελῆ τῆς ἐγκυκλίου παιδεύσεως ἀμέλειαν. τοῦτο γάρ μου τὴν ψυχὴν ἀναφλέγει, ὅτι πολὺ περὶ ταὐτὰ ἐνδιατέτριφα, κἄν, 10 ἐπειδὰν ἀπήλλαγμαι τῆς παιδαριώδους τούτων σχολῆς καὶ εἰς ῥητορικὴν παρήγγειλα καὶ φιλοσοφίας ἡψάμην καὶ μεταξὺ τῶν ἐπιστημῶν πρὸς ποιητάς τε καὶ ξυγγραφέας ᾖξα
B καὶ τῆς γλώττης τοὺς ὄχθους ἐκεῖθεν ἐξωμαλισάμην, εἶτα ῥητορικῆς ἐπαρηγούσης ἐμοὶ κατέγνων τῆς [τοῦ] πολυπλόκου 15 τῆς σχεδογραφίας πλοκῆς. ἀλλὰ ταῦτα μέντοι προσιστορείσθω, εἰ καὶ μὴ ἐκ τοῦ παρέργου, ἀλλὰ διὰ τὸ τοῦ λόγου ἀκόλουθον.

8. Μετὰ δὲ ταῦτα τοῦ ἔτους * διϊππεύοντος τῆς βασιλείας αὐτοῦ μέγιστον ἐπεγείρεται νέφος αἱρετικῶν. καὶ 20 τὸ τῆς αἱρέσεως εἶδος καινόν, μήπω πρότερον ἐγνωσμένον τῇ ἐκκλησίᾳ. δύο γὰρ δόγματα συνελθέτην κάκιστα καὶ φαυ-

3. τοὺς ante γεγονότας addidi. 5. οὐδ' scripsi: οὐδὲν CP. 9. ἐγκυκλίου] κυκλ in ras. m. 2 C. 10. ἀναφέγει C, corr. m. 2. 13. ξυγγραφὰς CP, correxi. 15. τοῦ seclusi. 19. τοῦ add. m. 2 C. lacunam indicavit Possinus.

que aetatis est, ut omittam Stylianos quosdam et qui Longibardi vocantur quique in colligendis omnis generis vocabulis elaborarunt atque Atticos et qui ex sacro magnae ecclesiae nostrae catalogo fuerunt, quorum nomina praetereo. sed nunc ne secundo quidem loco ponuntur supervacanea scilicet illa poetarum scriptorumque opera et quae inde repeti possunt: calculorum vero lusus studium est et reliqua occupatio nefaria. haec dico, quia aegre fero liberales artes omnino neglectas uritque hoc animum meum, quod multum in his rebus versata sum. cum vero abiecta puerili eorum doctrina ad rhetoricam et philosophiam me contulissem atque inter tractandas eas ad poetarum opera et rerum scripta ferrer sermonisque velut verrucas levigarem, tum sane adiuvante rhetorica, quantum implicatissima schedographiae perplexitas contemnenda esset, intellexi. verum haec addita sunto, non quidem extrinsecus, sed quae sponte cum argumento cohaereant.

8. Post haec anno regni eius * ingens haereticorum nubes sese extulit; eratque novum id haeresis genus, numquam ante ab ecclesia cognitum. duo enim pessima improbissimaque dogmata

λόγατα ἐγνωσμένα τοῖς πάλαι χρόνοις, Μανιχαίων τε, ὡς ἄν
τις εἴποι, δυσσέβεια, ἣν καὶ Παυλικιανῶν αἵρεσιν εἴπομεν,
καὶ Μασσαλιανῶν βδελυρία. τοιοῦτον δέ ἐστι τὸ τῶν Βο-
γομίλων δόγμα, ἐκ Μασσαλιανῶν καὶ Μανιχαίων συγκείμενον. C
5 καὶ ὡς ἔοικεν, ἦν μὲν κἀν τοῖς πρὸ τοὐμοῦ πατρὸς χρόνοις,
ἐλάνθανε δέ· δεινότατον γὰρ τὸ Βογομίλων γένος ἀρετὴν
ὑποκρίνασθαι. καὶ τρίχα μὲν κοσμικὴν οὐκ ἂν ἴδοις βογο-
μιλίζουσαν, κέκρυπται δὲ τὸ κακὸν ὑπὸ τὸν μανδύαν καὶ τὸ
κουκούλιον. καὶ ἐσκυθρώπακεν ὁ Βογόμιλος καὶ μέχρι ῥινὸς
10 σκέπεται καὶ κεκυφὼς βαδίζει καὶ ὑποψιθυρίζει τὸ στόμα,
τἄνδοθι δὲ λύκος ἐστὶν ἀκάθεκτος. καὶ τοῦτο τὸ ἔθνος
τοιοῦτον ὂν δυσφορώτατον ὥσπερ ὄφιν ἐμφωλεύοντα τῇ
χειᾷ ἐπῳδῶν ἴυγξιν ἀπορρήτοις ὁ ἐμὸς πατὴρ εἰς φῶς ἐξ- D
εκαλέσατο καὶ ἐξήνεγκεν. ἀπάρτι γὰρ τὸ πολὺ τῆς τῶν
15 ἑσπερίων καὶ ἑῴων ἀποθέμενος φροντίδος πρὸς τὸ πνευ- P. 487
ματικώτερον ἑαυτὸν ἐπέτεινεν. ἐν πᾶσι γὰρ τῶν ἁπάντων
ἐκράτει· ἐν λόγοις διδακτικοῖς τοὺς περὶ λόγον ἐσπουδακότας
ἐνίκα, ἐν μάχαις δὲ καὶ στρατηγίαις τῶν ἐν ὅπλοις θαυμα-
ζομένων ὑπερεῖχεν. ὡς δὲ ἡ τῶν Βογομίλων ἁπανταχοῦ
20 ἤδη διέσπαρτο φήμη (Βασίλειος γάρ τις μοναχὸς πολυτρο-
πώτατος μεταχειρίσασθαι τὴν Βογομίλων ἀσέβειαν δώδεκα

2. εἴποιμεν CP, correxi. 6. τὸ P, τῶν C. 9. ἐσκυ-
θρώπακεν P, ἐσκυθρώπωκεν C. 11. ἀκάθεκτος C, ἀνά-
θεκτος P. 12. ὂν C, ὃν P. 20. πολυτροπώτατος μετα-
χειρίσασθαι τὴν Βογομίλων ἀσέβειαν C, ὠδύνων sic P.

quae priore iam aetate prodierant, commixta sunt: Manichaeorum
(sic enim licet dicere) impietas, quam Paulicianorum quoque haeresin
vocavimus, et Massalianorum impudentia: idque dogma Bogomilorum
est, compositum illud quidem ex Massalianis et Manichaeis. quod
iam ante patris mei tempora occulte sane extitisse videtur; ea enim
secta virtutis simulandae peritissima est. nec comatos more sae-
culari istis Bogomilis adhaerere vides, sed pallio cuculloque malum
istud se abscondit; ac tristitiae speciem prae se fert Bogomilus et
naso tenus opertus demisso capite subsusurrans incedit, intus autem
indomitus est lupus. hanc gentem perniciosissimam velut serpentem
specu latentem secreta carminum vi pater meus elicuit et in lu-
cem protulit, cum deposita plurima orientalium occidentaliumque
rerum cura ad spiritales se res convertisset. etenim omnibus in
rebus omnes superavit: in docendi facultate eos, qui operam dicendo
navarant, in pugnis bellicisque expeditionibus, quos ob militiae
cognitionem admirabantur. sed iam Bogomilorum fama ubique
diffundebatur. Basilius enim quidam monachus callidissimus in pro-

μὲν ἔχων μαθητάς, οὓς καὶ ἀποστόλους ὠνόμαζε, συνεφελκόμενος δὲ καὶ μαθητρίας τινάς, γύναια κακοήθη καὶ παμπόνηρα, ἐφήπλωσε τὴν κακίαν ἁπανταχοῦ) καὶ πολλὰς ψυχὰς V: 385 δίκην πυρὸς ἐπενείματο τὸ κακόν, οὐκ ἠνείχετο ἡ τοῦ βασιλέως ψυχὴ τοῦτο καὶ διερευνᾷ τὰ περὶ τῆς αἱρέσεως. καί 5 B τινες τῶν Βογομίλων εἰς τὰ ἀνάκτορα ἤγοντο, ἅπαντες δὲ Βασίλειόν τινα κατήγγελον διδάσκαλον καὶ κορυφαῖον πρωτοστάτην τῆς βογομιλικῆς αἱρέσεως. ἐκ τούτων δὲ Διβλάτιός τις κατασχεθείς, ἐπεὶ ἐρωτώμενος ἀνομολογεῖν οὐκ ἠβούλετο, αἰκίαις παραδοθεὶς τηνικαῦτα τὸν λεγόμενον 10 Βασίλειον ἀνωμολόγει καὶ οὓς ἐκεῖνος προεχειρίσατο ἀποστόλους. τοίνυν τὴν τούτου ἀναζήτησιν πολλοῖς ὁ αὐτοκράτωρ ἀνέθετο. καὶ δῆτα ἀναφαίνεται τοῦ Σαταναὴλ ἀρχισατράπης Βασίλειος, τὸ ἔνδυμα μοναχός, κατεσκληκὼς τὸ πρόσωπον, τὴν ὑπήνην ψιλός, εὐμήκης τὴν ἡλικίαν [πολυ- 15 τροπώτατος μεταχειρίσασθαι τὴν ἀσέβειαν]. καὶ αὐτίκα ὁ C αὐτοκράτωρ τὸ ἐνδομυχοῦν ἐθέλων παρασῦραι ταῖς πειθανάγκαις μετακαλεῖται τὸν ἄνδρα μεθ' ὁσίου προσχήματος. καὶ γὰρ καὶ θώκων ὑπεξανέστη αὐτῷ καὶ καθέδρας μετέδωκε καὶ τραπέζης τῆς αὐτῆς καὶ ὅλην τὴν ὁρμιὰν τῆς ἄγρας 20 αὐτῷ κατεχάλασε καὶ τὸ ἄγκιστρον περιπείρας παντοδαποῖς

2. *τινὰς* C, *τινὰ* P. 5. *τοῦτο* scripsi: *τῷ*, *τοι* sic CP. 11. *ἀνωμαλόγει* C. 12. *πολλοῖς* C, *πολλοὺς* P. 14. *κατεσκληκὼς*] *ὼς* ex *α* m. 2 C. 15. *πολυτροπότατος* C, corr. m. 2 verba *πολυτροπώτατος μ. τ. ἀ.* seclusi. cf. 351, 20. 18. *ὁσίου* scripsi: *οἴου* CP. 19. *ὑπεξανέστη* C, *ὑποξανέστη* P. *καδέδρας* P, correxi. 20. *ὁρμιὰν*] *ιὰ* in ras. m. 2 C.

paganda Bogomilorum impietate cum duodecim discipulis, quos et apostolos nominavit, discipulas quoque quasdam, mulierculas pravas nefariasque, secum trahens omnia impietate impleverat; multasque animas ignis velocitate malum istud incessit. nec tulit id imperator in haeresinque inquirens duci curavit nonnullos e Bogomilis in regiam, qui omnes Basilium praeceptorem ac sectae suae praesidem nominarunt. e quibus Diblatius quidam, cum in custodia habitus fateri nollet, tormentis subiectus, quinam esset Basilius quibusque apostolis uteretur, confessus est. quem ut investigarent, multis imperator imperat: comprehenditurque Satanaelis archisatrapa Basilius vestitu monachus, facie torrida, sine barba, statura praelongus [in propaganda impietate callidissimus]. ibi imperator, cum arcanum illud sine vi elicere constituisset, statim virum licito praetextu usus ad se vocavit. venienti scilicet assurrexit eumque assidere cenareque secum iussit; atque omnem piscatoriam liniam mittens varias hamo

δελέασι τῷ παμφάγῳ τούτῳ κήτει παρέσχεν ἐμφαγεῖν καὶ ὅλον τὸ φάρμακον. τῷ μοναχῷ τούτῳ καὶ πολλαχῷ τὴν κακίαν φέρων ἐνέχει διὰ παντοίων ὑποκρινόμενος μαθητὴς αὐτῷ ἐθέλειν γενέσθαι, οὐκ αὐτὸς τάχα μόνος, ἀλλὰ καὶ ὁ
5 αὐτοῦ ἀδελφὸς Ἰσαάκιος ὁ σεβαστοκράτωρ, καὶ πάντα τὰ D παρ' αὐτοῦ λεγόμενα ὡς ἐκ θείας ὀμφῆς λογίζεσθαι καὶ ὑπείκειν τούτῳ ἐν πᾶσιν, εἰ μόνον τὴν τῆς ψυχῆς αὐτῷ σωτηρίαν πραγματεύσοιτο ὁ κάκιστος Βασίλειος. "καὶ ἐγὼ P. 488 μέν," φησιν "ὦ πάτερ τιμιώτατε," (περιέχριε γὰρ τοῖς
10 γλυκέσι τούτοις ὁ βασιλεὺς τὴν κύλικα, ὡς ἐξεμέσαι τὸν δαιμονιῶντα τὴν μελαγχολίαν αὐτοῦ) "ἄγαμαί σε τῆς ἀρετῆς ἕνεκα· ἀξιῶ [σε] δὲ καταμαθεῖν, τίνα τὰ παρὰ τῆς σῆς τιμιότητος εἰσηγούμενα, ὡς τά γε τῶν ἡμετέρων μονονοὺ φαῦλα καὶ εἰς οὐδεμίαν ἀρετὴν φέροντα". ὁ δὲ τὰ πρῶτα
15 μὲν ἐσχηματίζετο καὶ τὴν λεοντῆν ὁ κατὰ ἀλήθειαν ὄνος ἐκεῖνος ἐφεῖλκεν εἰς ἑαυτὸν πανταχόθεν καὶ ἀπεπήδα πρὸς τὰ λεγόμενα, πλὴν ἐχαυνώθη τοῖς ἐπαίνοις· καὶ γὰρ καὶ ὁμοδίαιτον ἐποίησε τοῦτον. συμπαρῆν δ' ἄρα τούτῳ ἐν πᾶσι καὶ συνεδραματούργει καὶ ὁ τοῦ βασιλέως ἐξάδελφος
20 καὶ σεβαστοκράτωρ. ὁ δὲ τὰ τῆς αἱρέσεως δόγματα ἀπήμεσε. καὶ ὁ τρόπος ὁποῖος; παραπέτασμα γὰρ μεταξὺ B τήν τε γυναικωνῖτιν ἀπετείχιζε καὶ τοὺς βασιλεῖς μετὰ τοῦ

1. δελέασι C, δελέεσσι P. 7. ὑπείκειν C, ὑπήκειν P. 12. σε seclusi. 13. μονονοὺ scripsi: μόνον P. 14. εἰς C, om. P. 18. ἄρα] ἅμα L. Allatius. 21. interrogationis signum posuit idem. 19. αὐτάδελφος?

escas infixit voracique illi ceto obiecit. atque ut omnis generis simulatione totum isti solitario multifariam perverso pharmacum inferret, discipulum eius se fieri velle simulat, nec ipsum solum, sed fratrem quoque Isaacium sebastocratorem, seque omnia eius verba tamquam e divino oraculo accipere eique omni in re obtemperare, modo animi sibi salutem improbus Basilius condat. "equidem," inquit "pater reverendissime," (tali enim dulcedine calicem inunxit, ut daemoniacus iste bilem suam evomeret) "et admiror te ob virtutem tuam et, quia paene futilis nostrorum doctrina est nec omnino ad virtutem ducit, cupio doceri me aliqua ex iis, quae reverentia tua novavit." cumque tergiversans initio leonina pelle asinus iste, quem vere dixeris, involveret sese deflecteretque, laudes tamen, nempe adeo cenae erat consors, ad superbiam eum inflarunt adiuvante in omnibus rebus imperatorem fratre sebastocratore. tandem evomuit haeresis dogmata, et ita quidem, ut aulaeo mulierum habitatione a prin-

βδελυροῦ τούτου πάνθ', ὅπως εἶχεν ἐν τῇ ψυχῇ, ἐξερευγομένου καὶ ἀναφανδὸν λέγοντος. ὁ δὲ γραμματεὺς ἀπεγράφετο ἔνδοθεν τοῦ πετάσματος τὰ λεγόμενα. καὶ ὁ μὲν λῆρος ἐκεῖνος διδάσκαλος τῷ δοκεῖν ἐγίνετο, ἐσχηματίζετο δὲ τὴν μαθητείαν ὁ βασιλεύς, ἀπεγράφετο δὲ τὰ τῆς διδασκα- 5 λίας ὁ ὑπογραμματεύς. πάντα δὲ ῥητά τε καὶ ἄρρητα ἐπισυνεῖρεν ὁ θεοπληγὴς ἐκεῖνος ἀνὴρ καὶ οὐδενὸς ἐφείσατο C θεομισοῦς δόγματος, ἀλλὰ καὶ τὴν θεολογίαν ἡμῶν παρε- V. 885 βλέψατο καὶ τὴν οἰκονομίαν πᾶσαν ἐφάντασε καὶ τοὺς ναούς, οἴμοι, τοὺς ἱεροὺς ναοὺς δαιμόνων ὠνόμακε καὶ τὸ τελού- 10 μενον παρ' ἡμῖν σῶμα καὶ αἷμα τοῦ πρώτου καὶ ἀρχιερέως καὶ θύματος παρὰ φαῦλον ἔθετο καὶ ἐλογίσατο. ἀλλὰ τί τὸ ἐντεῦθεν; ἀπορρίπτει τὴν σκηνὴν ὁ βασιλεὺς καὶ ἀναπετάννυσι † τοῦτο· καὶ τὸ συγκλητικὸν ἅπαν συνήθροιστο καὶ τὸ στρατιωτικὸν συνείλεκτο σύνταγμα καὶ ἡ γερουσία τῆς 15 ἐκκλησίας συνῆν. προὐκάθητο δ' ἄρα τὸ τηνικαῦτα τοῦ τῆς D βασιλίδος πόλεως θρόνου ὁ ἐν πατριάρχαις μακαριώτατος ὁ γραμματικὸς ὁ κύριος Νικόλαος. καὶ ἀνεγινώσκετο τὰ θεοστυγῆ δόγματα καὶ ὁ ἔλεγχος ἀδιάβλητος. καὶ οὐδὲ ὁ τῆς P. 489 ἐναντίας μοίρας ἔξαρνος ἦν, ἀλλ' αὐτίκα καὶ γυμνῇ τῇ κε- 20 φαλῇ πρὸς ἐναντιολογίας ἐχώρει καὶ πρὸς πῦρ καὶ μάστιγας καὶ μυρίους θανάτους ἀντιπαρατάξασθαι ὑπισχνεῖτο. πεπισ-

1. ὅπως] ω in ras. m. 2 C. 6. ἐπισυνῆρεν CP, correxi. 8. ἡμῖν CP, correxi. 9. ἠφάνισε? 14. τὸ παραπέτασμα τοῦτο? 18. γραμματικὸς add. in lacuna m. 2 C. κύρις P. 20. ἔξαρνος P, ἔξαρχος C.

cipibus, qui aderant, seclusa omnia nefarius iste, sicut in animo erant, expueret aperteque proferret, scriba autem ab interiore aulaei parte, quidquid dicebatur, notaret. ac nugator iste illorum sibi magister videbatur, discipulumque imperator se esse simulavit, doctrinam vero eius scriba litteris mandabat; conexuitque omnia fanda nefandaque vir ille malo spiritu captus nec ulli scelerato dogmati pepercit, immo theologiam nostram contempsit et totam divinam oeconomiam evertit et sacra templa heu! daemonum aedes appellavit; quin et pravam refutandamque ducebat consecrationem nostram corporis sanguinisque eius, qui et primus pontifex et victima prima est. ibi vero imperator larvam ponit velumque reducit: eratque congregatus et totus patrum consessus et ordo militaris et ecclesiae senatus. praesidebat tunc in imperatoriae civitatis throno beatissimus patriarcha dominus Nicolaus grammaticus. ac recitatis execrabilibus dogmatis non potuit refutari criminatio; sed ne adversa quidem pars infitias ivit: immo statim ille adversa fronte ad defensionem conversus ignem et flagella et innumerabilia mortis genera se subi-

τεύκασι γὰρ οἱ πλανώμενοι οὗτοι Βογόμιλοι πᾶσαν ἀπόνως
ὑπενεγκεῖν τιμωρίαν ἀγγέλων δῆθεν ἐξαρπαζόντων αὐτῆς
τῆς πυρκαϊᾶς. † πολλῶν δὲ πάντων αὐτῶν καὶ τὴν ἀσέβειαν
ὀνειδιζόντων, καὶ ὅσοι τῆς αὐτοῦ ἀπωλείας αὐτῷ κεκοινω-
5 νήκασιν, ὁ αὐτὸς ἦν Βασίλειος, ἀμετακλινής, Βογόμιλος γεν-
ναιότατος. καίτοι πυρκαϊᾶς ἀπειλουμένης καὶ ἄλλων κα-
κώσεων ἀπρὶξ τοῦ δαίμονος εἴχετο καὶ τὸν αὐτοῦ Σαταναὴλ
ἠγκαλίζετο. ἔμφρουρος δὲ γενόμενος καὶ πολλάκις πρὸς B
τοῦ βασιλέως πεμπόμενος καὶ πολλάκις παρακαλούμενος
10 τὴν ἀσέβειαν ἐξομόσασθαι ὡσαύτως εἶχε πρὸς τὰς τοῦ βα-
σιλέως παρακλήσεις. ἀλλὰ τὸ περὶ τοῦτον γεγονὸς τέρας
μὴ παραδράμωμεν. πρὶν ἢ γὰρ τούτῳ ἐπιβλέψαι τὸν βασιλέα
δριμύτερον, μετὰ τὴν τῆς ἀσεβείας ἐξαγόρευσιν ἀπῄει μὲν
τῷ τέως εἰς οἰκίσκον τινὰ κείμενον ἀγχοῦ που τῶν βασιλι-
15 κῶν οἰκημάτων ἄρτι πρώτως δι' αὐτὸν κατασκευασθέντα.
ἑσπέρα δ' ἦν καὶ οἱ ἀστέρες οἱ ἄνω αἰθρίας οὔσης ἀπήσ-
τραπτον καὶ ἡ σελήνη μετὰ τὴν σύνοδον τὴν ἑσπέραν ἐκείνην
ἐπύρσευε. τοῦ δὲ μοναχοῦ τὴν κέλλαν εἰσδύντος περὶ μέσας C
νύκτας αὐτομάτως λίθοι χαλαζηδὸν κατὰ τῆς κέλλης ἐβάλ-
20 λοντο χειρὸς μὲν μηδεμιᾶς ῥιπτούσης τοὺς λίθους μηδέ
τινος καταλιθοῦντος ἀνθρώπου τὸν δαιμονιώδη τοῦτον

3. πολλῶν δὲ πάντων αὐτῶν] ἀπειλούντων δὲ πάντων αὐτῷ? 6. καίτοι] καὶ γὰρ? 8. γενόμενος καὶ πολλάκις scripsi: πολλάκις γενόμενος καὶ CP. 11. τέρας scripsi: πέρας CP. 12. βασιλέα C², βασιλέων C¹P. 16. δ' C, δὲ P. 17. τὴν addidit L. Allatius. 21. δαιμονιώδη C, δημονιώδη P.

turum esse praedicavit. credunt enim errantes hi Bogomili omnes se poenas sine sensu laturos, nimirum quod angeli vel ex rogo se erepturi sint. omnibus igitur ei minantibus maledicentibusque eius impietati, quod tot homines in communem perniciem secum traxisset, Basilius manebat immotus, verus profecto Bogomilus; qui, quamvis rogum aliasque ei poenas ostentarent, daemonem Satanaelemque suum amplexus mordicus tenuit. atque in vincula coniectus et saepe ab imperatore arcessitus monitusque, ut nefariam illam fidem eiuraret, eundem semper se praebuit adversus imperatoris adhortationes. sed ne, quod ei accidit, miraculum omittam, priusquam severius in eum imperator animadvertit, is post nefariae fidei confessionem interim se contulit in domum nuper in eius usum extructam haud procul ab imperatoriis aedificiis. erat forte vespertinum tempus stellis puro caelo nitentibus et luna post synodum cum sole noctem illam illuminante; cum vero cella monachum recepisset, lapides in eam grandinis instar media fere nocte repente iactabantur, quamquam nec manus ulla, quae lapides iaceret, nec homo, qui istum daemoniacum abbatem

ἀββᾶν. μήνιμα δ' ἦν, ὡς ἔοικε, τῶν ἀμφὶ τὸν Σαταναὴλ
δαιμόνων ἐξωργισμένων, ἐν δεινῷ ποιουμένων, ὅτι δὴ τὰ *
πρὸς τὸν βασιλέα ἐξωρχήσατο καὶ διωγμὸν κατὰ τῆς πλάνης
D λαμπρὸν ἐπήγαγε. καὶ ταῦτα μὲν Παρασκευιώτης τις καλούμε-
νος ἀφορισθεὶς φύλαξ εἶναι τοῦ δαιμονιώδους ἐκείνου γέρον- 5
τος, ὡς μὴ ἄδειαν ἔχειν προσομιλεῖν τισι καὶ τῆς αὐτοῦ
λύμης μεταδιδόναι, τὰ φρικωδέστατα ἐπώμνυτο [ἰδεῖν τε καὶ]
ἀκοῦσαι μὲν τοὺς τῶν βαλλομένων λίθων καὶ κατὰ γῆς καὶ
κατὰ κεράμων κρότους, ἰδεῖν δὲ συνεχεῖς καὶ ἀλλεπαλλήλους
P. 490 τοὺς λίθους, μηδένα δὲ μηδαμοῦ τὸν βάλλοντα τούτους θεά- 10
V. 387 σασθαι. συνεπελάμβανε γὰρ τῇ τῶν λίθων φορᾷ καὶ σεισμός
τις ἀθρόος καὶ τὸ ἐπίπεδον ἐκεκλόνητο καὶ τὰ περὶ τὸν
ὄροφον ἐτετρύγεσαν. ὁ μέντοι Παρασκευιώτης, πρὶν μὲν
ὑπονοῆσαι τὸ ἔργον δαιμόνιον, ἐθάρρει, ὡς ἐκεῖνος ἔφασκεν,
ὁρῶν δέ, ὅτι οἱ μὲν λίθοι ἄνωθεν οἷον εἰπεῖν ἐξωμβρίζοντο 15
καὶ τὸ γερόντιον ἐκεῖνο τὸ αἱρεσιαρχικὸν ἐνδεδύκει τε καὶ
ἐναποκέκλειστο, εἰς δαίμονας τὸ ἔργον ἀνενεγκὼν * οὐκ εἶχεν,
ὅ τι καὶ γένοιτο.

9. Τὰ μὲν οὖν τοῦ τέρατος τούτου ταύτῃ ἐχέτω·

1. ἀββᾶν L. Allatius: ἀβᾶν CP. 2. lacunam signavi: interciderunt fere haec αὐτῶν μυστήρια. 4. Παρασκευιώτης] ω in ras. m. 2 et η ex ι m. 2 C. τις addidi. 5. ἀφορισθεὶς C, ἀφωρισθεὶς P. 6. προσομιλεῖν P, προμιλεῖν C. 7. ἰδεῖν τε καὶ seclusi. 8. λίθους C, correxi. 9. κρότον CP, correxi. 11. γὰρ] δὲ? 13. ἐτετρύγεσαν] υ ex corr. m. 2 C. 16. αἱρεσιαρχικὸν] ε ex η m. 2 C. 17. lacunam signavi: intercidit μένειν vel simile quid. 19. ἐχέτω C, ἐχέθω P.

lapidaret, conspiciebatur. causa autem visa est Satanaelis ira eiusque daemonum, qui succensebant isti, quod ipsorum mysteria apud imperatorem effudisset gravemque in haeresin persecutionem excitasset; idque Parasceuiotes, qui vocabatur, custos daemoniaci illius senis, ne conversando cum aliis doctrinam suam communicaret, constitutus, horrendo iure iurando affirmavit; audisse se lapidum fragorem et in solum et in tegulas cellae iactorum et vidisse lapides crebro acervatimque cadentes; at qui iaceret, conspexisse se prorsus neminem. quem lapidum imbrem terrae motus excepit vehemens tremebatque solum et domuum fastigia stridorem edebant. initio narrabat Parasceuiotes, antequam diabolicam esse vim animadvertisset, intrepidum se fuisse; cum vero lapides desuper quodammodo pluisse vidisset, et seniculus ille haeresiarcha intus abditus et inclusus esset, tum denique daemonibus rem se attribuisse nec ibi manere potuisse nec omnino curasse, quod fieret.

9. Hactenus de miraculo: verum quod constitueram, totam

ἠβουλόμην δὲ καὶ πᾶσαν τὴν τῶν Βογομίλων διηγήσασθαι αἵρεσιν· ἀλλά με κωλύει καὶ αἰδώς, ὥς πού φησιν ἡ B καλὴ Σαπφώ, ὅτι συγγραφεὺς ἔγωγε γυνὴ καὶ τῆς πορφύρας τὸ τιμιώτατον καὶ τῶν Ἀλεξίου πρώτιστον βλάστημα
5 τά τε εἰς ἀκοὴν πολλῶν ἐρχόμενα σιγῆς ἄξια. βούλομαι μὲν γράφειν, ἵνα τὸ πλῆρες τῆς τῶν Βογομίλων παραστήσω αἱρέσεως· ἀλλ' ἵνα μὴ τὴν γλῶτταν μολύνω τὴν ἐμαυτῆς, παρίημι ταῦτα. παραπέμπω δὲ τοὺς βουλομένους τὴν ὅλην αἵρεσιν τῶν Βογομίλων διαγνῶναι εἰς τὸ οὕτω καλούμενον
10 βιβλίον δογματικὴν πανοπλίαν ἐξ ἐπιταγῆς τοὐμοῦ πατρὸς συντεθεῖσαν. καὶ γὰρ μοναχόν τινα Ζυγαβηνὸν καλούμενον, γνωστὸν μὲν τῇ δεσποίνῃ καὶ πρὸς μητρὸς ἐμῇ μάμμῃ καὶ C πᾶσι τοῖς τοῦ ἱερατικοῦ καταλόγου, γραμματικῆς δὲ εἰς ἄκρον ἐληλακότα καὶ ῥητορικῆς οὐκ ἀμελέτητον ὄντα καὶ τὸ
15 δόγμα ὡς οὐκ ἄλλος τις ἐπιστάμενον, τοῦτον ὁ αὐτοκράτωρ μεταπεμψάμενος ἐπέταξεν ἁπάσας τὰς αἱρέσεις ἐκθέσθαι ἑκάστην ἰδίᾳ καὶ ἐφ' ἑκάστῃ τὰς τῶν ἁγίων πατέρων ἀνατροπὰς ἐγγράψασθαι καὶ αὐτῶν δὴ τῶν Βογομίλων τὴν αἵρεσιν, καθὼς ὁ ἀσεβὴς ἐκεῖνος Βασίλειος ὑφηγήσατο. ταύ-
20 την τὴν βίβλον δογματικὴν πανοπλίαν ὁ αὐτοκράτωρ ὠνόμασε· μέχρι τοῦ νῦν οὕτω προσαγορεύεται τὰ βιβλία. ὁ δὲ λόγος αὖθις πρὸς τὴν τοῦ Βασιλείου καθαίρεσιν ἀνατρεχέτω.

11. Ζυγαβηνὸν L. Allatius: Ζυγαδηνὸν (η ex ι m. 2) CP. 17. ἑκάστῃ L. Allatius: ἑκάστῳ CP. 20. ὠνόμασε] ω ex ο m. 2 C. 22. Βασιλείου] ειου ex ιωε m. 2. C.

